
3 1761 04220 9411

FLAVII IOSEPHI OPERA

EDIDIT

ET APPARATV CRITICO INSTRVXIT

BENEDICTVS NIESE

VOL. IV

ANTIQVITATVM IVDAICARVM LIBRI XVI—XX ET VITA.

364325
23. 3. 39.

BEROLINI

APVD WEIDMANNOS

MDCCCLXXXX.

Printed in Germany

PRAEFATIO.

De codicibus, quibus Iosephi antiquitatum Iudaicarum decem libri posteriores cum uita traduntur, tum explicatius dicendum est, cum perfecto huius editionis uolumine tertio hi libri editi erunt omnes. nunc prodit uolumen quartum, quo continentur libri a sexto decimo usque ad uigesimum et Iosephi uita, quibus ea tantum praemittenda sunt, quae ad legentium usum, dum uolumen tertium perficitur preloque subicitur, necessaria uidentur.

Codices igitur adhibiti sunt hi:

P = codex Palatinus bibliothecae Vaticanae inter graecos n^ro^. 14 membranaceus, in quo insunt libri ab undecimo usque ad septimum decimum cum argumentis libri decimi octaui et uita. desinit uit. § 427 in uoce *κατωκυῖαν* (p. 389, 8). exciderunt igitur libri XVIII, XIX, XX et uitae finis; praeterea in uita folium unum p. 383, 20 *δὲ πολλοὶ* — p. 383, 30 *αὐτοῦ τὴν μο(χθηρίαν)*. scriptus est saeculo X aut IX omniumque est et antiquissimus et optimus.

A = codex bibliothecae Ambrosianae F 128 inf. saeculo fere XI scriptus membranaceus. continet decem antiquitatum libros posteriores cum uita integros praeter unum folium excisum, in quo inerant libri XVI *δωρεαῖς* (p. 7, 14) — *ἅπασι* (p. 9, 8).

M = codex Medicaeus bibliothecae Laurentianae plut. 69 cod. 10 saeculi fere XV chartaceus. continet antiquitatum Iudaicarum libros XX cum uita. dixi de eo uol. I praef. p. XVII pluraque dicam in praefatione uol. III.

W = codex Vaticanus gr. n^ro^. 984 membranaceus rescriptus anno p. Chr. n. 1354; continet antiquitatum libros XI—XX et uitam coniunctos cum epitoma librorum I—X et bello Iudaico. cf. uol. I praef. p. XXI et quae ante uol. III dicenda sunt.

R = codex Regius bibliothecae Parisinae maximae inter graecos n^ro^. 1423 scriptus saeculo fere XIV in pergamenis. continet bellum Iudaicum et uitam Iosephi.

E = epitome antiquitatum, cuius maxime usus sum codice Busbekiano, qui extat in bibliotheca Caesarea Vindobonensi inter historicos graecos n^ro^. 22; interdum in subsidium uocaui codicem Laurentianum plut. 69 cod. 23. uid. de his uol. I praef. p. XVIII sq. uita Iosephi in epitomam recepta non est.

Lat = uersio Latina, quam operam dedi, ut ex codicibus emendatiorem haberem. uita Iosephi latine non extat; praeterea ab omnibus quos noui codicibus latinis absunt lib. XVI p. 32, 15 *πολλοὺς* — p. 34, 14 *ἦγεν*.

Zon = Zonarae chronicon, qui in his quoque Iosephi libris usus est epitoma.

Exc = Excerpta Peiresciana et Vrsiniana.

ed. pr. = editio princeps ab Arlenio curata.

Ernesti coniecturae extant in obseruationibus philologico-criticis in Aristophanis nubes et Flauii Iosephi antiquitates Iudaicas (Lipsiae 1795).

Holwerda coniecturas emisit in emendationum flauianarum specimine Gorinchemi 1847.

Naberi emendationes reperiuntur in Mnemosynae Batauae nou. ser. uol. XIII p. 352 sq.

Signa aliaque scripturae compendia explicanda sunt haec:

* asteriscus in textu inter Iosephi uerba positus lacunam significat uideri. idem notis paullo supra uersum praepositus (uelut **ἐχθρὰ* PW) ad epitomam spectat; testatur enim eo loco epitomam cum textu consentire. at codicum lectionibus immixtus asteriscus litteram exesam alioue casu euanidam significat (uelut *ἐβασί-λευ* **).

† crux in textu posita corruptelam indicat.

· in notis inter codicum lectiones in media litterarum uia positum litteram erasam significat (uelut *ἔλεγε·*).

in textu uncis ([ ]) inclusa spuria aut suspecta uidentur.

γρ in codicibus iunctim scriptum = *γράφεται*.

add. = addit addunt similia.

coni. coniecturas meas significat, nisi alius auctor nominatur.

corr. = correxit correctum similia.

euan. = euanuit euanidum.

fort. = fortasse.
i. marg. = in margine.
litt. = littera litterae sim.
man. et *m.* = mănus aut manu.
om. = omittit omittunt.
ras. = rasura; *eras.* = erasum.
rec. = recens recenti sim.
s. = suprascripsit suprascriptum sim.
suppl. (= suppleuit sim.) ponitur, si quid a librariis primum omissum deinde superadditum est.
tr. = transponit sim.
u. = uersus.
uid. = uidetur.
| finem uersus, ‖ finem paginae indicat.

CORRIGENDA ET ADDENDA.

p. 38, 14 repone *δυνατόν*.
„ 45, 20 in notis repone B. I. I. 511.
„ 49, 13 *οἳ* fort. spurium.
„ 71, 16 *ἄν* eici uult L. Dindorf.
„ 106, 12 post *νεμηθέντες* comma reponendum.
„ 111, 23 *ἔπλει* L. Dindorf fort. recte.
„ 122 sub textu repone: § 273 = bell. Iud. II 57.
„ 123 „ „ „ § 278 = bell. Iud. II 60.
„ 129 „ „ „ § 311 (pro § 315).
„ 145, 3 *προσηγόρευεν* L. Dindorf.
„ 164, 16 repone *Ἀλεξάνδρῳ τῷ ἀδελφῷ*
„ 173, 3 in notis repone: *δ' MW
„ 174, 6 *πεπραξόμενος* L. Dindorf.
„ 178, 24 *ἄν* eicit L. Dindorf.
„ „ 28 *ἐντεθυμημένος* L. Dindorf, idem p. 232, 9.
„ 185, 6 *κεχρημέναι*] *κεχορηγημέναι* L. Dindorf.
„ 198, 19 *γένοιτ' ἄν* ante Gutschmidium L. Dindorf.
„ 224, 22 post *θαλάσσης* punctum erat ponendum.
„ 227, 8 repone: *καὶ* (pro *καί*).
„ 228, 22 *γε* eicit L. Dindorf.
„ 229, 15 *ἄλλως ἀφρονήσει*] *ἀλλοφρονήσας* uel *ἄλλως ἀφρονήσας* coni.
„ 231, 20 ante *δεύτερος* pone comma.
„ 233, 10 *τιμωρίαι* coni. Hudson.
„ 284, 19 repone *Ἱεροσολυμίταις*.
„ 303, 18 *ὄφλοι* L. Dindorf.
„ 313, 26 sqq. (*πῶς ἀρξάμενοι* etc.) sic emendari possunt, ut uerba *καὶ τίσιν — μεταλαμβάνειν* aut deleantur aut transponantur hunc in modum: *πῶς ἀρξάμενοι πόσοι γεγόνασι — τελευτῆς καὶ τίσιν — μεταλαμβάνειν*.
„ 318, 16 repone *ἐπίδειξιν* pro *ἐπίδειξεν*.
„ 319, 7 „ *ὅσα* pro *ὅσα*.
„ „ 16 „ *οἶμαι* pro *οἰμαι*.
„ 322, 14 „ *γεγόνει* pro *γενόνει*.
„ 325, 10 „ *ἐπήρθησαν* pro *ἐπῄρθησαν*.
„ 329, 16 not. repone: bell. Iud. II 481 (pro 681).

p. 335, 8 repone *Ἱεροσόλυμα* pro *Ἱεροσόλυμα.*
„ 342, 9 „ *διὰ τὸ* pro *διὰ τὰ.*
„ 343, 7 „ *Ἱεροσολύμων* pro *Ἱεροσολύμων.*
„ 344, 4 not. repone: Hudson ex § 66 et bell. Iud.

Deinde ad resarciendas epitomae codicis Busbekiani lacunas ex codice Laurentiano plut. 69 cod. 23 haec addo a me olim omissa, nunc uero ab Hieronymo Vitellio, uiro et doctissimo et humanissimo suppleta:

p. 302, 27 *ἐπανήξω*] *ἐπανέξω* E cod. Laur. exhibet.
„ 305, 5 *τοῖς στρατιώταις ἀναλαβεῖν τὰ ὅπλα* cod. Laur.
„ 311, 11 *πείθει* cod. Laur.
„ 318, 9 *ἐνέπλησε* cod. Laur.; idem exhibere conicio etiam Busbekianum, e quo nihil enotaram.
„ „ 21 *ἐχεγγύου* cod. Laur.
„ 319, 9 *γεγραμμέναισ βίβλοισ* tr. cod. Laur., id quod etiam Busbekianum habere nunc puto, in quo ante *βίβλοις* in fine uersus quaedam euanuerunt.
„ „ 22 *δὴ* cod. Laur.; ex Busbekiano nihil enotaueram.
„ 320, 5 *ἀποδέχονται*] *ἀποδέχονται καὶ ἐπιστήμονασ ὁρίζονται* cod. Laur., quod etiam Busbekianus habuit, in quo superstites sunt litterae *ημονασ ὁρῖζ * * αι.*
„ „ 6 *τὸ ἐπιτήδευμα οὐκ ἐλευθέρων τοῦτο μόνον τοῖσ τυχοῦσιν* cod. Laur.
„ „ 20 *κατὰ*] *καὶ* cod. Laur. cum MW; ex Busbekiano nihil enotaueram, quare eum idem habere puto.

ADDENDVM AD VOL. V.

Cum libros contra Apionem ederem, nescio quo casu factum est, ut immemor essem excerptorum Peirescianorum de uirtutibus et uitiis, quae in codice Turonensi extant. haec enim una cum ceteris capitibus ex Iosepho excerptis cum editione Bekkeriana contulit uariasque eorum lectiones edidit Iulius Wollenberg anno MDCCCLXXI in annalibus gymnasii Francogallici Berolinensis[1]). qui p. 34 ex libro contra Apionem secundo in excerpta recepta esse narrat uerba *ὅτι ὁ ἡμέτερος νομοθέτης* (cont. Ap. II 156 p. 74, 7) usque ad uerba *καὶ τίνα προφέρεσθαι* (II 174 p. 78, 5), in margine timli loco praescriptis mainusculis litteris hisce: *ἐκ τ ιγ΄ τοῦ ἐπιγραφομε νε τ π αν. ἡ τ κα ἑλλήνῳ λογοσ β τοῦ αν ἴωσῃ*. appono igitur excerptorum discrepantias ex commentariis Wollenbergi excerptas ita ad editionis meae maioris textum accommodatas (nam Wollenbergius, ut dixi, Bekkerianum exemplar secutus est), ut adnotatio critica hinc suppleri possit.

p. 74, 7 *ὅτι ὁ ἡμέτερος νομοθέτης* incipiunt Exc *γεγονὼς* om. Exc 8 *ὁμολόγηται* Exc 10 *τῶν νόμων παραλαβὼν* cum L 11 *εἰς αἰεὶ* quod Bekkerus coniecerat in Exc extat, si silentio Wollenbergi fides habenda est 13 *πρῶτον τὸ μεγαλεῖον* tr. 16 *ἐκ πολλῶν* om. 17 *πολλὴν ψάμμον*] *πολύψαμμον* quod memorabile est 18 *πολέμουσ* cum LLat *λίαν* 20 *πάντων* om. 21 *δὲ* om. 22 *ἀντὶ*] *αὐτοὺσ* cum ed. pr., si Wollenbergi silentio fides 23 *τοῦ*] *τὰσ τοῦ* 24 *ἐθέζουσι* 25 *δὲ* om. *μετὰ* om. fort. recte *ζῆν* ab Hudsono additum om. cum L fort. recte 27 *τοῖς λαοῖς*] *ἄλλοισ* cum Lat *τε τὰ* om., unde *τὰ* eiciendum esse puto

1) *Programme d' invitation à l'examen public du collège royal français fixé au 29. Septembre 1871. Contenu. Recensentur LXXVII loci ex Flavii Iosephi scriptis excerpti, qui ex conlectaneis Constantini Augusti Porphyrogenetae περὶ ἀρετῆς καὶ κακίας in codice PeirescIano extant, auctore J. Wollenberg.*

p. 75, 2 *εἰκότως*] *καλῶς* *ἐνόμιζεν* exhibet quod conieceram ex Lat 3 *θεὸν*] *τὸν ἕνα* 7 *ἐξαμαρτάνειν* *αὐτὸς* om. cum Lat 8 *ἅπερ λέγουσιν οἱ λοιδοροῦντες ἀδίκως* fort. recte 9 *οἵους*] *οἷον* cum ed. pr., si Wollenbergi silentio fides *αἰσχοῦσιν*] *αἰσχοῦντες λέγουσι* fort. recte 11 *ὑποτίθεσθαι γε* om. *ὅτι*] *οἵδ'* 12 *αὐτοῦ*] *αὐτοὺς* cum Lat *τὰς τῶν νόμων μαντείας* om. cum Lat *ἀνέφερον* quod ego conieci *οἵδ' — ἀνέφερον* iam Wollenbergius suspicatus est 14 *δ'* om. *τῆσ δικαιοτάτης*] *τίσ ὁ δικαιότατα* cum LLat *θεοῦ*] *τῆσ τοῦ θεοῦ* cum LLat 16 *ἀντιβάλλοντασ* cum L *ἤδη — λεκτέον* om. 17 *μὲν* om. *ἐθνῶν* cum LLat 18 *ἅπασι*] *πάσι κεφαλαιωδῶς τισ* om. cum LLat 19 *γὰρ* om. 20 *δὲ* 21 *ἡμέτερος νομοθέτης* om.

p. 76, 1 *θεοκρατείαν* *ἀπέδειξε* habet cum Eusebio, si Wollenbergi silentio fides 2 *εἰς* om. 3 *ἑφορᾶν* *μὲν* om. *ὄντα ἁπάντων* tr. *ἃ* om. cum LLat 5 *οὔτε*] *οὐδε* 6 *οὐδείν οὐδ' ὧν*] *ὅσασ ἕνα*] *ἕνα δ'* 7 *καὶ* (ante *ἀγένητον*) om. 9 *ἐστὶν* om. cum L 10 *παρ'*] *παρὰ τοῖσ* cum L et Eusebii cod. J 12 *μεμαρτυρήκασιν* 13 *οἵ τε*] *καὶ οἱ* cum L 14 *ἐκείνουσ* cum LLat *ἀπὸ* om. *φιλοσοφίασ* *οὕτω* 16 *ὀλίγον εἰς πλήθη*] *ταῖσ εἰσ πλῆθοσ προκατειλημμένοι*

p. 77, 1 *ἡμέτερος — 2 δὴ*] *μωσῆσ ἀπέδειξε* 3 *καθ' ἑαυτὸν* 5 *δὲ καὶ* om. *χρήσιμον* 6 *πολὺ* om. *ἀρετῆς*] *τῆσ ἀρετῆσ* cum L 7 *μέρη*] *τὰ μέρη* cum L *τἆλλα*] *καλὰ συνεῖδε καὶ κατέστησε* cum LLat *τὴν σωφροσύνην* om. cum Lat 10 *ἀναφέρουσιν*] *ἔχουσι τὴν ἀναφορὰν* cum L 11 *δέω μὲν* om. 12 *παιδίασ τῆσ*] *τοὺσ ἔθη* cum Hudsono, si Wollenbergi silentio fides 13 *διδάσκαλοσ* cum LLat 14 *τὸν* om. 15 *ἐλόμενοι ἑκάστοισ* tr. *οἷον*] *καὶ λακεδαιμονίουσ* 16 *κρίτεσ* 17 *χρὴ*] *ἔδει* 18 *ὠλιγώρησαν* cum L et Cosma 20 *ἡμέτερος νομοθέτης* om. 21 *ἐμμέλειαν* fort. recte *ἀπέλειπε* *τὴν* om.

78, 1 *τὸν* om. *ἐκ τοῦ λόγου νόμον* cum LLat 2 *τῆς* (ante *πρώτης*) om. *τὸν οἶκον*] *τὸ οἰκεῖον* cum ed. pr., si Wollenbergi silentio fides 4 *κατέλειπεν* *καὶ* om. *ὅσων*] *τίνων*, quod etiam Lat habuisse uid 5 *χρὴ* om. *προφέρεσθαι*, qui est finis excerptorum

Iam haec excerpta, ut paucis definiam quae sit eorum auctoritas, apparet tam prope accedere ad uerba ab interprete Latino expressa, ut huius fere codicem Graecum repraesentare uideantur. uelut illo loco quem codex Laurentianus dat corruptissimum (II 162) recte omittunt uerba *τὰς τῶν νόμων μαντείας* (p. 75, 12), quae ne Latinus quidem recepit. eodem spectat, quod § 166 sq. (p. 76, 4 sq.) cum Latino ut Laurentiani interpolamenta non agnoscit, ita ab Eusebii textu compluriens recedit. eis uero, quae et in Laurentiano et apud Latinum interpolata reperiuntur, etiam excerpta imbuta sunt, ut § 170 (p. 77, 7) ad *τἆλλα*[1]) addita sunt *συνεῖδε καὶ κατέστησε*. quae ab Eusebio solo absunt, sicut etiam § 163 p. 75, 14 cum Laurentiano et Latino contra Eusebium conspirat. codex igitur, quo excerptores Constantiniani usi sunt, una cum eo, quem habuit La-

1) quod excerptor in *καλὰ* corrupit.

tinus, et uirtute et aetate medium inter Laurentianum et Eusebium locum obtinet. hoc quoque discimus saeculo p. Chr. decimo extitisse codicem ab Laurentiani interpolamentis liberum; haec igitur non tam antiquitus tradita, quam paullo ante codicis Laurentiani aetatem confecta esse putabimus. etiam ad Eusebii codicem J, de quo in praefatione p. XVI sq. disputaui, recte aestimandum aliquid saltem facit codex Peirescianus. quoniam enim § 171 (p. 77, 13) cum Eusebii codicibus melioribus habet ὁ δὲ. non quod Laurentianus et Eusebii cod. J praebent ἕτερος δὲ, apparet confirmari quod dixi codicem J ex Laurentiano sua sibi asciuisse nec probabile esse ex Latini exemplari alioue uetustiore libro ea deriuata esse.

Denique alia sunt, quae in solis excerptis tradantur. inter quae maxime memorabiles sant loci duo, primus p. 74, 17, ubi πολύψαμμον [1]) quod in excerptis est, quamuis poetis magis aptum uideatur, tamen habet quo commendetur. deinde p. 77, 21 ἐμμέλειαν ualde arridet magisque placet quam ἐκμέλειαν, quod et Eusebius et Laurentianus tradit. quod si fors tulisset, ut codex, cuius pars in Peirescianis seruata est, totus superstes esset, non dubito quin Iosephi hos libros multis locis emendatiores habituri fuerimus.

1) πολλύψαμμον in cod. est.

Dabam Marburgi Chattorum a. d. XVIII K. Iul. anni MDCCCLXXXX.

Benedictus Niese.

FLAVII IOSEPHI

ANTIQVITATVM IVDAICARVM

LIBRI XVI—XX ET VITA.

XVI.

Τάδε ἔνεστιν ἐν τῇ ἑξκαιδεκάτῃ τῶν Ἰωσήπου ἱστοριῶν τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὅν τρόπον Ἀλέξανδρος καὶ Ἀριστόβουλος ἀπὸ Ῥώμης ὑπέστρεψαν πρὸς τὸν πατέρα.

ὡς Σαλώμη καὶ Φερώρας οἱ τοῦ βασιλέως ἀδελφοὶ ταῖς κατ' αὐτῶν διαβολαῖς ἐχρῶντο.

ὡς γυναῖκας δοὺς τοῖς περὶ Ἀλέξανδρον Ἡρώδης πρὸς Ἀγρίππαν ἐξέπλευσεν εἰς Μιτυλήνην κἀκεῖθεν αὐτὸν ἔπεισεν εἰς Ἰουδαίαν παραγενέσθαι.

ἄφοδος Ἀγρίππα εἰς Ἰωνίαν καὶ ὡς Ἡρώδης τὸ δεύτερον ἐξέπλευσεν πρὸς Ἀγρίππαν εἰς τὸν Βόσπορον.

ἔντευξις τῶν κατ' Ἰωνίαν Ἰουδαίων Ἀγρίππᾳ παρόντος Ἡρώδου περὶ ὧν ᾐτιῶντο τοὺς Ἕλληνας.

ὡς Ἀγρίππας ἐβεβαίωσε μὲν αὐτοῖς τοὺς νόμους, Ἡρώδης δὲ εἰς Ἰουδαίαν ὑπέστρεψεν.

ὡς διελέξατο τοῖς Ἱεροσολυμίταις Ἡρώδης καὶ τὸ τέταρτον αὐτοῖς ἀφῆκεν τῶν φόρων τοῦ παρεληλυθότος ἔτους.

ὡς ἐστασιάσθη τὰ περὶ τὴν οἰκίαν Ἡρώδῃ προτιμῶντι μὲν Ἀντίπατρον τὸν πρεσβύτατον υἱὸν χαλεπῶς δὲ τῶν περὶ Ἀλέξανδρον φερόντων τὴν ὕβριν.

ὡς Ἀντιπάτρου διατρίβοντος ἐν Ῥώμῃ τοὺς περὶ Ἀλέξανδρον Ἡρώδης ἄγων ἐπὶ Καίσαρος αὐτῶν κατηγόρησεν.

Ἀλεξάνδρου ἀπολογία ἐπὶ Καίσαρος καὶ διαλλαγὴ πρὸς τὸν πατέρα.

PAMWLat

1 ἑξκαιδεκάτῃ] *ις'* AM *ἰωσή · που* A *ioseppi* Lat 2 *κεφάλαια* post *ἀρχαιολογίας* add. P 3 sqq. singulis capitibus numeros (*α'—κα'* W *I—XX* Lat) praefigunt WLat 5 *ὡς*] *καὶ ὡσ* AMWLat priori capiti adiungentes 7 *τοῖς περὶ Ἀλέξανδρον*] *alexandro uel aristobolo* Lat 8 *μητυλίνην* P 10 *ἄφοδος*] *ἔφοδοσ* W *et profectio* Lat *καὶ ὡς*] *ὡσ* AMWLat nouum caput incipientes 12 *κατὰ* AMW *παρέντοσ* M 14 *εἰς Ἰουδαίαν*] *ad propria* Lat 16 *ὡς διελέξατο*] *qualiter allocutus est* Lat *ὡς διεδέξατο* PW, *ὡς ἐπανελθὼν* M · · · · · · · · · · · · · et i. marg. *γρ ὡς ἐπανελθὼν ἠρώδησ ἀφῆκε* A *τοῖς Ἱεροσολυμίταις Ἡρώδης*] *ἠρώδησ τοῖσ ἱεροσολυμίταισ* M *τοῖσ ἱεροσολυμίταισ* · · · · · · · A 18 *προτιμῶν* W 21 *ῥώμῃ* A

ὡς ἀγῶνας ἦγαγε πενταετηρικοὺς Ἡρώδης ἐπὶ τῇ Καισαρείας κτίσει.

πρεσβεία τῶν ἀπὶ Κυρήνης καὶ Ἀσίας Ἰουδαίων ὡς Καίσαρα περὶ ὧν ἠτιῶντο τοὺς Ἕλληνας πραγμάτων.

ἀντίγραφα ἐπιστολῶν, ἃς Καῖσαρ καὶ Ἀγρίππας ἔγραψαν ὑπὲρ αὐτῶν ταῖς πόλεσιν.

ὡς ἀπορῶν χρημάτων Ἡρώδης κατῆλθεν εἰς τὸν Ἰαυίδου τάφον καὶ δισμύρια ταλάντων ἀναλώσας μνημεῖον ἔσηρεν ἐπὶ τοῦ τάφου.

ὡς Ἀρχέλαος ὁ Καππαδόκων βασιλεὺς Ἀλέξανδρον τὸν πατρὶ διήλλαξεν ὀθέντα ὑπ' αὐτοῦ πρότερον καὶ ὡς ὁ μὲν εἰς Καππαδοκίαν, Ἡρώδης δὲ εἰς Ῥώμην ἀνῆλθεν.

ἀπόστασις τῶν τὸν Τράχωνα οἰκούντων καὶ παράληψις διὰ τῶν στρατηγῶν τῆς χώρας.

ὡς Ἡρώδης τοὺς εἰς τὴν Ἀραβίαν διαφυγόντας τῶν ἀποστατῶν ἐξῃτεῖτο καὶ μὴ τυγχάνων ἐστράτευσεν ἐπ' αὐτοὺς ἐπιτρέποντος Σατορνίνου.

ὡς κατηγόρησε Σύλλαιος Ἄραψ ἐπὶ Καίσαρος περὶ τῆς ἐμβολῆς Ἡρώδου καὶ ὡς διὰ Νικολάου ἀπελύσατο τὰς αἰτίας ὀργιζομένου Καίσαρος.

διαβολαὶ Εὐρυκλέους κατὰ τῶν παίδων πρὸς Ἡρώδην, καὶ ὡς ἔθηκεν αὐτοὺς ὁ πατὴρ καὶ τῷ Καίσαρι περὶ αὐτῶν ἔγραψεν.

ὡς Καίσαρος ἐξουσίαν δόντος ἐν Βηρυτῷ παρὰ τῷ συνεδρίῳ κατηγόρησε τῶν παίδων καὶ ὡς θανόντες ἐτάφησαν ἐν Ἀλεξανδρείῳ.

περιέχει ἡ βίβλος χρόνον ἐτῶν ιβ'.

---

1 I. 1. *Ἐν δὲ τῇ διοικήσει τῶν ὅλων πραγμάτων ἐστουδακὼς ὁ βασιλεὺς τὰς κατὰ μέρος ἀδικίας ἀναστεῖλαι τῶν περὶ τὴν πόλιν*

PAMWELatZonaras I p. 436.

1 *πέντ' ἐτηρικοὺς* P *πενταετηρικοὺς* AMW *ἐπὶ — κτίσει*] *in ore caesaris* Lat *τῇ* om. W *κτίσει* P¹ *κτισειν* W 2 *πρεσβεία*] *et legatio* Lat caput X continuans *κυρίνης* P *ὡς*] *πρὸς* M 3 *Ἕλληνας*] *iudaeos* Lat *πραγμάτων* om. AMWLat 4 *ἔγραψεν* PAW *scripserunt* Lat 8 *καππαδοκῶν* AMW *ἀλέξανδρον, λέξ* i. ras. M 9 *δεηθέντα* W *πρότερον* om. MWLat *καὶ*] nouum cap. incip. P 11 *ἀπόστασις*] *ἀπόστασιν τῆς ἡρώδου βασιλείας* AMWLat 12 *στρατηγῶν, ὧν* i. ras. A *τῆς χώρας* om. AMWLat 13 *Ἡρώδης*] *herodes a roma reuersus* Lat *ἀποστάντων* W 14 *ἐξῃτεῖτω* P *Σατορνίνου*] *σατορνίνου τοῦ ἡγεμόνος* AMWLat 16 *Ἄραν*] *ὁ ἄραψ* W, om. Lat *περὶ*] *ὑπὲρ* AMW *ἐμβολῆς*] *ἐμβολῆσ τῆς εἰσ τὴν ἀραβίαν τοῦ* AMWLat 17 *καὶ ὡς*] *ut* Lat nouum cap. (XVII) incipiens *αἰτίας*] *αἰτίασ ἡρώδησ* AMW 19 *καὶ ὡς*] *ὡς* AMW nouum caput incipientes 21 *συνεδρίῳ* P 22 *κατηγόρισε* W *παίδων*] *παίδων ἡρώδησ* AMW *καὶ ὡς — ἐτάφησαν*] *θάνατοσ τῶν νεανίσκων καὶ ταφὴ τῶν σωμάτων* AMWLat, nouum cap. in AMLat *ἀλεξανδρεία* P *ἀλεξανδρ · ίῳ* A *ἀλεξανδρίῳ* M *alexandria* Lat

praemittunt *βιβλιον ιβ* P *φλαυίου ἰωσήπου* (*ἰωσήπου* ME) *ἰουδαϊκῆς ἀρχαιολογίασ λόγοσ ιβ* AME. 24 *ὅλων* om. ELat

καὶ τὴν χώραν ἀμαρτανομένων τίθησι νόμον οἷόν ἐστι καὶ τοῖς πρώτοις, ὃν αὐτὸς ἐβεβαίου. τοῖς τοιχωρύχοις ἀποδιδόμενος ἐπ' ἐξαγωγῇ τῆς βασιλείας, ὅπερ ἦν οὐκ εἰς τὴν τιμωρίαν μόνων τῶν ταυχόντων φορτικόν. ἀλλὰ καὶ κατάλυσιν περιεῖχεν τῶν πατρίων ἐθῶν. τὸ γὰρ ἀλλοφύλοις καὶ μὴ τὴν αὐτὴν δίαιταν ἔχουσιν τοῦ ζῆν δουλεύειν καὶ βιάζεσθαι τἀπ' ὄσα πρωΐτατον ἐξ ἀνάγκης ἐκεῖνοι ποιεῖν ἁμαρτία πρὸς τὴν θρησκείαν ἦν. οὐ κόλασις τῶν ἁλισκομένων. πανθλαμμένης ἐν τοῖς πρώτοις τῆς τοιαύτης τιμωρίας· ἐπέλειπον γὰρ οἱ νόμοι τετραπλᾶ καταβάλλειν τὸν κλέπτην, οὐκ ἔχοντα δὲ πιπράσκεσθαι μέν, ἀλλ' οὔτι γε τοῖς ἀλλοφύλοις οὐδ' ὅσοι διηνεκῆ τὴν δουλείαν ὑπομένειν· ἔδει γὰρ ἀφιεῖσθαι μετὰ ἓξαετίαν. τὸ δ' ὅσῳπερ ὡρίσθη τότε χαλεπὴν καὶ παράνομον γενέσθαι τὴν κόλασιν ὑπερηφανίας ἐδόκει μέρος, οὐ βασιλικῶς ἀλλὰ τυραννικῶς αὐτοῦ καὶ πρὸς τὰ κοινὰ τῶν ἀρχομένων ὀλιγώρως θείναι τὴν τιμωρίαν γενομένου. ταῦτα μὲν οὖν καθ' ὁμοιότητα τοῦ λοιποῦ τρόπου γιγνόμενα μέρος ἦν τῶν διαβολῶν καὶ τῆς ἐπ' αὐτῷ δυσνοίας.

2. Ἐν δὲ τούτῳ τῷ καιρῷ καὶ τὸν εἰς τὴν Ἰταλίαν πλοῦν ἐποιήσατο Καίσαρι τε συντυχεῖν ὁρμηθεὶς καὶ θεάσασθαι τοὺς παῖδας ἐν τῇ Ῥώμῃ διατρίβοντας. Καῖσαρ δὲ τά τε ἄλλα φιλοφρόνως αὐτὸν ἐξεδέξατο καὶ τοὺς παῖδας ὡς ἤδη τελειωθέντας ἐν τοῖς μαθήμασιν ἀπέδωκεν ἄγειν εἰς τὴν οἰκείαν. ὡς δ' ἦκον ἀπὸ τῆς Ἰταλίας, στοιδὴ περὶ τὰ μειράκια τῶν ὄχλων ἦν, καὶ περίοπτοι πᾶσιν ἐγεγόνεισαν τῷ τε μεγέθει τῆς περὶ αὐτοὺς τύχης κοσμούμενοι καὶ βασιλικοῦ κατὰ τὰς μορφὰς ἀξιώματος οὐκ ἀποδέοντες. ἐπίφθονοί τε εὐθέως ἐδόκουν Σαλώμῃ τε τῇ τοῦ βασιλέως ἀδελφῇ καὶ τοῖς Μαριάμμην ταῖς διαβολαῖς κατηγωνισμένοις· οὗτοι γὰρ ὤοντο δυναστευόντων αὐτῶν δίκην δώσειν τῶν εἰς τὴν μητέρα τὴν

PAMWELat Zonaras I p. 436.

1 τοῖς πρώτοις] *priori* Lat 2 ὃν αὐτὸς ἐβεβαίου] *in qua firmauit* Lat τοιχωρύχοις W ἀποδιδόμενον E, fort. recte 3 τὴν om. AMWE 4 *περιέχον W *πατρώων PW 5 *αὐτὴν om. W *ἔχουσιν δίαιταν tr. W 6 πάντα E ἐκεῖνοι ἐξ ἀνάγκης tr. M ἐξ ἀνάγκης om. E 7 ἐκείνω E 8 πεφλαμένοις W 9 *τετραπλάσιον W καταβαλεῖν WE 11 *ἐπομένην W *ἔδει — 12 ἓξαετίαν] *sed iudaeis et sexto anno absolui* Lat *γὰρ] μὲν P ἀφίεσθαι E 12 *ἑξαετήαν P τὸ δ' ὥσπερ] τόδε ὅπερ Hudson τότε] τὸ δὲ W 13 ὑπερηφανείας P οὐ] ὡς οὐ coni. 15 τὴν om. PAM 16 *λοιποῦ] κοινοῦ W γινόμενα AMWE 21 ἐδέξατο MWE 22 *ἀποδέδωκεν P *οἰκίαν PA[1] δὲ AME *ἦκεν P 24 γεγόνασι E τύχης] ψυχῆς WE 26 *τε] δὲ AM εὐθὺς AMWE τε om. ME 27 μαριάμην E οὗτοι] Bekker οὕτω AMW οὕτως P 28 δυναστευόντων αὐτῶν] δυναστεύειν εἰ μὴ W

9 ἐκείνων παρανομηθέντων. τὴν αὐτὴν οἶν ταύτην ὑπόθεσιν τοῦ δόκου εἰς τὴν κατ' ἐκείνων διαβολὴν μετάφερον λογοποιοῦντες οὐ καθ' ἡδονὰς συνεῖναι τῷ πατρὶ διὰ τὸν τῆς μητρὸς θάνατον, ὡς μηδὲ ὅσιον εἶναι δοκεῖν ἐπὶ ταὐτὸν συνιέναι τῷ τῆς τεκούσης φο-
10 νεῖ· ταῦτα γὰρ ἀπὸ τῆς ἀληθείας ἐπὶ τὸ πιθανὸν τῆς αἰτίας φέροντες κακοῦν ἐδύναντο καὶ τῆς εὐτοκίας ἧς εἶχεν εἰς τοὺς παῖδας ἀφαιρεῖν· οὐδὲ γὰρ πρὸς αὐτὸν ἄντικρυς ἔλεγον, ἀλλ' εἰς τὸ λοιπὸν πλῆθος ἐσκώπτιζον τοὺς τοιούτους λόγους· ἐξ οὗ πρὸς τὸν Ἡρῴδην ἀναφερομένων ὑποκατέσκεν αἶσχος μᾶσσον οὐδ' αὐτῇ τῇ φύσει
11 χρώντι νικώμενον. ἐν μέντοι τῷ τότε πάσης ἐπιφανείας καὶ διαβολῆς μείζονι χρώμενος ὁ βασιλεὺς τῇ τοῦ γεγεννηκέναι φιλαστοργίᾳ καὶ τιμῆς ἧς εἶδεν μετεδίδου καὶ γυναῖκας ἐν ἡλικίᾳ γεγονόσιν ἐξεύρισκεν. Ἀριστοβούλῳ μὲν τὴν Σαλώμης θυγατέρα Βερενίκην, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ Καππαδόκων βασιλέως Γλαφύραν.

12 II. 1. Ταῦτα διοικήσας, ἐπειδὴ καὶ Μᾶρκον Ἀγρίππαν ἐνθετο καταπεπλευκέναι πάλιν ἐκ τῆς Ἰταλίας εἰς τὴν Ἀσίαν, ἐπειχθεὶς πρὸς αὐτὸν ἠξίωσεν εἰς τε τὴν βασιλείαν αὐτοῦ παρελθεῖν
13 καὶ τυχεῖν ὧν ἔδει παρὰ ἀνδρὸς ξένου καὶ φίλου. κἀκεῖνος μὲν οὐδὲν ἧττον ἐγκείμενον ἦκεν εἰς τὴν Ἰουδαίαν. Ἡρῴδης δὲ οὐδὲν ἀφυκτείας ἀπέλιπεν ἔν τε ταῖς πανηγύρεσιν πόλεσιν ὑποδεχόμενος αὐτὸν καὶ μετὰ τοῦ τὰς κατασκευὰς ἐπιδεικνύναι πᾶσαν ἀπόλαυσιν διαίτης καὶ πολυτελείας ἐξαλλάττων αὐτῷ καὶ τοῖς φίλοις ἔν τε τῇ Σεβαστῇ καὶ Καισαρείᾳ περὶ τὸν λιμένα τὸν ὑπ' αὐτοῦ κατεσκευασμένον κἀν τοῖς ἐρύμασιν, ἃ πολλαῖς θαυτάναις ἐξικνοῦμενον.
14 τό τε Ἀλεξάνδρειον καὶ Ἡρῴδειον καὶ τὴν Ὑρκανίαν. ἦγεν δὲ καὶ εἰς τὴν πόλιν τῶν Ἱεροσολυμιτῶν ὑπαντῶντός τε τοῦ δήμου παντὸς ἐν ἐορτοῖδει στολῇ καὶ δεχομένου τὸν ἄνδρα σὺν εὐφημίαις. Ἀγρίπ-

§ 11 = bell. Iud. I 446.

PAMWELat Zonaras I p. 437.

2 *μετέφερον] ὕφερον M 4 συνιέναι] coni. συνεῖναι codd. 5 ταύτας coni. ἐπὶ τὸ πιθανὸν τῆς] ἄλλης W πειθανὸν P τὰς αἰτίας coni. 6 ἧς] ἣν P S *οὗ] ὧν ed. pr. *τὸν om. W 9 οὐδ' — 10 νικώμενον om. ELat 10 νικόμενον P *μέντοι] δέ τοι W 11 *μείζονα P *γεγενηκέναι P 12 *ἠλικίαις W 13 *τὴν] τῆς P βερνίκην WE beronicen Lat 14 καππαδοκῶν AME καππάδοκος W 15 in marg. II Lat *ἀγρίππαν in. marg. suppl. M 16 πάλιν εἰς τὴν Ἰταλίαν ἀπὸ τῆς ἀσίας ἐπιχθεὶς P ἐκ τῆς Ἰταλίας om. E 17 *αὐτῷ W 18 παρ' E 19 ἐκκειμένον W *δ' A¹W *οὐδὲ ἀφεσκίας P 20 *ἀπέλειπεν PW 21 μετὰ τοῦ] μετ' αὐτοῦ W ὑποδεικνῦναι P ἐπιδεικνὺς W 23 καὶ om. M Καισαρείᾳ — λιμένα] caesareae portu Lat 24 ἐρύμασιν] ed. pr. ἐπιρύμασιν PA ἐ . . ρύμασιν (eras. πι) M ῥύμασιν W oppidis Lat 25 ἀλεξάνδριον AM ἡρῴδιον (-ρώι- A) AMW hyrcanio Lat 27 *εὐφημίαι AM

ιας δὲ τῷ Θεῷ μὴν ἑκατόμβην κατέθυσεν, ἑστιᾷ δὲ τὸν ὄχλον οὐδενὸς τῶν μεγίστων πλήθει λειπόμενον. αὐτὸς δὲ ὅσον ἐπὶ τῷ καθ' ἡδονὴν κἂν ἔτι πλείους ἐπιμείνας ἡμέρας διὰ τὸν καιρὸν ἠπείγετο· τὸν γὰρ πλοῦν ἐπιβαίνοντος τοῦ χειμῶνος οὐκ ἐνόμιζεν ἀσφαλῆ κομιζομένῳ πάλιν ἐξ ἀνάγκης εἰς τὴν Ἰωνίαν.

2. Ἐκεῖνος μὲν οὖν ἀπέπλει πολλαῖς αὐτὸν δωρεαῖς τετιμη- 16
κότος Ἡρῴδου καὶ τῶν σὺν αὐτῷ τοὺς ἐπισημοτάτους. ὁ δὲ βασιλεὺς χειμάσας ἐν τοῖς οἰκείοις ἔαρος ἠπείγετο συντυχεῖν αὐτῷ τὴν εἰς Βόσπορον εἰδὼς στρατείαν προηγούμενον. καὶ πλεύσας διὰ Ῥό- 17
δου καὶ Κῶ προσέσχεν, περὶ Λέσβον οἰόμενος ἐπικαταλήψεσθαι τὸν Ἀγρίππαν. ἐκεῖ δ' αὐτὸν ἀπολαμβάνει πνεῦμα βόρειον εἴργον τὴν ἀναγωγὴν τῶν νεῶν. ὁ δ' ἐπιδιέτριβεν ἡμέρας πλείους ἐν τῇ 18
Χίῳ καὶ πολλοὺς μὲν τῶν προσιόντων αὐτῷ δεξιούμενος ἀνελάμβανεν βασιλικαῖς δωρεαῖς, αὐτῆς δὲ τῆς πόλεως ἰδὼν πεπτωκυῖαν στοάν, ἣν ἐν τῷ Μιθριδατικῷ πολέμῳ καθαιρεθεῖσαν οὐχ ὥσπερ τὰ ἄλλα διὰ μέγεθος καὶ κάλλος ἀναστῆναι ῥᾴδιον ἦν, χρήματα 19
δοὺς ὅσα μὴ μόνον ἐπαρκεῖν, ἀλλὰ καὶ περιττεύειν ἐδύνατο πρὸς τὴν ἀντέλειαν τοῦ κατασκευάσματος, ἐνετέλλετο μὴ περιορᾶν, ἀλλὰ θᾶττον ἐγείρειν ἀποκαθιστάντας τῇ πόλει τὸν ἴδιον κόσμον. αὖ- 20
τὸς δὲ λήξαντος τοῦ πνεύματος εἰς Μιτυλήνην κἀκεῖθεν εἰς Βυζάντιον παρακομισθείς, ὡς ἤκουσεν ἐντὸς Κυανέων ἤδη πεπλευκέναι τὸν Ἀγρίππαν, μετέσπευδεν ὡς ἐνῆν. καὶ περὶ Σινώπην τὴν ἐν 21
Πόντῳ καταλαβὼν ἀπροσδόκητος μὲν ὤφθη ταῖς ναυσὶ προσπλέων, ἄσμενος δὲ ἐφάνη πολλαί τε φιλοφρονήσεις ἦσαν, ἅτε καὶ μεγίστην πίστιν εἰληφέναι δοκοῦντος εὐνοίας καὶ φιλοστοργίας τῆς εἰς αὐτὸν Ἀγρίππου. τοσοῦτον μὲν πλοῦν ἀνύσαντος τοῦ βασιλέως, οὐκ

PAMWELat

1 *ἔθυσεν AM *ἑστιᾶ P *εἱστία AMW 2 *πλήθους* E *λειπόμενον*] *λειπομένων* P *λιπόμενος* W *λειπόμενος* E et i. marg. A 3 *κἂν*] *καὶ* M 4 *χμῶνος P 5 *κομιζόμενος* E *εἰς*] *ἐπὶ* P *πρὸς* E 7 *τῶν*] E, om. codd. *ὁ δὲ*] i. marg. *III* Lat 8 *ἠπείγετο*] *ηνελγετο* P *στρατείαν*] Dindorf *στρατιὰν* codd. *προηγούμενον*] *προηρημένον* AMW *productarum* Lat, et desideratur particip. futuri *πλεύσας*] *σπεύσας* W 10 *καὶ Κῶ*] *τῇ Κῷ* coni., nisi potius post *Κῶ* excidit, ubi appulerit: nam *περὶ Λέσβον* ad *ἐπικατάλ.* spectat *κῶ* · A *ἐπικαταλήψεσθαι*] *ἐκεῖ καταλήψεσθαι* W 11 *δὲ* W 12 *νηῶν* AMW *δὲ* M et ex corr. A *ἐπιδιέτριβεν*] *ἐπειδιέτριβεν* A^1 *ἐπεὶ διέτριβεν* ex corr. A *ἐπειδὴ διέτριβεν* M 13 *καὶ*] eras. A om. PM 14 *δωρεαῖς* — p. 9, 8 *Ἅπασι* om. A uno folio exciso 15 *καθαιρεθῆσαν* P 16 *ἀναστῆσαι* coni. 17 *ὅσον* W *ἀπαρκεῖν* P 20 *μιτυλίνην* PW 21 *Κυανέων*] *caeruleas cautes* Lat 22 *τὸν*] *ἤδη τὸν* sic P *καὶ περὶ*] *καίπερ εἰσ* W *ἐν*] *ἐν τῷ* WE 23 *καταλαβὼν*] *descendens* Lat *ἀπροσδοκήτως M *τοῖσ* P 24 *ἀσμένως* MW 25 *αὐτὸν*] *τὸν αὐτὸν* W *ἑαυτὸν* Bekker 26 *ἀγρίππαν* W

ἀπολειφθέντος δὲ τῆς ἐκείνου χρείας, ἣν μετὰ τοῦ καταλιπεῖν ἀρ-
22 χὴν καὶ διοίκησιν οἰκείων πραγμάτων προυργιαιτέραν ἔθετο. κἀν
γοῦν ἦν αὐτῷ κατὰ τὴν στρατείαν Ἡρώδης, ἔν τε τοῖς πραγματικοῖς
συναγωνιστὴς κἀν τοῖς κατὰ μέρος σύμβουλος, ἡδὺς δὲ κἀν ταῖς
ἀνέσεσι καὶ μόνος ἁπάντων κοινωνὸς ὀχληρῶν μὲν διὰ τὴν εὔνοιαν,
23 ἡδέων δὲ διὰ τὴν τιμήν. ὡς δ' αὐτοῖς κατείργαστο καὶ τὰ περὶ
τὸν Πόντον. ὃν ἕνεκεν Ἀγρίππας ἐστάλη, τὴν ἀνακομιδὴν οὐκέτ'
ἐδόκει ποιεῖσθαι πλείοσιν. ἀλλὰ διαμειψάμενοι τὴν τε Παφλαγονίαν
καὶ Καππαδοκίαν κἀκεῖθεν ἐπὶ τῆς μεγάλης Φρυγίας ὁδεύσαντες
εἰς Ἔφεσον ἀφίκοντο. πάλιν δὲ ἐξ Ἐφέσου διέπλευσαν εἰς Σάμον.
24 πολλαὶ μὲν οὖν καὶ κατὰ πόλιν ἑκάστην εὐεργεσίαι τῷ βασιλεῖ κατὰ
τὰς χρείας τῶν ἐντυγχανόντων ἐγένοντο· καὶ γὰρ αὐτὸς ὅσα διὰ
χρημάτων ἢν ἡπίξεως οὐ παρέλειπεν ἐξ αὐτοῦ τὰς δαπάνας ποιού-
μενος καὶ τῶν παρὰ Ἀγρίππα τισὶν ἐπιζητουμένων μεσίτης ἦν
25 καὶ διεπράττετο μηδενὸς ἀτυχῆσαι τοὺς δεομένους. ἅντος δὲ κἀκεί-
νου χρησιοῦ καὶ μεγαλοψύχου πρὸς τὸ παρέχειν ὅσα τοῖς ἠξιωκόσιν
ὠφέλιμα ὄντα μηδένα τῶν ἄλλων ἐλίττει. πλεῖστον ἡ τοῦ βασιλέως
εἰκοίη φορὴ προτρέπουσα πρὸς τὰς εὐεργεσίας οὐ βραδύνοντα τὸν
26 Ἀγρίππαν. Ἰλιεῦσι μέν γε αὐτὸν διήλλαξεν, διέλυσεν δὲ Χίοις τὰ
πρὸς τοὺς Καίσαρος ἐπιτρόπους χρήματα καὶ τῶν εἰσφορῶν ἀπήλ-
λαξεν, τοῖς δὲ ἄλλοις καθὸ δεηθεῖεν ἕκαστοι παρίστατο.
27 3. Τότε δὲ περὶ τὴν Ἰωνίαν αὐτῶν γενομένων πολὺ πλῆθος
Ἰουδαίων, ὑπὸ τὰς πόλεις οἴκει, πρόσμοι καιροῦ καὶ παρρησίας ἐπει-
λημμένοι, καὶ τὰς ἐπηρείας ἔλεγον, ἃς ἐπηρεάζοντο μήτε νόμοις
οἰκείοις ἐώμενοι χρῆσθαι δίκας τε ἀναγκαζόμενοι διδόναι καὶ ἐπι-
28 ρίαν τῶν εὐθυνόντων ἐν ἱεραῖς ἡμέραις, καὶ τῶν εἰς Ἱεροσόλυμα
χρημάτων ἀνατιθεμένων ἀφαιροῖντο στρατειῶν καὶ λειτουργιῶν
ἀναγκαζόμενοι κοινωνεῖν καὶ πρὸς ταῦτα δαπανᾶν τῶν ἱερῶν χρη-

---

PMWELat

1 καταλειπεῖν P 3 στρατιᾶν PW 4 κἀν] καὶ PW 7 οὐκ ἔτι E
8 *καππαδοκίαν καὶ παφλαγονίαν tr. M non male *παφλαγονίαν P 10 *ἀφίκοντο P διέπλευσαν] διαπλεύσαντες W ἐξέπλευσαν E 11 καθ' ἑκάστην πόλιν tr. W 12 καὶ γὰρ — 14 ποιούμενος] *dum largitionibus minime parceret* Lat 13 ἡπίξεως] δεξιώσεως M ἢ δεξιώσεως W ἐπείξεως coni. dubitanter παρέλιπεν M 14 παρ' W τισὶν] τινῶν W 17 ὠφέλιμα PW
19 ἰλιεῦσι P γε] γὰρ edd. pr. διήλλαξε] διήλλαξεν ἀργζόμενον MWLat τὰ] τὰς W 21 ἑκάστοις W 22 i. marg. *IIII* Lat *γεναμένων P
23 *ἐπιλημμένοι P 24 *ἐπηρίας P *ἐπηρεάζοντο coni. 25 τε ex τα corr. P κατεπηρίαν P 26 εὐθυνούντων W καὶ] καὶ ὡς Dindorf 27 χρημάτων ἀνατιθεμένων] ἀνατεθειμένων τῷ θεῷ χρημάτων E *στρατιῶν codd. *καὶ λειτουργιῶν om. P

μάτων, ὧν ἀφείθησαν αἰεὶ Ῥωμαίων αὐτοῖς ἐπιτρεψάντων κατὰ τοὺς οἰκείους ζῆν νόμους. τοιαῦτα καταβοώντων παρεστήσατο μὲν 29
ὁ βασιλεὺς ἀκοῦσαι τὸν Ἀγρίππαν αὐτῶν δικαιολογουμένων, Νικόλαον δέ τινα τῶν αὐτοῦ φίλων ἔδωκεν εἰπεῖν ὑπὲρ αὐτῶν τὰ δίκαια.
τοῦ δὲ Ἀγρίππου Ῥωμαίων τε τοὺς ἐν τέλει καὶ βασιλέων καὶ δυ- 30
ναστῶν τοὺς παρόντας αὐτῷ συνέδρους ποιησαμένου κατεστὰς ὁ Νικόλαος ὑπὲρ τῶν Ἰουδαίων ἔλεξεν·

4. „Ἅπασι μέν, ὦ μέγιστε Ἀγρίππα, τοῖς ἐν χρείᾳ γεγενη- 31
μένοις ἀνάγκη καταφεύγειν ἐπὶ τοὺς ἀφελήσαι τὰς ἐπιρρείας αἰ-
τῶν δυνησομένους, τοῖς δὲ νῦν ἐντυγχάνουσιν καὶ παρρησίαν τυγχά- 32
τειν γὰρ πρότερον ὑμῶν οἵοις τ' ἦσαν πολλάκις, τὸ μὴ τὰς χάριτας
ἀφαιρεῖσθαι δι' ὑμῶν αὐτοῦνται τῶν δεδωκότων, καὶ ταῦτα εἰλη-
φότες μὲν αὐτὰς παρὰ τούτων, οἷς μόνοις διδόναι δύναμις, ἀφαι-
ρούμενοι δ' ὑπ' οὐδενὸς κρείττονος, ἀλλ' οὓς ἴσον ἔχειν αὐτοῖς
ἀρχομένους ὁμοίως ὑμῶν ἴσασιν. καίτοι γε εἴτε μεγάλων ἠξιώθη- 33
σαν, ἔτιμός ἐστιν τῶν τετιχηκότων ὅτι τοσούτων παρέσχον αὐτοὺς
ἀξίους, εἴτε μικρῶν, αἰσχρὸν μὴ καὶ ταῦτα βεβαιοῦν δεδωκότας.
οἵ γε μὴν ἐμπόδων ὄντες καὶ πρὸς ἐπήρειαν χρώμενοι Ἰουδαίοις 34
εἴδηλον ὡς ἄμφω ἀδικοῦσιν, τοὺς εἰληφότας, εἰ μὴ νομίζοιεν ἀγα-
θοὺς οἷς οἱ κρατοῦντες ἐμαρτύρησαν ἐν τῷ καὶ τοιαῦτα δεδωκέναι.
καὶ τοὺς δεδωκότας, εἰ τὰς χάριτας αὐτῶν ἀβεβαίους ἀξιοῦσιν γε-
νέσθαι. εἰ δέ τις αὐτοὺς ἔροιτο δύο τούτων θάτερον ἐθέλοιεν ἂν 35
ἀφαιρεθῆναι, τὸ ζῆν ἢ τὰ πάτρια ἔθη τὰς πομπὰς τὰς θυσίας τὰς
ἑορτάς, ἃς τοῖς νομιζομένοις προσάγουσι θεοῖς, εὖ οἶδ', ὅτι πάντα
μᾶλλον αἱρήσονται παθεῖν ἢ καταλῦσαί τι τῶν πατρίων· καὶ γὰρ 36

PAMWLat

1 *ἀεὶ* WE *αὐτοὺσ* (infra ubi haec uerba iterat *αὐτοῖσ*) E 2 *παρητήσατο* ME *praesentauit* Lat 3 *αὐτὸν* E *δικαιολογουμένων] διαλεγομένων* W 4 *ὑπὲρ] περὶ* M 5 *ἀγρίππα* WE *τοὺσ ἐν τέλει τε* tr. W 6 *καταστὰς] κατασῖσας* P 7 *ἔλεξεν* W *ἔλεγεν* E 8 *μὲν] incip. fol. 195* A *γεγε· νημένοισ* A 9 *ἐπηρίασ* P 11 *ὑμῶν* om. AMW *εὖξαντο* PAM 12 *αὐτοῦντασ* W 13 *παρὰ] περὶ* P 14 *ἀλλ' — ἴσον] ἄλλουσ εἰσ ὃν* W 15 *ἀρχομένουσ] Cocceji* Lat *ἀρχομένοισ* codd. *ὑμῶν] PA*[1]*W ὑμῖν* M et ex corr. A *ὑφ' ὑμῶν* coni. *εἴτε] εἰ* AMW *siquidem* Lat 16 *ὅτι] εἰ* W non male *τοσοῦτον* PA[1]W *αὐτοὺσ* PMW 17 *μικρὸν* W *αἰσχρὸν] om.* P ex *αἰσχρων* corr. A *δεδωκότασ] τοὺσ δεδωκότασ* AMW 18 *ἐπηρίαν* P 19 *ἄμφω] ἐφ' ὧ* W *ἄμφω — εἰληφότασ] ἀμφωτασ* P *τοὺσ] τοὺσ μὲν* uel *καὶ τοὺσ* coni. 20 *κρατοῦντεσ] κράτιστοι* W *ἐμαρτύρησεν* A[1] *δεδοκέναι* W 21 *καὶ τοὺσ] τοὺσ* P *τοὺσ δὲ* coni. *εἰ] εἰσ* P, om. W *βεβαίουσ* W 22 *δέ] μή* W *εροῖτο* P *θάτερον] πότερον* Dindorf *utrum* Lat, altius corruptelam haerere puto *ἐθέλοι ἂν* P 23 *τὸ ζῆν ἢ* om. PLat

τοὺς πολέμους οἱ πολλοὶ διὰ ταῦτα αἱροῦνται φυλαττόμενοι μὴ παραβαίνειν αὐτά. καὶ τὴν εὐδαιμονίαν, ἣν τὸ σύμπαν τῶν ἀνθρώπων γένος δι' ὑμᾶς ἔχει, τούτῳ μεμερίμεθα τῷ ἐξεῖναι κατὰ 37 χώραν ἑκάστοις τὰ οἰκεῖα τιμᾶσιν αὔξειν καὶ διαζῆν. τοῦτο μὲν οὖν οὐκ ἂν αὐτοὶ παθεῖν ἑλόμενοι βιάζονται ἄρχειν καθ' ἑτέρων ὥσπερ οὐχ ὁμοίως ὑπεύθυνοι. εἶτε τῶν οἰκείων εἰς θεοὺς ὁσίων ἀμελοῦεν, 38 εἴτε τὰ οἰκεῖα τισὶν ἀνοσίως καταλύσειεν, τόδ' ἕτερον δ' ἤδη σκοπήσομεν· ἔστι τις δῆμος ἢ πόλις ἢ κοινὸν ἔθνος ἀνθρώπων, οἷς οὐ μέγιστον ἀγαθῶν πέφυκε προστασία τῆς ὑμετέρας ἀρχῆς καὶ τὸ Ῥωμαϊκὸν κράτος; ἐθέλοι δ' ἂν τις ἀκούων τὰς ἐντεῦθεν εἶναι χάρι- 39 τας οὐδεὶς οὐδὲ μαινόμενος· οὐδὲ γὰρ εἰσὶν οἱ μὴ μετέχοντες αὐτῶν ἰδίᾳ καὶ κοινῇ. καὶ μὴν οἱ τινὰς ὧν ὑμεῖς ἔδοτε παραιρούμενοι 40 βέβαιον οὐδ' αὐτοῖς οὐδὲν ὧν δι' ὑμᾶς ἔχουσιν ὑπολείπονται. καίτοι τὰς μὲν τούτων χάριτας οὐδὲ μετρῆσαι δυνατόν ἐστιν· εἰ γὰρ ἐκλογίσαιντο τὴν πάλαι βασιλείαν καὶ τὴν νῦν ἀρχήν, πολλῶν ὄντων ὅσα πρὸς εὐδαιμονίαν αὐτοῖς ἐπέδωκεν, ἔτι κατὰ πάντων ἀρκεῖ 41 τὸ μηκέτι δούλους ἀλλ' ἐλευθέρους φαίνεσθαι. τὰ δ' ἡμέτερα καὶ λαμπρῶς πραττόντων οὐκ ἔστιν ἐπίφθονα· δι' ὑμᾶς γὰρ καὶ μετὰ πάντων εὐτυχοῦμεν καὶ τούτου μόνου μετέχειν ἠξιώσαμεν, ἀκωλύτως τὴν πάτριον εὐσέβειαν διαφυλάττειν, ὃ καὶ καθ' αὑτὸ δόξειεν 42 οὐκ ἐπίφθονον καὶ πρὸς τῶν συγχωρούντων εἶναι· τὸ γὰρ θεῖον, εἰ χαίρει τιμώμενον, χαίρει τοῖς ἐπιτρέπουσι τιμᾶν, ἐθῶν τε τῶν ἡμετέρων ἀπάνθρωπον μὲν οὐδέν ἐστιν, εὐσεβῆ δὲ πάντα καὶ τῇ 43 αὐτῇ δικαιοσύνῃ συγκαθωσιωμένα. καὶ οὔτε ἀνοκρυπτόμεθα τὰ παραγγέλματα, οἷς χρώμεθα πρὸς τὸν βίον ὑπομνήμασιν τῆς εὐσεβείας καὶ τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων, τήν τε ἑβδόμην τῶν

PAMWLat

1 ταῦτ' ἀναιροῦνται coni. μὴ] μὴ τὸ A μὴ τὸ M 3 τῷ] τὸ P 4 αὔξειν] ἄγειν AMW ad τοῦτο i. marg.: γρ τοῦτο μὲν οὖν οὐκ ἂν αὐτοὶ παθεῖν ἐθέλοιεν ὃ, βιάζονται A 6 ὁσίους W 7 ἀνοσίοις W καταλύοιεν] καταλυθεῖεν P καταλύοιντο W τόδ'] τὸ δ' codd. δ' om. AMW σκοπήσωμεν AM et ex corr. P σκοπίσωμεν W consideremus Lat 8 ἀνθρώποις AMW 9 μεγίστων ἀγαθῶν P μέγιστον ἀγαθὸν AMW πέφυκε] πέφηνεν ἡ AMW apparuit Lat προστασία] continentia Lat 10 ἀκούοις] ἀκοῦσαι W 12 οἱ] εἰ M τινὰ AM τινες W ἔδοτε] ἐλοτε P παραιρούμενοι ex παραινούμενοι corr. A 14 τούτων] nostra Lat 15 πάλαι] πᾶσαν W 16 ἔτι non placet ἀρκεῖ τὸ] ἀρκεῖται W 17 ἀλλὰ W δὲ M et ex corr. A 18 λαμπρῶς] ὡς ex ὧν corr. uid. A 19 ἀκολύτως P 20 καὶ] κἂν coni. καθ' ἑαυτό AM δείξειεν P 21 πρὸς] προ PW 22 εἰ] ἀεὶ W τε] δὲ AM 23 καὶ τῇ πάντα tr. W 24 συνήθει] συνήθη P σωζούσῃ AM ζούσῃ W salutari Lat συγκαθοσιωμένα P οὔτ' W

ἡμερῶν ἀνίεμεν τῇ μαθήσει τῶν ἡμετέρων ἐθῶν καὶ νόμου, μελέτην
ὥσπερ ἄλλου τινὸς καὶ τούτων ἀξιοῦντες εἶναι δι' ὧν οὐχ ἁμαρ-
τησόμεθα. καλὰ μὲν οὖν, ἐὰν ἐξετάζῃ τις καὶ καθ' αὑτὰ τὰ ἔθη, 44
καλαὶ δ' ἡμῖν, κἂν μή τισιν δοκῇ, ὥστ' αὐτῶν καὶ τὸ τοῦ χρόνου
τιμητὸν δυσαποδίδακτον εἶναι τοῖς ὁσίως παρειληφόσιν καὶ διαφυ-
λάττουσιν. τούτων ἡμᾶς ἀφαιροῦνται κατ' ἐπήρειαν, χρήματα μὲν 45
ἃ τῷ θεῷ συμφέρομεν ἐπώνυμα διαφθείροντες καὶ φανερῶς ἱερο-
συλοῦντες, τέλη δ' ἐπιτιθέντες κἂν ταῖς ἑορταῖς ἄγοντες ἐπὶ δικα-
στήρια καὶ πραγματείας ἄλλας, οὐ κατὰ χρείαν τῶν συναλλαγμά-
των, ἀλλὰ κατ' ἐπήρειαν τῆς θρησκείας, ἣν συνίσασιν ἡμῖν, μῖσος
οὐ δίκαιον οὐδ' αὐτεξούσιον αὐτοῖς πεπονθότες. ἡ γὰρ ὑμετέρα 46
κατὰ πάντων ἀρχὴ γενομένη μία τὴν μὲν εὔνοιαν ἐνεργὸν τὴν δὲ
δύσνοιαν ἄνεργον ποιεῖ τοῖς τὸ τοιοῦτον ἀντ' ἐκείνου προαιρουμέ-
νοις. ταῦτ' οὖν ἀξιοῦμεν, ὦ μέγιστε Ἀγρίππα, μὴ κακῶς πάσχειν 47
μηδ' ἐπηρεάζεσθαι μηδὲ κωλύεσθαι τοῖς ἔθεσι χρῆσθαι τοῖς ἡμε-
τέροις μηδ' ἀφαιρεῖσθαι τῶν ὄντων μηδ' ἃ μὴ βιαζόμεθα τούτοις
ὑπὸ τούτων βιάζεσθαι· καὶ γὰρ οὐ δίκαια μόνον ἐστίν, ἀλλὰ καὶ
ὑφ' ὑμῶν δεδομένα πρότερον. ἔτι καὶ δυναίμεθ' ἂν πολλὰ δό- 48
γματα τῆς συγκλήτου καὶ τὰς ἐν τῷ Καπετωλίῳ κειμένας δέλτους
ὑπὲρ τούτων ἀναγινώσκειν, ἃ δῆλον μὲν ὡς μετὰ πεῖραν τῆς ἡμε-
τέρας εἰς ὑμᾶς πίστεως ἐδόθη, κύρια δὲ κἂν εἰ μηδενὸς ὄντος ἄρξει
ἐχαρίσασθε. σχεδὸν γὰρ οὐ μόνοις ἡμῖν ἀλλὰ πᾶσιν ἀνθρώποις 49
τὰ μὲν ὄντα φυλάξαντες, μείζω δὲ τῶν ἐλπισθέντων προσθέντες
ἐνεργετεῖτε τῷ κρατεῖν, καὶ δύναιτ' ἄν τις ἐπεξιὼν τὰς ἑκάστων
εὐτυχίας, ὡς δι' ὑμῶν ἔχουσιν, ἀπερίληπτον ποιῆσαι τὸν λόγον.

PAMWLat

1 *ἀνίεμεν*] i. marg. *γρ. ἀνεῖμεν* A *νόμων* W *μελέτην*] ed. pr. *μελέτη* codd. 2 *εἶναι ἀξιοῦντες* tr. P *δι'* om. AMW *οὐκ* P 4 *δὲ* AMW *δοκεῖ* AM *δοκεῖν* W *ὥστε* M et ex corr. A *τὸ*] *τῇ* W *τοῦ χρόνου*] *χρόνῳ* coni. 5 *τιμῆ τὸ δυσαπόδεκτον εἶναι* W 6 *ἐπηρίαν* P 7 *ἃ*] *ἅπερ* M *διαφθείροντες*] *διαπάζοντες* AMW *rapientes* Lat *ἱεροσυλοῦντες τέλη, τεσ τέ* i. ras. A . 8 *δὲ* W *ἐπιθέντες* AMW *κἂν*] *καὶ* W 9 *πραγματίας* P *χρίαν* P *συναλαγμάτων* P 10 *ἣν*] *ἣν καὶ* W *συνίσασειν* P *συνήσασιν* W 12 *δὲ* om. W 13 *ἄνεργον*] *ἀεργὸν* AMW *τὸ* om. W 15 *μηδὲ* AMW *ἐπερεάζεσθαι* W *μηδὲ κωλύεσθαι* om. W 16 *μὴ δὲ ἀφαιρεῖσθαι* A 18 *ἔτι*] *ἐστι* W *δυναίμεθ' ἄν*] *δυνάμεθα* AM *δυνάμεθάη* W 19 *καπέτωλίω* (s. m. rec.) A 20 *ἃ δῆλον*] *ἄδηλον* P *ἡμετέρας*, *ἡ* ex *ὑ* corr. P 21 *κύρια* — 22 *ἐχαρίσασθε*] *et si nullatenus fideles uobis apparuissemus, deberent tamen firma esse quae donastis* Lat *κἂν εἰς μηδὲν χρησίμοις ὑπάρξασιν* olim conieci Hermes XI 479 *ἅπερξεν*] *ὑπάρχοντος* AM *ὑπάρξαντος* W 23 *τὰ μένοντα* P *φυλάξαντες*] *ἐφυλάξασθε* W 24 *τῷ*] *τὸ* P 25 *ἔχωσιν* P

50 ἵνα μέντοι καὶ δικαίως ἁπάντων αὐτῶν τυγχάνοντας ἑαυτοὺς ἐπι-
δείξωμεν, ἀρκεῖ πρὸς παρρησίαν ἡμῖν τὰ πρότερον σιωπήσασιν τὸν
51 βασιλεύοντα νῦν ἡμῶν καὶ σοὶ παρακαθεζόμενον εἰπεῖν. ᾧ ποία
μὲν εὔνοια πρὸς τὸν ἡμέτερον οἶκον παραλέλειπται; ποία δὲ πίστις
ἐνδεής ἐστιν; τίς δὲ οὐ νενόηται τιμή; ποία δὲ χρεία μὴ εἰς πρῶ-
τον ὁρᾷς; τί δὴ κωλύει καὶ τὰς ἡμετέρας χάριτας τῶν εἰς τοσούτων
52 εὐεργεσιῶν ἀριθμὸν εἶναι; καλὸν δ' ἴσως μηδὲ τὴν τοῦ πατρὸς
Ἀντιπάτρου παραλιπεῖν ἀνδραγαθίαν ἀμνημόνευτον, ὃς εἰς Αἴ-
γυπτον εἰσβεβληκότος Καίσαρος δισχιλίους ἀτελίτας βοηθήσας οὔτ'
ἐν τοῖς κατὰ γῆν ἀγῶσιν οὔθ' ὅτε νεῶν ἔδει δεύτερος ἐξετάζετο.
53 καὶ τί δεῖ λέγειν, ὅσην ἐκεῖνοι παρέσχον ῥοπὴν τῷ τότε καιρῷ καὶ
πόσων καὶ τίνων δωρεῶν ὑπὸ Καίσαρος ἠξιώθησαν καθ' ἕνα, δέον
ἀναμνῆσαι τῶν ἐπιστολῶν, ἃς ἔγραψεν τότε Καῖσαρ τῇ συγκλήτῳ,
54 καὶ ὡς δημοσίᾳ τιμὰς καὶ πολιτείαν ἔλαβεν Ἀντίπατρος; ἀρκέσει
γὰρ ταῦτα τὰ τεκμήρια τοῦ καὶ τὰς χάριτας ἡμᾶς κατ' ἀξίαν ἔχειν
καὶ παρὰ σοῦ τὸ βέβαιον αὐτῶν αἰτεῖν, παρ' οὗ καὶ μὴ πρότερον
ἀπιθείσας ἢν ἐλπίσαι τὴν τοῦ βασιλέως πρὸς ἡμᾶς διάθεσιν καὶ
55 τὴν ἡμετέραν πρὸς αὐτὸν ὁρῶσιν. ἀπαγγέλλεται δ' ἡμῖν ὑπὸ τῶν
ἐκεῖ Ἰουδαίων, ὡς μὲν ἐπέβης τῆς χώρας εὐμενής, ὡς δὲ ἀπέδωκας
τῷ θεῷ τέλεια θύματα τιμῶν αὐτὸν ἐπὶ τελείαις εὐχαῖς, ὡς δὲ
56 τὸν δῆμον εἱστίασας καὶ τὰ παρ' ἐκείνου ξένια προσήκω. ταῦτα
γὰρ πάντα καὶ ἔθνει καὶ πόλει πρὸς ἄνδρα τοσούτων ἐπιστατοῦντα
πραγμάτων δεξιώματα καὶ σύμβολα φιλίας χρὴ δοκεῖν, ἣν ἀπέδω-
κας τῷ Ἰουδαίων ἔθνει τῆς Ἡρώδου προξενούσης αὐτὴν ἑστίας.
57 τούτων ὑπομιμνήσκοντές σε καὶ αὐτοῦ τοῦ παρόντος καὶ συγκαθε-
ζομένου βασιλέως ἠξιώσαμεν λειπτὸν οὐδέν, ἃ δ' αὐτοὶ διδόκατε
ταῦθ' ὑπ' ἄλλων μὴ περιιδεῖν ἀφαιρουμένους."
58 5. Τοιαῦτα μὲν τοῦ Νικολάου διελθόντος ἐγένετο οὐδεμία

PAMWELat

3 εἰπεῖν — 4 ὑμέτερον om. W ᾧ] ὡς P 4 παραλέλειπταισ W ποία — 5 τιμή om. W 5 πρῶτον] προῦπτον M *γρ* προῦπτον i. marg. A 6 ad τῶν i. marg. *γρ* τῶν τοσούτων ευεργεσιῶν εἰσ ἀριθμὸν εἶναι A εἰσ τοσοῦτον W εἰς τοῦτον coni. 7 καλὸν] δίκαιον W 8 παραλειπεῖν P εἰς om. W 9 εἰσβεβηκότοσ A 10 οὔτ' ὅτε P 11 *parésχον*] *profecit* Lat 12 καθ' ἕνα] καθ' ἓν AM ἄνωθεν W 13 ὑπομνῆσαι W 15 τὰ om. W 16 πρότερον μὴ tr. W 17 ἡμᾶς] ἡμᾶσ PAM 18 i. marg. *γρ* ἀπήγγελται AM δὲ AMW ὑμῖν AM 20 ἐπὶ τελείαισ] Cocceji ἐπιτελείαισ codd. 21 ἱστίασασ P ἑστιάσασ W ξένεια P 22 ἔθνει] ἐν ἔθνει P πόλειω W 25 συνκαθεζομένου P 26 ἃ δ'] ἀλλ' P ἃ δὲ E 27 ταῦτ' PW ταῦτα E ἀφαιρούμενα E 28 μὲν] δὲ AMW, om. E διεξελθόντοσ E ἐγένετο] ἐγένετο μὲν AMWE

τῶν Ἑλλήνων ἀντικατάστασις· οὐδὲ γὰρ ὡς ἐν δικαστηρίῳ περὶ
τῶν προκειμένων διελάμβανον, ἀλλ' ἦν ἔντευξις ὧν ἐβιάζοντο. κα- 59
κείνων ἀπολογία μὲν οὐδεμία τοῦ μὴ ταῦτα ποιεῖν, πρόφασις δέ,
ὡς τὴν χώραν αὐτῶν νεμόμενοι πάντα νῦν ἀδικοῖεν. οἱ δὲ ἐγγενεῖς
τε αὐτοὺς ἐδείκνυσαν καὶ τῷ τὰ οἰκεῖα τιμᾶν μηδὲν λυποῦντες οἰ-
κεῖν. συνιδὼν οὖν Ἀγρίππας βιαζομένους ἀπεκρίνατο ταῦτα· διὰ 60
μὲν τὴν Ἡρώδου πρὸς αὐτὸν εὔνοιάν τε καὶ φιλίαν ἕτοιμος εἶναι
πᾶν ὑπουργεῖν χαρίζεσθαι Ἰουδαίοις, ἃ δὲ ἀξιοῦσιν καὶ καθ' αὑτὰ
δίκαια δοκεῖν· ὥστ', εἰ μὲν ἐδέοντο καὶ πλειόνων, οὐκ ἂν ὀκνῆσαι
τά γε μὴ λυποῦντα τὴν Ῥωμαίων ἀρχὴν παρασχεῖν. ἐπεὶ δὲ ἃ καὶ
πρότερον εἴληφασιν ἄκυρα μὴ γένεσθαι, βέβαιον αὐτοῖς ἀνεπηρέα-
στοις ἐν τοῖς οἰκείοις διατελεῖν ἔθεσιν. τοιαῦτα εἰπὼν διέλυε τὸν 61
σύλλογον. Ἡρώδης δὲ προσεστὼς κατησπάζετο καὶ τῆς εἰς αὐτὸν
διαθέσεως ὡμολόγει χάριν. ὁ δὲ καὶ εἰς ταῦτα φιλοφρονούμενος
ὧν αὐτὸν παρῆκεν ἀντεμπλεκόμενος καὶ καταναλίσκων. καὶ 62
τότε μὲν ἀνεχώρησεν· ἀπὸ δὲ Σάμου πλεῖν ὁ βασιλεὺς ἐπ' οἴκου
διέγνω καὶ τὸν Ἀγρίππαν παραιτησάμενος ἀνῆχθη, κατάγεται δ'
εἰς Καισάρειαν οὐ πολλαῖς ὕστερον ἡμέραις πνευμάτων ἐπιτηδείων
τυχών. κἀκεῖθεν ἐλθὼν εἰς Ἱεροσόλυμα συνήγαγεν ἐκκλησίαν πάν-
δημον· ἦν δὲ πολὺς κἀκ τῆς χώρας ὄχλος. ὁ δὲ παρελθὼν ἀπο- 63
λογισμόν τε τῆς ὅλης ἐδημίας ἐποιήσατο καὶ τὰ περὶ τοὺς Ἰου-
δαίους, ὅσοι κατὰ τὴν Ἀσίαν ἦσαν, ὡς δι' αὐτὸν ἀνεπηρεάστως
εἰς τὸ λοιπὸν ἔξουσιν διηγήσατο. τό τε σύμπαν ἐπὶ ταῖς εὐτυχίαις 64
καὶ τῇ διοικήσει τῆς ἀρχῆς [ὡς] οὐδενὸς παραλείποιτο τῶν ἐκείνοις

PAMWELat

2 *ἦν] ἡ W 3 *δ' ἀπολογία coni. 4 *νεμώμενοι P εὐγενεῖσ PW 5 αὐτοὺσ PMW λοιποῦντεσ A¹ 6 i. marg. *V* Lat συνειδὼν P συνιὼν δὲ ὁ ἀγρίππασ βιαζόμενοσ E 8 *ὅτοιοῦν W χαρίσασθαι E ἃ δὲ] om. AMWE *tamen haec quae* Lat *καθ' αὑτὰ PM 9 *δίκαια] δὲ δίκαια W 10 μὴ] μὴν P λοιποῦντα AM ἐπεὶ δὲ — 11 γενέσθαι] *sed quoniam haec et prius acceperunt infirma fieri nullatenus concedo* Lat ἐπεὶ δὲ] ἐπειδὴ P ἔδει δὲ E 11 *πρότερον] πρῶτον W *γεγενέσθαι W aegre desideratur uerbum regens διὸ ante βεβαιοῦν add. E ἀνεπηρεάτουσ WE 12 ταῦτα E διέλυσε WE 13 προεστὼσ PA¹W εἰς] πρὸσ WE 14 ὁ — 16 ἀνεχώρησεν om. E 15 αὐτὸν codd. 16 ἀνεχώρησεν] *discesserunt* Lat ἀνεχώρησεν ἀπὸ λέσβου AMW i. marg. *VI* Lat ἀπὸ δὲ Σάμου om. WE Lat ὁ] δ' (δὲ E) ὁ WELat 17 διεγνωκὼσ E δὲ AMWE 21 ἀποδημίασ WE 23 *διηγήσατο — 14, 1 φόρων] *narrauit etiam quae felicitas uel gubernatio principatus sui eis profuisset nec non et quartam partem fiscalium* Lat *ἐπὶ ταῖς εὐτυχίαις melius p. 14, 1 ante ἀγαλλόμενοσ ponetur addita copula; certe sententiae ordo turbatus est 24 *καὶ] κἀν coni. *ὡς om. P οὐδὲν παραλείποι τῶν E παραλίποιτο AM ἆρα λείποιτο Holwerda

συμφερόντων, ἀγαλλόμενος τὸ τέταρτον τῶν φόρων ἀφίησιν αὐτοῖς
65 τοῦ παρελθόντος ἔτους. οἱ δὲ καὶ τῷ λόγῳ καὶ τῇ χάριτι δεδημαγωγημένοι μετὰ πλείστης χαρᾶς ἀπῆσαν πολλὰ ἀγαθὰ συνευχόμενοι τῷ βασιλεῖ.

66 III. 1. Προὐβαινε δ' ἀεὶ τὰ κατὰ τὴν στάσιν τῆς οἰκίας καὶ καλλιωτέραν ἐλάμβανε τὴν ἐπίδοσιν, ἀντιμεταλαβούσης μὲν ὥσπερ ἐκ κληρονομίας τὸ κατὰ τῶν νεανίσκων μῖσος τῆς Σαλώμης καὶ πᾶν ὅσον εὐδοκιμήκει κατὰ τῆς μητρὸς αὐτῶν εἰς ἀπόνοιαν καὶ θράσος λαμβανούσης μηδένα τῶν ἐξ ἐκείνης καταλιπεῖν, ὃς δυνή-
67 σεται τιμωρῆσαι τῷ θανάτῳ τῆς δι' αὐτὴν ἀνηρημένης. ἐχόντων δέ τι καὶ τῶν νεανίσκων θρασὺ καὶ δύσνουν εἰς τὸν γεγεννηκότα μνήμη τε τῆς μητρὸς οἷα πάθοι παρὰ τὴν ἀξίαν καὶ τῇ τοῦ πρα-
68 τεῖν ἐπιθυμίᾳ. πάλιν τε τὸ κακὸν ὅμοιον ἐγεγόνει τοῖς πρώτοις. βλασφημίαι μὲν ἐξ ἐκείνων εἰς τε τὴν Σαλώμην καὶ τὸν Φερώραν, κακοήθειαι δὲ τούτων εἰς τὰ μειράκια καὶ μετὰ πραγματείας ἐπι-
69 βουλή· τὸ μὲν γὰρ μῖσος ἴσον ἦν ἐξ ἀλλήλων, ὁ δὲ τρόπος τοῦ μισεῖν οὐχ ὅμοιος· ἀλλ' οἱ μὲν ἐν τῷ φανερῷ λοιδορηθῆναι καὶ τραυματισθῆναι προπετεῖς εὐγενεῖ ὑπὸ τῆς ἀπειρίας οἰόμενοι τὸ τῆς ὀργῆς ἀνυπόστολον, οἱ δ' οὐ τὸν αὐτὸν τρόπον. ἀλλὰ πραγματικῶς καὶ κακοήθως ἐχρῶντο ταῖς διαβολαῖς, προέλκοντες ἀεὶ τὰ μει-
70 ράκια καὶ τὸ θρασὺ καταλογιζόμενοι βίαιον ἔσεσθαι πρὸς τὸν γεννήκοτα. τὸ γὰρ οὐκ αἰδεῖσθαι ταῖς τῆς μητρὸς ἁμαρτίαις οὐδ' οἴεσθαι δίκαια παθεῖν ἐκείνην ἄσχετον εἶναι πρὸς τὸ μὴ τὸν αἴτιον
71 δοκοῦντα τιμωρήσεσθαι καὶ δι' αὐτοχειρίας. τέλος οὖν ἀνελήφθη πᾶσα ἡ πόλις τῶν τοιούτων λόγων καὶ καθάπερ ἐν τοῖς ἀγωνίσμασιν ἠλεεῖτο μὲν ἡ τῶν μειρακίων ἀπειρία, κατίσχυεν δὲ ἡ τῆς Σαλώμης ἐπιμέλεια καὶ παρ' αὐτῶν ἐκείνων τὰς ἀφορμὰς τοῦ μὴ
72 ψευδῆ λέγειν ἐλάμβανεν. οἱ γὰρ οὕτως ἀχθόμενοι τῷ θανάτῳ τῆς

§ 66 = bell. Iud. I 445 sq.

PAMWELatZonaras I p. 438.

1 *τὸ] τε τὸ ed. pr. 2 *καὶ τῇ χάριτι καὶ τῷ λόγῳ tr. W 3 ἀπῆσαν χαρᾶς tr. WE. ἐπευχόμενοι E 5 i. marg. *VII* Lat δὲ WE ἀεὶ] αὐτῷ E 7 καὶ πᾶν — 9 λαμβανούσης] *et sumpsisset de matris eorum morte audaciam* Lat *εὐδοκιμήκει P εὐδοκιμήκει, κει ex σει corr. uid. A εὐδοκίμει M 9 κατελειπεῖν P δυνήσαιτο W 10 δι' αὐτὴν om. AMW 11 *θρασὺν PA¹ *γεγεννηκότα P 13 *τε om. Lat τὸ om. E 14 *μὲν] αἰ μὲν P *φερώραν P 15 κακοήθειαι· αἱ P κακοήθεια AME πραγματίας P 19 τὸν αὐτὸν] τοιοῦτον W *tali* Lat 20 προσέλκοντες AMWE *seducentes* Lat 21 *γεγεννηκότα P 22 οὐδὲ E 24 τιμωρήσασθαι PME, fort. recte ἀπεπλήσθη E 26 *ἠλέειτο (accentus eras.) P ἠλέητο W κατίσχυε MWE et ex corr. PA *δ' W et (teste v. II) A. 27 *τοῦ om. P 28 *οἱ] οὐ P *ἀχθομένω P

μητρός, ἐπειδὴ κἀκείνην καὶ σφᾶς αὐτοὺς κακῶς ἔλεγεν. ἐφιλονεί-
κουν ἐλεεινὴν μέν, ὥσπερ ἦν, ἀποφαίνειν τὴν καταστροφὴν τῆς
μητρός, ἐλεεινοὺς δὲ αὐτούς, οἳ τοῖς ἐκείνης φρονεῖσιν ἀναγκάζονται
συζῆν καὶ τῶν αὐτῶν μεταλαμβάνειν.

2. Ταῦτα προῆει μειζόνως καιρὸν ἐχούσης τῆς στάσεως ἐν 73
ἀποδημίᾳ τοῦ βασιλέως. ὡς δ' ἐπανῆλθεν Ἡρῴδης καὶ τῷ πλήθει
διελέξατο, καθὼς προειρήκαμεν, πρωΐτιστον εὐθὺς οἱ λόγοι παρά
τε τοῦ Φερώρα καὶ τῆς Σαλώμης μέγαν αὐτῷ τὸν κίνδυνον εἶναι
τὸν παρὰ τῶν νεανίσκων ἀνάφανδα διατειλουμένων, ὡς οὐκ ἀνέ-
ξονται μὴ τισάμενοι τῆς μητρὸς τὸν φόνον. προσετίθεσαν δ' ἔτι 74
καὶ ὡς ταῖς παρ' Ἰρχελάου τοῦ Καππαδόκος ἐλπίσιν ἐπανέχοιεν,
ὡς δι' ἐκείνου πρός τε Καίσαρα ἀφιξόμενοι καὶ κατηγορήσοντες
τοῦ πατρός. Ἡρῴδης δὲ ἐτετάρακτο μὲν εὐθὺς ἀκούσας τοιούτων. 75
ἐξεπέπληκτο δὲ μᾶλλον, ὅτι καὶ τῶν ἄλλων τινὲς ἀπήγγελλον, ἀνέ-
καμπτε τῇ συμφορᾷ τά τε πρῶτα καταλογιζόμενος ὡς οὔτε τῶν
φιλτάτων οὔτε τῆς συνεργούσης αὐτῷ γυναικὸς ὤνατο διὰ τὰς ἐγγι-
νομένας ταραχὰς κατὰ τὴν οἰκίαν, τό τε μᾶλλον τοῦ προσπεπτω-
κότος ἤδη βαρὺ καὶ μεῖζον ἐκείνων ἐπολαμβάνων ἐν συγχύσει τῆς
ψυχῆς ἦν. τῷ γὰρ ὄντι πλεῖστα μὲν καὶ παρ' ἐλπίδας τῶν ἔξωθεν 76
εἰς εὐτυχίαν αὐτῷ τὸ δαιμόνιον προσετίθει, μέγιστα δὲ τῶν οἴκοι καὶ
μηδὲ προσδοκώμενα δυστυχεῖν αὐτῷ συνέβαινεν. ἑκατέρου προΐοντος
ὡς οὐκ ἄν τις φήθη καὶ παρέχοντος ἀμφίρροπον τὴν ὑπερβολήν. εἰ 77
δέον τὴν τοσαύτην εὐτυχίαν τῶν ἔξωθεν πραγμάτων ἀλλάξασθαι τῶν
οἴκοι κακῶν, ἢ τοιοῦτο μέγεθος τῶν περὶ τοὺς οἰκείους συμφορῶν
διαφυγεῖν ἐν τῷ μηδὲ τὰ τῆς βασιλείας θαυμαζόμενα κεκτῆσθαι.

3. Ταρασσόμενος δὲ καὶ διακείμενος τὸν τρόπον τοῦτον ἐπὶ 78
καθαιρέσει τῶν μειρακίων ἕτερον αὐτῷ γενόμενον ἰδιωτεύοντι παῖδα

§ 73 = bell. Iud. I 447.

PAMWELatZonaras I p. 438.

1 *ἔλεγον W 3 δ' ἑαυτοὺς A δὲ ἑαυτοὺς E *ἐκείνοις W 5 *προείη P 6 i. marg. *VIII* Lat δὲ E 8 αὐτῶν E 9 *τὸν, ο i. ras. P τῶν W παρὰ] περὶ E ἀναφανδὸν AMWE 10 τισόμενοι E δ' ἔτι] δὲ τὶ W δὲ E 11 *ἐλπίσειν P καππαδόκου E 12 *κατηγορήσαντες P 13 τετάρακτο WE τούτων E 14 ἀπήγγελον E ἀνέκαμπτε] ἀνέκαμπτε δὲ AM καὶ ἀνέκαμπτε W ἀνέκαμπτε — 18 ἐπολαμβάνων] recordabatur autem priscas calamitates quod nec uxore priuatus seditione liberata domus eius fuisset, quae priorum grauiora et peiora pateretur Lat 15 ὡς οὔτε] ὥστε P 16 ἐγγενομένας AM 17 οἰκείαν W μᾶλλον] μέλλον MW 18 βαρὺ — ἐκείνων] βαρύτερον καὶ μεῖζον ἔσεσθαι uir doctus ap. Hudson 19 τῶν ἔξωθεν καὶ παρ' ἐλπίδας (καὶ om. W) tr. AMW 21 προσδεχόμενα P προϊόντος] cod. Voss. teste Hau. προσιόντος codd. 25 τῆς βασιλείας] βασίλεια W κτήσασθαι W 26 *δὲ] δὴ Hudson

προσίγετο καὶ τοῖτον ἐδόκει τιμᾶν. ἐκαλεῖτο δὲ Ἀντίπατρος, οὐχ
ὥσπερ ἐν ἑστέρῳ καὶ τελέως ἡττηθεὶς αὐτοῦ καὶ πάντ' εἰς ἐκεῖνον
79 ἀναφέρων. οἰόμενος δὲ παραιρήσεσθαι τοῦ θράσους τοὺς ἐκ Μα-
ριάμμης καὶ μᾶλλον εἰς νουθέσιαν τὴν ἐκείνων οἰκονομῶν αὐτό.
τὸ γὰρ αἴθαδες οὐκ ἂν [εἴη] παρ' αὐτοῖς, εἰ τοῦτο πεισθεῖεν, ὅτι
80 μὴ μόνοις μηδ' ἐξ ἀνάγκης ἡ διαδοχὴ τῆς βασιλείας ὀφείλεται.
διὸ καὶ καθάπερ ἔμφρονά τινα τὸν Ἀντίπατρον εἰσῆγεν οἰόμενος
81 ὀρθῶς προνοεῖν καὶ κατασταλέντων τῶν μειρακίων ἐξεῖναι εὐκαίρως
χρῆσθαι βελτίοσιν. τὸ δ' οὐχ ὥσπερ ἐνόησεν ἀπέβη· τοῖς τε γὰρ
παισὶν οὐ μετρίως ἐδόκει κεχρῆσθαι τῇ πρὸς αὐτοὺς ἐπιτροπείᾳ, καὶ
δεινὸς ὢν τὸν τρόπον Ἀντίπατρος, ἐπειδὴ παρρησίας τινὸς τῆς οὐ
πρότερον οὔσης ἐλπίδος ἀντεποιήσατο. μίαν ἔσχεν ὑπόθεσιν κακοῦ
τοὺς ἀδελφοὺς μὴ παραχωρεῖν τῶν πρωτείων, ἀλλ' ἔχεσθαι τοῦ
πατρός. ἤδη μὲν ἠλλοτριωμένου ταῖς διαβολαῖς, ἐμεταχειρίσατο δ'
82 ὄντος εἰς ὅπερ ἐσπουδάκει, πολὺ χαλεπώτερον ἀεὶ γενέσθαι τοῖς
διαβεβλημένοις. ἦσαν οὖν οὐ παρ' αὐτοῦ μόνον οἱ λόγοι φυλατ-
τομένου δι' αὐτοῦ δόξαι τὰ τοιαῦτα καταμηνύειν, ἀλλὰ μᾶλλον
83 ἐχρῆτο συνεργοῖς τοῖς ἀνυπόπτοις καὶ διὰ τὴν εὔνοιαν τὴν πρὸς
τὸν βασιλέα πιστευθησομένοις αὐτὸ ποιεῖν. ἤδη δὲ πλείους ἐγε-
γόνεισαν οἱ κἀκεῖνον ἐφ' οἷς ἠλπίκει θεραπεύοντες καὶ τὸν Ἡρώ-
δην ἐκ τοῦ δοκεῖν κατ' εὔνοιαν τὰ τοιαῦτα λέγειν ὑπαγόμενοι. καὶ
τοίτων πολυπροσώπως καὶ πιστῶς ἀλλήλοις συναγωνιζομένων ἔτι
84 καὶ μᾶλλον αἱ παρὰ τῶν μειρακίων ἀφορμαὶ προσεγίνοντο· καὶ
γὰρ καὶ δάκρυα πολλάκις ἦν κατ' ἐπιφοιαν ὧν ἠτιμάζοντο καὶ τῆς
μητρὸς ἀνάκλησις καὶ τὸν πατέρα φανερῶς ἤδη πρὸς τοὺς φίλους
οὐ δίκαιον ἐλίγχειν ἐπειήδεσον, ἅπερ ἅπαντα κακοήθως ὑπὸ τῶν
περὶ τὸν Ἀντίπατρον καιροφυλακούμενα καὶ μειζόνως πρὸς τὸν
Ἡρώδην ἐξαγγελλόμενα πρυβαινεν οὐ μικρὰν ἐπεργαζόμενα τὴν

§ 78 = bell. Iud. I 448.

PAMWELatZonaras I p. 438

2 *πᾶν* E 3 **παραιρῆσθαι* P *παραιρεῖσθαι* W *περιαιρεῖσθαι* Hudson *μαρίαμης* E 4 *τὴν*] *τῆς* P *οἰκοδομῶν* MW et ex corr. A *αὐτόν* AMW 5 *οὐκ*] *οὐκ ἔτι* E *εἴη* om. PE *παρ'* om. E 6 *μηδὲ* WE 7 *εἰσήγαγεν* WE 9 *βελτίωσιν* P *δὲ* ME et ex corr. A 10 **πασιν* P 11 **τῆς*] *ἐκ τῆς* Ernesti 12 *ἐλπίδος* om. E *κακοῦν* AME *affligere* Lat 13 **μὴ*] *καὶ μὴ* AM *ἔχεσθαι*] E *ἐνέχεσθαι* PW *ἀνέχεσθαι* AM 15 *δόντος* W *ἀεὶ* om. AM 16 *οὐ*] *οὗτοι* PW, om. E *φυλαττόμενοι* E 17 *δι' αὐτοῦ* PA¹ *διὰ τοῦ* ME et ex corr. A 18 *ἐχρήσατο* E *ἀνυπόπτωσ* (*ω* in *o* corr. A) AM 19 *γεγόνεισαν* AM *γεγόνεισαν* W 22 *πολυπροσώποισ καὶ πιστοῖς ἀλλήλων* E *ἔτι καὶ*] *ἔτι* AME 23 **παρὰ* om. PW *προσεγένοντο* E **καὶ γὰρ* — 24 *ἠτιμάζοντο* om. PW 25 *ἀνακλήσεισ* E 27 **καιροφυλακτούμενα* W 28 *ἐξαγγελόμενα* E¹

τῆς οἰκίας στάσιν. ἀχθόμενος γὰρ ὁ βασιλεὺς ταῖς διαβολαῖς καὶ 85
ταπεινῶσαι βουλόμενος τοὺς ἐκ τῆς Μαριάμμης μείζονα ἀεὶ πρὸς
τιμὴν Ἀντιπάτρῳ παρεῖχεν, καὶ τέλος ἡττηθεὶς ἐπεισήγαγε μὲν τὴν
ἐκείνου μητέρα. Καίσαρι δὲ πολλάκις γράφων ἐπὶ αὐτοῦ καὶ ἰδίᾳ
συνίοις σαυδαιότερον. Ἀγρίππου γε μὴν ἀνιόντος εἰς τὴν Ῥώμην 86
μετὰ τὴν διοίκησιν τῶν ἐπὶ τῆς Ἀσίας δεκαετῆ γεγενημένην, λύσ-
σας ἀπὸ τῆς Ἰουδαίας καὶ συντυχόντων μόνον τι τὸν Ἀντίπατρον
ἐπῄνεσε καὶ παρέδωκεν εἰς Ῥώμην ἀνάγειν μετὰ πολλῶν δώρων
Καίσαρι φίλον ἐσόμενον, ὥστε ἤδη πάντα δοκεῖν ἐπ' ἐκείνῳ καὶ
παρεῖσθαι παντάπασιν ἐκ τῆς ἀρχῆς τὰ μειράκια.

IV. 1. Πρὸς μὲν οὖν τιμὴν καὶ τὸ πρῶτον εἶναι δοκεῖν Ἀντι- 87
πάτρῳ προυχώρει τὰ κατὰ τὴν ἀποδημίαν· καὶ γὰρ ἐν τῇ Ῥώμῃ
πᾶσιν ἐπιστάλκους Ἡρῴδου τοῖς φίλοις διάσημος ἦν· ἔχθειο δὲ 88
τῷ μὴ παρεῖναι μηδὲ ἔχειν ἐξ εὐκαίρου διαβάλλειν ἀεὶ τοὺς ἀδελ-
φούς, καὶ μᾶλλον ἐδεδοίκει μεταβολὴν τοῦ πατρός, εἴ τι καὶ καθ'
αὑτὸν ἀξιώσει ἐπιεικέστερον εἰς τοὺς ἐκ τῆς Μαριάμμης φρονεῖν.
ταῦτα δὲ δι' ἔννοιας ἔχων οὐκ ἀφίστατο τῆς ἑαυτοῦ προαιρέσεως. 89
ἀλλὰ κἀκεῖθεν, ὅτε ἀνιάσειν τι καὶ παροξυνεῖν ἤλπιζεν τὸν πατέρα
κατὰ τῶν ἀδελφῶν, συνεχῶς ἐπέστελλεν, πρόφασιν μὲν ὡς ὑπερα-
γωνιῶν αὐτοῦ, τὸ δὲ ἀληθὲς ἀφ' ἧς εἶχεν [ἐν] φύσει κακοηθείας
τὴν ἐλπίδα μεγάλην καὶ καθ' ἑαυτὴν οὖσαν ἐμπορευόμενος, ἕως 90
εἰς τοῦτο προήγαγεν τὸν Ἡρῴδην ὀργῆς καὶ δυσφημίας. ὡς ἤδη
μὲν ἔχων δυσμενῶς τοῖς μειρακίοις, ἐν δὲ κατοκνεῖν εἰς τοιοῦτον
ἐμβῆναι πάθος, ὡς μήτ' ἀμελῶν μήτ' ἐκ προπετείας ἁμαρτάνοι.
κρεῖττον ἡγήσατο πλεύσας εἰς Ῥώμην ἐκεῖ τῶν παίδων κατηγορεῖν
παρὰ Καίσαρι, καὶ μηδὲν αὐτῷ τοιοῦτον ἐπιτρέπειν. ὃ καὶ διὰ
μέγεθος τῆς ἀσεβείας ὑποπτον ἦν. ὡς δὲ ἀνῆλθεν εἰς τὴν Ῥώμην. 91

§ 90 = bell. Iud. I 452.

PAMWELatZonaras I p. 439

2 τῆς om. E μαριάμης E *μείζονα] γρ μείζονα ἢ πρὸς τιμήν i. marg A ἀεὶ πρὸς om. E 3 ἐπεισήγαγε μὲν] ἐπεισήγαγεν PWE 5 Ἀγρίππου — ἀνιόντος] ἀγρίππου τέ μην (τέ i. ras. corr. A) ἀνιόντος AM ἀγρίππα γε μὴν ἀνιόντος E ἀγρίππα μὲν οὖν ἀνιόντι PW 6 γενομένην E 8 *ἐπηγάγετο AMW *ἀναγαγεῖν AM 9 *φίλων A 12 ῥώμῃ A 14 μηδ' E ἀεὶ om. E 16 ἀξιώσειεν AMWE μαριάμης E 17 τῆς αὐτοῦ AM 18 *κἀκεῖθεν] κεῖθεν P ὅτε ἀνιάσειν τι] ὅτι ἀνιάσειν καὶ ὅτι AM ὅτι ἀνιάσειν E παροξύνειν codd., corr. Bekker 20 ἐν spurium κακοηθίας P 21 καὶ om. PW καθαυτὴν AM 22 δυσφημίας] furoris Lat δυσθυμίας Cocceji 23 ἔχειν AMWELat ἐν] ἓν AM δὲ] δὲ τῷ ed. pr. 24 ὡς] ὡσ δὲ AM ἀμελῶν, ὧν i. ras. A μήτ' ἐκ] ed. pr. μήτε καὶ PW μήτε AM 25 *εἰς om. A 26 αὐτῷ PMW καὶ] κἂν coni. 27 *ἀπῆλθεν coni. ἀπελθὼν Zon *τὴν om. AM

ἐγένετο μὲν μέχρι τῆς Ἀκυληίας πόλεως Καίσαρι συντυχεῖν ἐπειγόμενος, ἐλθὼν δ' εἰς λόγους καὶ καιρὸν αἰτησάμενος ἐπὶ μεγάλοις οἷς ἐδόκει δυστυχεῖν παρεστήσατο μὲν τοὺς παῖδας, ἠτιᾶτο δὲ τῆς
92 ἀπονοίας καὶ τῆς ἐπιχειρήσεως, ὡς ἐχθροῖς ἔχουσιν ἅπαντα τρόπον ἐπιτιθέντες [μισεῖν] τὸν ἑαυτῶν πατέρα μιαχειρίσασθαι καὶ τὴν βασιλείαν ὠμοτάτῳ τρόπῳ παραλαβεῖν· ὁ δ' οὐδὲ θνήσκων ἐξ ἀνάγκης μᾶλλον ἢ κρίσει παραδοῦναι τῷ διαμείναντι πρὸς αὐτὸν
93 εὐσεβεστέρῳ παρὰ Καίσαρος ἐξουσίαν ἔχοι. τοῖς δ' οὐχ ὑπὲρ τῆς ἀρχῆς τὸ πλέον, ἀλλ' εἰ καὶ ταύτης στεροῖντο καὶ τοῦ ζῆν ἐλάττων λόγος, εἰ μόνον ἀποκτεῖναι τὸν πατέρα δυνηθεῖεν· οὕτως ἄγριόν τι καὶ μιαρὸν ἐντετηκέναι ταῖς ψυχαῖς αὐτῶν μῖσος. καὶ ταύτην τὴν ἀτυχίαν αὐτὸς ἐκ μακροῦ φέρων ἀναγκασθῆναι νῦν ἐξηγεῖσθαι
94 Καίσαρι καὶ μιαίνειν αὐτοῦ τὰς ἀκοὰς τοιούτοις λόγοις. καίτοι τί μὲν εἶησαν παθόντες ἐξ αὐτοῦ δυσχερές; ἐπὶ τίνι δὲ μέμφονται βαρὺν ὄντα; πῶς δ' οἷόν τε καὶ δίκαιον ἦν αὐτὸς ἐκτήσατο πολλοῖς
95 πόνοις καὶ κινδύνοις ἀρχήν, ταύτης οὐκ ἐᾶν κύριον εἶναι κρατεῖν τε καὶ διδόναι τῷ κατ' ἀξίαν; ὡς τοῦτό γε μετὰ τῶν ἄλλων ἄθλον εὐσεβείας ἐκτίθεται τῷ μέλλοντι πρὸς τὸν ποτὲ γενήσεσθαι τοιούτῳ τὴν ἐπιμέλειαν, ἅτε καὶ τῆς ἀμοιβῆς τοσῆσδε οὔσης ἐπιτυγ-
96 χάνειν. ὅτι δὲ μηδὲ εὐσεβὲς αὐτοῖς ὑπὲρ τούτου πολυπραγμονεῖν, εὔδηλον· ὁ γὰρ ἀεί τι περὶ τῆς βασιλείας ἐνθυμούμενος συγκαταλογίζεται τὸν θάνατον τοῦ γεγεννηκότος, μεθ' ὃν ἄλλως οὐκ ἔστιν
97 τὴν ἀρχὴν παραλαβεῖν. αὐτὸς δ' ὅσα βασιλευομένοις καὶ βασιλέως

PAMWELatZonaras I p. 439.

2 *ἐλθὼν — 3 *δυστυχεῖν*] *tempore apto de maximis suis calamitatibus intimauit* Lat δὲ AM *μεγάλοις] μεγάλων* P 3 *οἷσ δοκεῖ PW δυστυχεῖν] συνδυστυχεῖν PW συντυχεῖν E γο ἐντυχεῖν* i. marg. A *ἠτιᾶτο*] codd. cum Zon *ἠτιάσατο* cod. Busb. E 4 *ὡς — 5 μεταχειρίσασθαι*] *quod festinassent patrem suum perimere* Lat *ἔχουσι πάντα* AM 5 *μεταχειρίσασθαι*] *καὶ μεταχειρίσασθαι* ed. pr. *ὥστε διαχειρίσασθαι αὐτὸν* E 6 *ὁ δὲ — 8 ἔχοι*] *dum ipse licentiam haberet non necessitate sed recto iudicio tradere regnum permanenti filio circa paternam pietatem, quam a caesare percepisset, ut quem uellet sibi successorem relinqueret* Lat 8 δὲ AM 9 post *πλέον* excidisse uid. uelut *ἢ σπουδῆ ἐλαττον λόγον* PW 11 *μῖσος* om. AM 12 *ἐξηγεῖσθαι] ἐκδιηγεῖσθαι* AM 15 *βαρύοντα* W *οἷόν τε*] *οἵονται* W *eis uideretur* Lat 16 *πόνοις] χρόνοις* PW *τε*] ras. 2 litt. A, om. M 17 *ὡς — 20 ἐπιτυγχάνειν*] *nam hoc inquit praemium cum aliis iustitiae donis existit, si meritis quisquam gratiam* (om. cod. Berol.) *praecedentem mulcauerit et talem diligentiam habuerit, ut retributione tanta dignus existat* Lat *ἄθλων* PA¹W 18 *ἐκτίθεσθαι* AM *πρὸς τὸν*] om. AM *πρὸς αὐτὸν* coni. 19 *ἅτε — ἐπιτυγχάνειν* corrupta 21 *εὐθυμούμενοσ* W 23 *παραλαβεῖν τὴν ἀρχήν* tr. AM *ὅσα*] deest praedicatum uelut *δίδοται*

παισὶν οὐχ ὑστέρησεν μέχρι νῦν ἀποδιδούς, οὐ κόσμον, οὐχ ὑπηρεσίαν, οὐ τροφήν, ἀλλὰ καὶ γάμους τοὺς ἐπισημοτάτους παρεσχῆσθαι, τῷ μὲν ἐκ τῆς ἀδελφῆς, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ βασιλέως θυγατέρα συνοικίσας, τὸ δὲ μέγιστον οὐδ' ἐπὶ τοιούτοις 98
ἣν εἶχεν ἐξουσίαν ταύτῃ κατ' αὐτῶν χρησάμενος ἀγαγεῖν ἐπὶ τὸν κοινὸν εὐεργέτην Καίσαρα, καὶ παρελόμενον αὐτοῦ πᾶν, ὅσον ἡ πατὴρ ἀσεβούμενος ἢ βασιλεὺς ἐπιβουλευόμενος δύναται, χρίσεως ἰσοτιμίᾳ παρεστακέναι· δεῖσει μέντοι μὴ παντάπασιν αὐτὸν ἀτιμώ- 99
ρητον γενέσθαι μηδ' ἐν τοῖς μεγίστοις φόβοις καταζῆν, οὐδ' ἐκείνοις λυσιτελοῦντος ἐφ' οἷς ἐνεθυμήθησαν ὁρᾶν τὸν ἥλιον, εἰ νῦν διαφύγοιεν. ἔργῳ μέγιστα τῶν ἀνθρωπείων καὶ δράσαντας καὶ πεισομένους.

2. Ταῦτα μὲν Ἡρώδης ἐμπαθῶς ἠτιάσατο παρὰ Καίσαρι τοὺς 100
αὐτοῦ παῖδας. τῶν δὲ νεανίσκων ἦδη μὲν καὶ λέγοντος θάκρυα καὶ σύγχυσις ἦν· μᾶλλον δ' ἐπεὶ κατέπαυσεν Ἡρώδης τὸν λόγον τῷ μὲν ἔξω τῆς τοιαύτης ἀσεβείας γενέσθαι τὸν λόγον πιστὸν εἶχον ἐν τῷ συνειδότι, τὸ δ' ἐκ τοῦ πατρὸς ἐπιφέρεσθαι τὰς διαβολὰς 101
δυσαπολόγητον ὥσπερ ἦν ἤδεσαν, οὐκ εὐσχημονοῦντος οὐδὲ τοῦ κατὰ παρρησίαν λόγου πρὸς τὸν καιρόν, εἰ μέλλοιεν ἐκ βίας ἀεὶ καὶ κατὰ σπουδὴν ἐλέγχειν πεπλανημένον. ἦν οὖν ἀπορία τοῦ δύ- 102
νασθαι λέγειν καὶ θάκρυα καὶ τέλος οἰμωγὴ συμπαθεστέρα, δεδοικότων μέν, εἰ δόξουσιν ἐκ τοῦ συνειδότος ἠπορῆσθαι, ῥᾳδίαν δ' οὐκ εὑρισκομένων τὴν ἀπολογίαν ὑπό τε νεότητος καὶ ταραχῆς, ἣν ἐπεπόνθεισαν. οὐ μὴν ὅ γε Καῖσαρ ἐπιβλέπων αὐτοὺς ὡς εἶχον 103
ἀσύνετον ἐποιεῖτο τὸ μὴ κατὰ συνείδησιν ἀποπωτέραν, ἀλλ' ἐξ ἀπειρίας καὶ μετριότητος ὀκνεῖν, ἐλεεινοί τ' ἐγεγόνεισαν τοῖς παροῦσιν ἰδίᾳ καὶ τὸν πατέρα διεκίνησαν ἀληθινῷ πάθει συνεχόμενον.

§ 100 = bell. Iud. I 452.

PAMWELatZonaras I p. 439.

1 ὑστερῆσαι fort. melius est 2 καὶ om. PW 3 τῷ μὲν] *aristobulo* Lat ἀλεξάνδρῳ, litt. λεξάνδ i. ras. M τοῦ βασιλέως] *regis cappadocum* Lat 4 συνοικήσας M οὐδὲ AMW 5 ἣν] ἦν W κατ' αὐτὸν W 6 παρελόμενος Bekker αὐτοῦ codd. ἢ] ἦν PA¹W 8 δείσειν Hudson 10 λυσιτελοῦν coni. εἰ] ἢ PW 11 ἔργων M et ex corr. A ἀνθρωπίνων AM 12 *ταῦτα] τοιαῦτα AM *haec* Lat *μὲν om. W ἐμφανῶς E 13 ἑαυτοῦ E 14 δὲ AM 15 τῷ] coni. τὸ codd. μὲν] μὲν γὰρ AM γεγονέναι AM εἶχον] εἶπον P εἶδον W 17 ἀσχημονοῦντος M εὐσχήμου ὄντος P 18 πρὸς] τοῦ πρὸς W εἰ] ἢ P ἦ W 19 πεπλανημένον] πεπλασμένον P 20 δάκρυα, δ ita exaratum ut uideri possit σι M 21 *εἰ] ὡς εἰ σιγῶεν Zon δ'] δ' ὡς PW 22 οὐκ P ὑπὸ — 23 ἐπεπόνθεισαν om. W ἦν] ἦσ M 23 ἐπεπόνθησαν P εἶχεν PW 24 ἐποιεῖτο] τι ἡγεῖτο AM ἀτοπώτερον W, unde ἀτοπωτέρων coni. ἀλλὰ W 25 τε AMW γεγόνεισαν W 26 διεκείνησαν P ἰδίᾳ] ἰδίᾳ δὲ Dindorf τῷ] τε PW

104 3. Ἐπεὶ δὲ συνεῖδον εὐμένειάν τινα καὶ παρ' ἐκείνου καὶ
παρὰ τοῦ Καίσαρος, καὶ τῶν ἄλλων δὲ ἕκαστον τοὺς μὲν συνδα-
κρύοντας, ἅπαντας δὲ συναλγοῦντας, ἄτερος αὐτῶν Ἀλέξανδρος ἐπι-
105 καλεσάμενος αὐτὸν ἐπεχείρει διαλύειν τὰς αἰτίας καί, πάτερ, εἶπεν,
ἡ μὲν σὴ πρὸς ἡμᾶς εὔνοια δήλη καὶ παρ' αὐτὴν τὴν κρίσιν· οὐκ 5
ἂν γάρ, εἴ τι δυσχερὲς ἐνεώρας ἐφ' ἡμῖν, ἐπὶ τὸν πάντας σώζοντα
106 προὐγαγες· καὶ γὰρ παρούσης μὲν ἐξουσίας ὡς βασιλεῖ, παρούσης
δὲ ὡς πατρὶ τοὺς ἀδικοῦντας ἐκτεῖνεν. τὸ εἰς Ῥώμην ἄγειν καὶ
τοῦτον ποιεῖσθαι μάρτυρα σώζοντος ἦν· οὐδεὶς γὰρ ἀποστεῖναί τινα
107 προαιρούμενος εἰς ἱερὰ καὶ ναοὺς ἄγει. τὸ δ' ἡμέτερον ἤδη χεῖρον· 10
οὐ γὰρ ἂν ὑπομείναιμεν ἔτι ζῆν, εἰ τοιοῦτον ἠδικηκέναι πατέρα
πεπιστεύμεθα. καὶ μήποτε τοῦτ' ἐκείνου χεῖρον ἀντὶ τοῦ τεθνάναι
108 μηδὲν ἀδικοῦντας τὸ ζῆν ἀδικεῖν ὑποπτευομένους. εἰ μὲν οὖν εἵρου
λόγον τῆς ἀληθείας ἡ παρρησία, μακάριον καὶ σὲ πεῖσαι καὶ τὸν
κίνδυνον διαφυγεῖν, εἰ δ' οὕτως ἡ διαβολὴ κρατεῖ, περιττὸς ἡμῖν 15
109 ὁ νῦν ἥλιος, ὃν τί δεῖ βλέπειν μετὰ τῆς ὑποψίας; τὸ μέν οὖν
φάναι βασιλείας ἐπιθυμεῖν, εὔκαιρος εἰς νέους αἰτία, καὶ τὸ προσ-
τιθέναι τὴν τῆς ἀθλίας μητρός, ἱκανὸν ἐκ τῆς πρώτης τὴν νῦν
110 ἀτιχίαν ἐξεργάζεσθαι. βλέψον δέ, εἰ μὴ κοινὰ ταῦτα καὶ πᾶσιν
ὁμοίως λέγεσθαι δυνησόμενα· κωλύσει γὰρ οὐδέν, τῷ βασιλεύοντι 20
παῖδες εἰ εἰσὶν νέοι καὶ μήτηρ αὐτῶν ἀποθανοῦσα, πάντας ὑπό-
πτους εἶναι τοῦ πατρὸς ἐπιβούλους δοκεῖν. ἀλλ' οὐ τὸ ὕποπτον
111 πρὸς τοιαύτην ἀσέβειαν ἀρκετόν. εἰπάτω δέ τις, ἡμῖν εἰ τετόλμη-
ται τοιοῦτον, ᾧ καὶ τὰ μὴ πιστὰ πίστιν εἴωθεν ὑπ' ἐνεργείας λαμ-
βάνειν. φαρμάκου παρασκευὴν ἐλέγχειν δύναταί τις ἢ συνωμοσίαν 25
ἡλικιωτῶν ἢ διαφθορὰν οἰκετῶν ἢ γράμματα καὶ σοὶ γεγραμμένα·
112 καίτοι τούτων ἕκαστον ἔσθ' ὅτῃ καὶ μὴ γενόμενον ἐκ διαβολῆς

PAMWELatZonaras I p. 440.

1 i. marg. *ἡ* E 2 **τῶν*] *παρὰ τῶν* AM et ut uid. Lat *δὲ* om. AME et ut uid. Lat **ἕκαστον*, *ν* ex *ν* corr. A *ἑκάστου* M et ut uid. Lat *τοὺς*] *καὶ τοὺσ* AM 3 *ἄτερος*] *θάτεροσ* PWE 4 *πάτερ*] i. marg. *VIIII* Lat 5 *οὐκ ἂν γάρ*] *οὐ γὰρ ἄν* AM, fort. recte 6 *ἐνόεισ* AM, fort. recte *πάντα* PW 7 *γάρ*] *γὰρ ἐξῆν* AMW *παρούσης*] *γρ παρόντασ δὲ ὡσ πατρὶ, τὸ τοὺσ ἀδικοῦντασ ἐπεξέναι* i. marg. A 8 *δ'* AM *τὸ εἰς Ῥώμην*] · · · · · · | *μην* (eras. 4—6 litt.) A *τὸ δ' εἰσ ῥώμην*, litt. *τὸ δ' εἰσ ῥώ* i. spatio 4—5 litt. minutioribus litt. m. 2 M 12 *τοῦτο* W *ἀντὶ* melius abest 13 *τὸ* om. AM 17 *καὶ τὸ* — 19 *ἐξεργάζεσθαι*] *et quod de miserae matris interitu subiungis a priore calamitate argumenta percipieus nobis ingeris crimen* Lat 18 post *μητρὸς* aliquid exciduisse uid. uelut *μνήμην* 20 *κωλύει* AM *οὐδὲν*] *οὐθὲν εἰ* AM 21 *εἰ* om. AM 23 *δέ*] *δή* PW 24 *ὑπ'*] *ὑπὲρ* W *ἐναργείας* Bekker 25 et 26 *ἢ* ter ex corr. A 27 *ὅπῃ* A *ὅποι* M

ἐκλάσθη· χαλεπὸν γὰρ οὐχ ὁμονοῶν οἶκος ἐν βασιλείᾳ· καὶ τὴν
ἀρχήν, ἣν σὺ φῂς ἔπαθλον εὐσεβείας, συμβαίνει πολλάκις αἰτίαν
γενέσθαι τοῖς πονηροτάτοις ἐλπίδων, δι' ἃς οὐδεμίαν ὑποστολὴν
ποιοῦνται κακοηθείας. ἀδίκημα μὲν οὖν οὐδεὶς ἐρεῖ καθ' ἡμῶν· 113
τὰς δὲ διαβολὰς πῶς ἂν λύσειεν ὁ ἀκοῦσαι μὴ θέλων; ἐλαλήσαμέν
τι μετὰ παρρησίας. οὐκ εἰς σέ· τοῦτο γὰρ ἦν ἄδικον· ἀλλ' εἰς
τοὺς οὐδ' ὅ τι λελάληται μὴ σιωπῶντας. τὴν μητέρα τις ἡμῶν 114
ἔκλαυσεν. οὐχ ὅτι τέθνηκεν, ἀλλ' ὅτι καὶ νεκρὰ κακῶς ἤκουσεν
ὑπὸ τῶν οὐκ ἀξίων. ἀρχῆς ἐπιθυμοῦμεν ἧς ἴσμεν ἔχοντα τὸν πα-
τέρα; τί καὶ θέλοντες; εἰ μὲν εἰσὶν ἡμῖν τιμαὶ βασιλέων, ὥστερ
εἰσίν, οὐ κενοσπουδοῦμεν; εἰ δ' οὐκ εἰσίν, οὐκ ἐλπίζομεν; ἢ σὲ 115
διαχειρισάμενοι κρατήσειν τὴν βασιλείαν προσεδοκήσαμεν, οἷς οὔτε
γῆ βάσιμος οὔτε πλωτὴ θάλαττα μετὰ τοιοῦτον ἔργον; ἡ δὲ τῶν
ἀρχομένων εὐσέβεια καὶ θρησκεία τοῦ παντὸς ἔθνους ἐνέσχιτο ἂν
πατροκτόνους ἐπὶ τῶν πραγμάτων εἶναι καὶ εἰς τὸν ἀγιώτατον ὑπὸ
σοῦ κατασκευασθέντα ναὸν εἰσιέναι. τί δ' εἰ καὶ τῶν ἄλλων κατε- 116
φρονήσαμεν, ἐδυνάτο τις φονεύσας ἀτιμώρητος μένειν ζώντος Καί-
σαρος; οὔτ' ἀσεβεῖς οὕτως ἐγέννησας οὔτ' ἀλογίστους, ἀτυχεστέρους
δ' ἴσως ἢ σοὶ καλῶς εἶχεν. εἰ δὲ μήτ' αἰτίας ἔχεις μήτ' ἐπιβου- 117
λὰς εὑρίσκεις, τί σοι πρὸς πίστιν αὔταρκες τοιαύτης δυσσεβείας;
ἡ μήτηρ τέθνηκεν· ἀλλά τοι τὰ κατ' ἐκείνην οὐδὲ παροξύνειν ἡμᾶς
ἀλλὰ νουθετεῖν ἠδύνατο. πλείω μὲν ἀπολογεῖσθαι δυνάμεθα, λό- 118
γον δ' οὐκ ἐπιδέχεται τὰ μὴ γενόμενα. διότερ ἐπὶ τῷ πάντων
δεσπότῃ Καίσαρι μεσιτεύοντι τὸν παρόντα καιρὸν συντιθέμεθα
ταύτην τὴν συνθήκην· εἰ μὲν ἀνύποπτον ἐξ αὐτῆς τῆς ἀληθείας 119
τὴν πρὸς ἡμᾶς διάθεσιν ἀπολαμβάνεις, ὦ πάτερ, ζήσομεν, οὐδ'
οὕτως μέν εὐτυχῶς· δεινὸν γὰρ τῶν μεγάλων κακῶν καὶ ψευδὴς
αἰτία. παρούσης δέ τινος ὀρρωδίας σὺ μὲν ἐν τῇ κατὰ σαυτὸν 120

PAMWLat

3 *γίνεσθαι* A *διὰ σοῦ δε* (δὲ W) *μίαν* PW 5 *ἀκούειν* AM 7 *ὅ*] *εἴ* A *ὅ* ex *εἴ* corr. M *εἴτι μὴ λελάληται σ. coni.* *ἡμῶν ἔκλαυσεν*] *ἔκλαυσεν ἂν ἡμῶν* (*ἔκλαυσεν ἄν* i. ras. m. 2, aberat olim. *ἂν* A) AM 8 *ἤκουεν* AM 9 *εἴσμεν* W 10 *καὶ θέλοντες*] *καθελόντες* P 11 *εἰ δ' — ἐλπίζομεν* om. Lat *ἢ*] *εἰ* WLat 12 *κρατῆσαι* AM *τῇ βασιλείασ* AM 13 *μετὰ τὸ τοιοῦτον* M et ex corr. A 14 *ἔθνους* A 16 *εἰσεῖναι* AM *δὲ* M et ex corr. A *κατεφρονήσαμεν*] *quidam — contemnat* Lat 18 *sed* ante *οὔτ'* add. Lat *οὔτε* AM *οὔτε* MW *ἀλλογίστους* A 19 *ἢ σοὶ*] *εἰ σοι* PW *μήτε ἐπιβουλὴν* AM 20 *εὑρίσκοις* PW, unde *ἂν εὑρίσκοις* coni. *αὔταρκησ* P *αὐτάρκησ* W 21 *οὐδὲ*] *οὐ* AM 22 *ἐδύνατο* AMW *δυνάμεθα*] *βουλόμεθα* AMW *uolebamus* Lat *λόγον*] *prolixiorem sermonem* Lat 23 *γενάμενα* P 26 *ἐπολαμβάνεισ* P *ζήσωμεν* W 27 *τῶν*] *καὶ τῶν* coni.

εὐσεβείᾳ μένε, δώσομεν δὲ λόγον ἡμεῖς ἑαυτοῖς. οὐχ οὕτως ὁ βίος ἡμῖν τίμιος, ὡς ἔχειν αὐτὸν ἐπ' ἀδικίᾳ τοῦ δεδωκότος."

121 4. Τοιαῦτα δὲ λέγοντος ὅ τε Καῖσαρ οὐδὲ πρότερον πιστεύων τῷ μεγέθει τῆς διαβολῆς ἔτι μᾶλλον ἐξηλλάττετο καὶ συνεχὲς εἰς τὸν Ἡρώδην ἀπέβλεπεν ὀργῶν κἀκεῖνον ἱκετεύοντα, ἀγωνία τε τοῖς παροῦσιν ἐνετείνετο καὶ περὶ τὴν αὐλὴν ὁ λόγος διαδο-
122 θεὶς ἐπίφθονον ἐποίει τὸν βασιλέα. τὸ γὰρ ἄπιστον τῆς διαβολῆς καὶ τὸ περὶ τοὺς νεανίσκους ἐν ἀκμῇ καὶ κάλλει σωμάτων ἐλεεινὸν ἐπεσπᾶτο βούλησιν· ἔτι δὲ μᾶλλον ἐπειδὴ καὶ τῷ λόγῳ δεξιῶς καὶ μετὰ φρονήσεως ἐπήντησεν Ἀλέξανδρος, ἵν' οὐδ' ἐκείνοις ἔτι ταὐτὸν
123 σχῆμα, κλαίουσι μὲν ὅμως καὶ σὺν κατηφείᾳ πρὸς τὴν γῆν νενευκό-
124 σιν. ἡ δ' ἐλπὶς ἀμείνων ἐπεφαίνετο, καὶ δόξας ὁ βασιλεὺς ἐξ ὧν αὐτὸν ἔπεισθεν εὔλογα κατηγορηκέναι διὰ τὸ μηδὲν ἔχειν [ἐξελέγχειν] ἀπολογίας τινὸς ἐδεῖτο. Καῖσαρ δὲ μικρὸν ἐπισχὼν τοὺς μὲν νεανίσκους, εἰ καὶ πόρρω τῆς ἐπ' αὐτοῖς διαβολῆς δοκοῖεν, αὐτό γε
125 τοῦτο ἁμαρτεῖν ἔφη τὸ μὴ τοιούτους αὐτοὺς παρασχεῖν τῷ πατρί, ὡς μηδὲ γενέσθαι τὸν ἐπ' αὐτοῖς λόγον. Ἡρώδην δὲ παρεκάλει πᾶσαν ὑπόνοιαν ἐκβαλόντα διαλλάττεσθαι τοῖς παισίν· οὐ γὰρ εἶναι δίκαιον οὐδὲ πιστεύειν τὰ τοιαῦτα κατὰ τῶν ἐξ αὐτοῦ. δύνασθαι δὲ τὴν μετάνοιαν ἀμφοτέροις οὐ μόνον ἰάσασθαι τὰ συμ-
126 βεβηκότα, παροξῦναι δὲ τὴν εὔνοιαν, ἐν ᾧ τὸ προπετὲς ἑκάτεροι τῆς ὑποψίας ἀπολογούμενοι σπουδῇ πλείονι περὶ ἀλλήλους ἀξιώσουσι κεχρῆσθαι. ἰσιαῦτα νουθετῶν ἔνευσε τοῖς νεανίσκοις. ἐκείνων δὲ βουλομένων ἐπιπεσεῖν ἐπὶ δεήσει προαναλαβὼν αὐτοὺς ὁ πατὴρ διακρίνοντας ἡσπάζετο παρ' ἕκαστον ἐν μέρει περιπίπτοντας, ὡς μηδένα τῶν παραπιγχανόντων ἐλεύθερον ἢ δοῦλον ἀπαθῆ γενέσθαι.

---

§ 123 = bell. Iud. I 454.

PAMWELatZonaras I p. 440.

1 εὐλαβείᾳ Dindorf 4 συνεχῶς E 5 ὑποσυγχυνόμενον] i. marg. γρ συγχεόμενον M ὑποσυγκεχυμένον E 9 ἐπεσπάσατο E δὲ] δὴ PWE 10 ἀπήντησεν AMWE *ὁ ἀλέξανδρος AM οὐδ'] δ' E δ' οὐδ' ed. pr. ταὐτὸν τὸ σχῆμα E 11 *σὺν ex συγ corr. A 12 δὲ E *ἐπεφαίνετο M 13 *αὐτὸν] om. AM αὐτὸν intellege οὐκ εὔλογα E ἔχειν om. E ἐξελέγχειν] om. PW αὐτὸν ἐλέγχειν E αὐτὸν ἐξελέγχειν ed. pr. αὐτῶν ἐξελέγχειν Bekker 14 *ἐδέετο AM 15 *αὐτό] δι' αὐτό AM γε] τε E 16 *ἔφη, η i. ras. A ἑαυτοὺς E αὐτοὺς Hudson τῷ πατρὶ παρασχεῖν tr. AME 18 ἐκβαλόντα] ἀφελόντα AMWE abiciens Lat 19 δύνασθαι — 23 κεχρῆσθαι om. ELat 21 δὲ] δὲ καὶ coni. 23 ἔνευσε — 25 ἡσπάζετο] iuuenibus innuit ad uestigia patris sese proicere, qua supplicatione pater eos lacrimanter et flebiliter est amplexus Lat 24 βουλευόμενον ἐπιπεσεῖν E προσπεσεῖν Zon *προαναλαβὼν] ἀναλαβὼν P 26 μηδένα] μηδ' ὁντινοῦν AM μηδεοντιναοῦν E ἐλευθέρων ἢ δούλων coni.

5. *Τότε μὲν οὖν εὐχαριστήσαντες Καίσαρι μετ᾽ ἀλλήλων ἀπήε-* 127
σαν καὶ σὺν αὐτοῖς Ἀντίπατρος ὑποκρινόμενος ἐφήδεσθαι ταῖς
διαλλαγαῖς. ἐν δὲ ταῖς ὑστέραις ἡμέραις Ἡρῴδης μὲν ἐδωρεῖτο 128
Καίσαρα τριακοσίοις ταλάντοις θέας τε καὶ διανομὰς ποιούμενον
τῷ Ῥωμαίων δήμῳ, Καῖσαρ δὲ αὐτῷ τοῦ μετάλλου τοῦ Κυπρίων
χαλκοῦ τὴν ἡμίσειαν πρόσοδον καὶ τῆς ἡμισείας τὴν ἐπιμέλειαν
ἔδωκεν καὶ τἆλλα ξενίαις καὶ καταγωγαῖς ἐτίμησεν, καὶ περὶ τῆς 129
βασιλείας αὐτῷ τὴν ἐξουσίαν ἐφῆκεν ὃν ἂν αἱρῆται τῶν παίδων
διάδοχον καθιστάναι ἢ καὶ διαιμεῖν μέρος ἑκάστῳ τῆς τιμῆς εἰς
πάντας ἐλευσομένης. ἐκείνου δὲ ἤδη θέλοντος αὐτὸ ποιεῖν οὐκ
ἐπιτρέψειν ἔφη ζῶντι μὴ καὶ τῆς βασιλείας καὶ τῶν παίδων χρατεῖν.
6. *Ἐπὶ τούτοις ἐπανῆει πάλιν εἰς τὴν Ἰουδαίαν. ἀποδημοῦν-* 130
τος δὲ οἱ μικρὸν μέρος ἀπέσπη τῆς ἀρχῆς τὸ περὶ τὸν Τράχωνα,
καὶ τούτους οἱ καταλειφθέντες στρατιῶται χειρωσάμενοι πάλιν ἐπα-
κοίειν ἠνάγκασαν. Ἡρῴδης δὲ πλέων σὺν τοῖς παισὶν ὡς ἐγένετο 131
κατὰ Κιλικίαν ἐν Ἐλαιούσῃ τῇ μετωνομασμένῃ νῦν Σεβαστῇ καὶ-
λαμβάνει τὸν βασιλέα τῆς Καππαδοκίας Ἀρχέλαον, ὃς αὐτὸν ἐκδέ-
χεται φιλοφρόνως ἡδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς καὶ
τῷ τὸν Ἀλέξανδρον, ὃς εἶχεν αὐτοῦ τὴν θυγατέρα, τῆς αἰτίας ἀπο-
λελύσθαι, δωρεάς τε ἀντέδοσαν ἀλλήλοις ἃς εἰκὸς βασιλεῖς. ἐντεῦ- 132
θεν Ἡρῴδης ἐπὶ Ἰουδαίας ἐλθὼν καὶ γενόμενος ἐν τῷ ἱερῷ περὶ
τῶν πεπραγμένων κατὰ τὴν ἀποδημίαν διελέγετο, τὴν Καίσαρος
εἰς αὐτὸν φιλοφροσύνην καὶ τἆλλα διεξιὼν ὅσα κατὰ μέρος αὐτῷ
πραχθέντα συμφέρειν ἡγεῖτο καὶ τοὺς ἄλλους εἰδέναι. τέλος ἐπὶ 133
νουθεσίᾳ τῶν παίδων κατέστρεφε τὸν λόγον τοὺς περὶ τὴν αὐλὴν
καὶ τὸ λοιπὸν πλῆθος εἰς ὁμόνοιαν παρακαλῶν καὶ τοὺς υἱοὺς μετ᾽
αὐτὸν ἀποδεικνύων βασιλέας γενέσθαι, πρῶτον μὲν Ἀντίπατρον,

§ 129 = bell. Iud. I 454.

PAMWELatZonaras I p. 440.

2 *σὺν αὐτοῖς*] *μετ᾽ αὐτῶν* E **ὑποκρινάμενος* PW 3 *ὑστέραις ἡμέραις*] *ὑστεραίαις* AME *postero — die* Lat (*τῇ δ᾽*) *ὑστεραίᾳ* Zon *ὕστερον ἡμέραις* coni. 4 *ποιούμενον*] A[1] *ποιούμενοι* PW *ποιούμενος* ME et ex corr. A 5 **δ᾽* AM **μετάλλου* — 6 *χαλκοῦ*] *metalli aeris cypriī* Lat *κυπρίου* E 7 *δέδωκε* E 8 *ἀφῆκεν* E 10 *ἐλευσομένη* W *διελευσομένης* AME *peruenīret* Lat *ἐκείνου* — 11 *κρατεῖν*] *illo tamen uiuente hoc agere non permisit dicens oportere eum dum uiueret et regni et filiorum dominationem possidere* Lat **ἤδη θέλοντος*] *δεηθέντος* AM *αὐτῶ* E 11 *μὴ καὶ*] *δὲ* PWE **κρατεῖν*] *ἔφη κρατεῖν* PW 13 *τὸ* om. E **τραχῶνα* W 16 *Ἐλαιούσῃ*] Dindorf *ἐλεούσῃ* PWE *ἐλεούσῃ* AM, cf. Steph. Byz. s. *Ἐλαιοῦσσα* **νῦν*] *postea* Lat 19 *τῆς*] MLat *τὰσσ* PAWE 20 **ἀντέδοσαν*] *ἀπέδωκαν* P *ἀπέδοσαν* W 21 *ἰουδαίαν* E 22 **κατὰ*] *περὶ* PW 24 *ἄλλους*] *ὅλουσ* PW *ὄχλους* coni. 25 *κατέστρεψε* WE 27 *ἀποδεικνὺσ* AME *μὲν τὸν ἀντίπατρον* AME

134 εἶτα καὶ τοὺς ἐκ Μαριάμμης Ἀλέξανδρον καὶ Ἀριστόβουλον. ἐν δὲ τῷ τότε πάντας ἀποβλέπειν εἰς αὐτὸν ἀξιῶν καὶ βασιλέα καὶ δεσπότην ἁπάντων δοκεῖν μήτε γήρᾳ παραιτιζόμενον, ἐν ᾧ τοῦ χρόνου τὸ πρὸς ἀρχὴν ἐμπειρότατον ἔχειν, οὔτε τοῖς ἄλλοις ἐπιτηδεύμασιν ἐλαττούμενον, ἃ δύναται καὶ βασιλείας κρατεῖν καὶ παίδων ἄρχειν, τούς τε ἡγεμόνας καὶ τὸ στρατιωτικὸν εἰ πρὸς ἕνα βλέποιεν αὐτὸν ἀπάραχον ἔφη τὸν βίον ἕξειν καὶ πᾶσαν ἀφορμὴν εὐδαιμο-
135 νίας ἐξ ἀλλήλων ἔσεσθαι. ταῦτ' εἰπὼν ἀφῆσιν τὴν ἐκκλησίαν, τοῖς πλείστοις μὲν ἀρεστὰ διειλεγμένος, ἐνίοις δ' οὐχ ὁμοίως· ἤδη γὰρ ὑπὸ τῆς ἀμίλλης καὶ τῶν ἐλπίδων ἃς ἐδεδώκει τοῖς παισὶ νε- 10
νεωτέριστο πολλὰ καὶ νεωτέρων ἐφιέμενοι *

136 V. 1. Περὶ δὲ τὸν χρόνον τοῦτον συντέλειαν ἔλαβεν ἡ Καισάρεια Σεβαστή, ἣν ᾠκοδόμει δεκάτῳ μὲν ἔτει πρὸς τέλος ἐλθοῦσις αὐτῷ τῆς ὅλης κατασκευῆς, ἐκπεσούσης δὲ τῆς προθεσμίας εἰς ὄγδοον καὶ εἰκοστὸν ἔτος τῆς ἀρχῆς ἐπ' ὀλυμπιάδος δευτέρας καὶ 15
137 ἐνενηκοστῆς πρὸς ταῖς ἑκατόν. ἦν οὖν εὐθὺς ἐν καθιερώσει μείζονες ἑορταὶ καὶ παρασκευαὶ πολυτελέσταται· κατηγγέλκει μὲν γὰρ ἀγῶνα μουσικῆς καὶ γυμνικῶν ἀθλημάτων, παρέσκευάκει δὲ πολὺ πλῆθος μονομάχων καὶ θηρίων ἵππων τε δρόμον καὶ τὰ πολυτελέστερα τῶν ἔν τε τῇ Ῥώμῃ καὶ παρ' ἄλλοις τισὶν ἐπιτηδευμάτων. 20
138 ἀνετίθει δὲ καὶ τοῦτον τὸν ἀγῶνα Καίσαρι κατὰ πενταετηρίδα παρεσκευασμένος ἄγειν αὐτόν· ὃ δ' αὐτῷ πᾶσαν τὴν εἰς τὰ τοιαῦτα παρασκευὴν ἀπὸ τῶν οἰκείων διεπέμπετο τὴν φιλοτιμίαν ἐπικοσμῶν.
139 ἰδίᾳ δὲ καὶ ἡ γυνὴ Καίσαρος Ἰουλία πολλὰ τῶν ἐκεῖ πολυτελεστάτων ἀπέστειλεν, ὡς μηδὲν ὑστερεῖν τὰ πάντα συντιμώμενα παλάν- 25

§ 134 = bell. Iud. I 457; § 136 = bell. Iud. I 416.

PAMWELatZonaras I p. 441.

1 ἐκ om. E μαριάμης E Ἀλέξανδρον καὶ Ἀριστόβουλον om. Lat cod. Berol. 4 ἔχει· M et ex corr. A 8 *ταῦτ' — 11 ἐφιέμενοι] *cum haec dixisset, comitione dimissa multi sub expectatione filiorum eius nouis rebus studebant* Lat ταῦτα E 9 ἀρεστὰ] ed. pr. ἄριστα codd. E *διελεγμένος W δὲ E 10 *ἃς ἐνεδεδώκει AM *παισὶν ἐνεωτέριστο A¹W παισὶ · | νενεωτέριστο ex corr. A πᾶσιν ἐνεωτέριστο P νενεωτέριστο] μεμετεώριστο coni. 11 καὶ νεωτέρων] καινοτέρων E ἐφιέμενα AMWE; ceterum haec manca aut corrupta sunt i. marg. θ' E 12 i. marg. *Λ* Lat *καισάρεια, ει ex ι corr. A 13 *Σεβαστή om. Lat *δεκάτῳ] anno duodecimo XV 9. 6 14 *παρασκευῆς M 16 *ἦν] ἦσαν coni. litt. ἦν οὖν εὐθὺσ i. ras. m. 2 A *εὐθὺς suspectum *ἐν] πρὸς τῇ AM μείζων ἑορτὴ AME *celebratio* Lat 18 *γυμνικῶν P 19 τε] τε καὶ W πολυτελέστατα coni.; sed etiam insequentia non placent 20 τε om. PW παρ' ἄλλοις] πολλοῖσ PW ἐπιτηδεύμασιν PW 21 δὲ om. PW κατὰ] καὶ codd. γρ κατὰ πενταετηρίδα i. marg. A παρασκευασάμενοσ AM 24 *τοῦ καίσαροσ AM *τὰ πολλὰ AMW 25 συντιμώμενον PW

των πεντακοσίων. συνελθόντος δ' εἰς τὴν πόλιν ὄχλου πλείονος 140
κατὰ θεωρίαν καὶ πρεσβείας, ἃς ἔπεμπον οἱ δῆμοι δι' ἃς ἐπεπόν-
θεισαν εὐεργεσίας, ἅπαντας ἐξεδέξατο καὶ καταγωγαῖς καὶ τραπέ-
ζαις καὶ διηνεκέσιν ἑορταῖς, τῆς πανηγύρεως ἐν μὲν ταῖς ἡμέραις
ἐχούσης τὰς ἀπὸ τῶν θεαμάτων ψυχαγωγίας, ἐν δὲ ταῖς νυξὶ τὰς
εὐφροσύνας καὶ τὴν εἰς τοῦτο πολυτέλειαν, ὡς ἐπίσημον γενέσθαι
τὴν μεγαλοψυχίαν αὐτοῦ· εἰς πάντα γὰρ ἅπερ [ἂν] ἐπιτηδεύσειεν 141
ἱλαρὸν εἶκε τὴν τῶν ἤδη γεγενημένων ἐπίδοσιν ὑπερβαλέσθαι, καὶ
φασιν αὐτόν τε Καίσαρα καὶ Ἀγρίππαν πολλάκις εἰπεῖν, ὡς ἀπο-
δόξει τὰ τῆς ἀρχῆς Ἡρῴδῃ τῆς οὔσης ἐν αὐτῷ μεγαλοψυχίας· ἄξιον
γὰρ εἶναι καὶ Συρίας ἀτάσης καὶ Αἰγύπτου τὴν βασιλείαν ἔχειν.

2. Μετὰ δὲ τὴν πανήγυριν ταύτην καὶ τὰς ἑορτὰς πόλιν ἄλλην 142
ἀνήγειρεν ἐν τῷ πεδίῳ τῷ λεγομένῳ Καφαρσαβᾶ τόπον ἔνυδρον
καὶ χώραν ἀρίστην φυτοῖς ἐκλέξας, λειμῶνί τε περιρρέοντος τὴν
πόλιν αὐτὴν καὶ καλλίστοις κατὰ μέγεθος τῶν φυτῶν περιειλημένην
ἄλσεσιν. ταύτην ἀπὸ Ἀντιπάτρου τοῦ πατρὸς Ἀντιπατρίδα προσ- 143
ηγόρευσεν. ἐπώνυμον δὲ καὶ τῇ μητρὶ χωρίον ὑπὲρ Ἱεριχοῦν οἰκο-
δομήσας ἀσφαλείᾳ τε διάφορον καὶ καταγωγαῖς ἡδίστων ἐκάλεσεν
Κυπρον. Φασαήλῳ τε τῷ ἀδελφῷ μνημεῖα διὰ τὴν γεγενημένην 144
εἰς αὐτὸν φιλοστοργίαν ἀνετίθει τὰ κάλλιστα. πύργον ἐπ' αὐτῆς τῆς
πόλεως ἀνασήσας οὐδὲν ἐλάττω τοῦ κατὰ τὴν Φάρον, ὃν προσηγό-
ρευσεν Φασάηλον, ἀσφαλείας τε τῇ πόλει μέρος ὄντα καὶ μνήμης τῷ
τετελευτηκότι διὰ τὴν προσηγορίαν. ὁμώνυμον δὲ αὐτῷ καὶ πόλιν 145
περὶ τὸν αὐλῶνα τῆς Ἱεριχοῦντος ἔκτισεν ἀπιόντων κατὰ βορρᾶν ἄνε-
μον, δι' ἧς καὶ τὴν πέριξ χώραν ἔρημον οὖσαν ἐνεργοτέραν ἐποίησεν
ταῖς ἐπιμελείαις τῶν οἰκητόρων. Φασαηλίδα καὶ ταύτην ἐκάλει.

3. Τὰς δὲ ἄλλας εὐεργεσίας ἄπορον εἰπεῖν ὅσας ἀπέδωκεν 146
ταῖς πόλεσιν ἔν τε Συρίᾳ καὶ κατὰ τὴν Ἑλλάδα καὶ παρ' οἷς ποτ'

§ 142 = bell. Iud. I 417, § 146 = bell. Iud. I 422.

PAMWELat

1 δὲ AMWE 2 *καὶ πρέσβεων οὓς ἔπεμπον* E 3 *καὶ* ante *καταγ.* om. PWE 4 *καὶ διηνεκέσιν — 6 πολυτέλειαν*] *et per dies quindecim spectacula uel delicias ministrauit* Lat *ἐχούσης*] *εὐχούσης* P 5 *νυξὶν* A^1W 7 **ἂν* spurium uid. *ἐπιτήδευεν* E 8 **ὑπερβάλεσθαι* PW 9 *πολλάκις*] *καὶ πολλάκισ* E 11 **γὰρ* om. W 12 **πόλιν*] *πάλιν* W 13 **Καφαρσαβὰ* AM *Χαφαρσαβὲ* XIII 391 **εὔνδρον* AM. fort. recte 14 *περισρέοντοσ* P

17 **ὑπὲρ*) *iuxta* Lat *ἱεριχοῦν* P *ἱεριχοῦντα* A *ἱερικοῦντα* ME *iericuntem* Lat **χωρίον* ante *οἰκοδομήσας* iterat A 20 *εἰς*] *πρὸσ* AMW *ἐτίθει* PE **ἐπ' — 21 πόλεως*] *in ea ciuitate* Lat 21 **ἔλαττον* PMW *minorem* Lat **τοῦ — Φάρον*] *faro alexandrino* Lat 23 **ὁμώνυμοι* W **δ'* AM 24 **ἱεριχοῦντοσ* (οῦ ex *o* corr. P) PA *ἐπιόντων* AM 25 *ἐνεργωτέραν* P 27 **δ'* AM

ἂν ἀποδιμῆσας τέχοι· καὶ γὰρ πλείονς λειτουργίας καὶ δημοσίων
ἔργων κατασκευὰς καὶ χρήματα τοῖς δεομένοις [ἔργοις] εἰς ἐπιμέλειαν
147 τῶν προτέρων ἔργων ἐκλελοιπότων ἄφθονα χαρίσασθαι δοκεῖ. τὰ
δὲ μέγιστα καὶ διασημότατα τῶν πεπραγμένων αὐτῷ Ῥοδίοις μὲν
τό τε Πύθιον ἀνέστησεν οἰκείοις ἀναλώμασιν καὶ παρέσχεν ἀργυ-
ρίου πολλὰ τάλαντα πρὸς ναυπηγίαν. Νικοπολίταις δὲ τοῖς ἐπ'
Ἀκτίῳ κτισθεῖσιν ὑπὸ Καίσαρος τὰ πλεῖστα τῶν δημοσίων συγ-
148 κατεσκεύασεν. Ἀντιοχεῦσι δὲ τοῖς ἐν Συρίᾳ μεγίστην πόλιν οἰκοῦ-
σιν, ἣν κατὰ μῆκος τέμνει πλατεῖα, ταύτην αὐτὴν στοαῖς ἑκά-
τερα καὶ λίθῳ τὴν ὅλην ὁδὸν ξεστῷ καταστορέσας πλεῖστον
149 εἰς κόσμον καὶ τὴν τῶν οἰκούντων εὐχρηστίαν ὠφέλησεν. τόν γε
μὴν Ὀλυμπίασιν ἀγῶνα πολὺ τῆς προσηγορίας ἀδοξότερον ὑπ'
ἀχρημάτίας διατεθειμένον τιμιώτερον ἐποίει χρημάτων προσόδοις
κατασήσας καὶ πρὸς θυσίας καὶ τὸν ἄλλον κόσμον ἐσεμνοποίησεν
τὴν πανήγυριν. διὰ δὴ ταύτην τὴν φιλοτιμίαν διηνεκὴς ἀγωνοθε-
της παρὰ τοῖς Ἠλείοις ἀνεγράφη.

150 4. Τοῖς μὲν οὖν ἄλλοις ἐπέρχεται θαυμάζειν τὸ διεστὸς τῆς
ἐν τῇ φύσει προαιρέσεως· ὅταν μὲν γὰρ εἰς τὰς φιλοτιμίας καὶ
τὰς εὐεργεσίας ἀπίδωμεν, αἷς ἐκέχρητο πρὸς ἅπαντας ἀνθρώπους,
οὐκ ἔστιν ὅπως οὐκ ἄν τις αὐτὸν καὶ τῶν ἔλαττον τετιμημένων
151 ἠρῆσθαι μὴ συνομολογεῖν εὐεργετικωτάτῃ κεχρῆσθαι τῇ φύσει. ὅταν
δὲ εἰς τὰς τιμωρίας καὶ ἀδικίας, ἃς εἰς τοὺς ἀρχομένους καὶ τοὺς
οἰκειοτάτους ἐπεδείξαιο βλέψῃ καὶ καταμάθῃ τὸ σκληρὸν καὶ τὸ
δυσπαράλλακτον τοῦ τρόπου, νικηθήσεται θηριώδει δοκεῖν καὶ πάσης
152 μετριότητος ἀλλότριον. ἔνθεν καὶ διάφορόν τινα καὶ μαχημένην
ἐπ' αὐτῷ νομίζουσιν γενέσθαι τὴν προαίρεσιν. ἐγὼ δ' οὐχ οὕτως

§ 146 = bell. Iud. I 423.

PAMWELatZonaras I p. 441.

1 ἂν] οὖν coni. 2 ἐπιτέλειαν Hudson 3 ἔργων om. AMW; sententia haec est, dedisse Herodem pecunias ad reficienda antiqua opera ἀφθονίᾳ P χαρίσασθαι] χρήσασθαι AM 4 *Ῥοδίοις — 5 Πύθιον] *in rodios extiterunt, siquidem pythium ipse* Lat 5 πυθεῖον E 6 δὲ] τὲ E *ἐπ' Ἀκτίῳ] ἐπ' ἄκτω P ἐπ' ἄκτω W 8 δὲ] τὲ E 9 αὐτὴν om. E 10 *ὕπεθρον P ὕπερθρον W πλεῖον E 11 *εὐχρηστείαν W 12 ὀλυμπιᾶσιν PW ὀλυμπιάσιν (ι et ιν ex corr. M) AME 13 διατεθημένον P διατεθέμενον E 14 *πρὸς] πρόσ τε AM 16 παρὰ τοῖς Ἠλείοις om. Lat Ἠλείοις] Naber πλείστοις codd. E; ante Naberum in eandem coniecturam incideramus L. Mendelssohn et ego 17 διεστὸς P²MWE et ex corr. A 18 τῇ om. E 19 *πρὸς post ἅπαντας deletum M 20 οὐκ ἄν] ἄν Ernesti ἔλαττον, ον ex ω corr A. τετιμηκότων AM 21 *εὐεργετηκοτάτῃ P 22 *δ' AM 23 βλέψῃ] βλέψῃ τισ E *σκληρὸν, σκ ex σχ corr. M τὸ om. E 24 δυσπαραίτητον AME 26 γεγενῆσθαι E οὐχ om. AM

ἔχων μίαν αἰτίαν ἀμφοτέρων τούτων ἐπιλαμβάνει· φιλότιμος γὰρ 153
ὢν καὶ τούτου τοῦ πάθους ἡττημένος ἰσχυρῶς, προῆγετο μὲν εἰς
μεγαλοψυχίαν, εἴ τινι μνήμης εἰς αὐτὸς ἢ κατὰ τὸ παρὸν εὐφημίας
ἐλπὶς ἐμπέσοι. ταῖς δὲ δαπάναις ὑπὲρ δύναμιν χρώμενος ἠναγ- 154
κάζετο χαλεπὸς εἶναι τοῖς ὑποτεταγμένοις· τὰ γὰρ εἰς οὓς ἐδαπάνα
πολλὰ γενόμενα κακῶν πορισὴν ἐξ ὧν ἐλάμβανεν ἐποίει. καὶ συν- 155
ειδὼς ἐφ' οἷς ἐδίκει τοῖς ὑποτεταγμένοις μισούμενον ἑαυτὸν τὸ
μὲν ἐλαυνθοῦσθαι τὰς ἁμαρτίας οὐ ῥᾴδιον ἐνόμιζεν· οὐδὲ γὰρ
εἰς τὰς προσόδους λυσιτελὲς ἦν. ἀντιφιλονείκει δὲ τὴν δύσνοιαν
αὐτὴν εὐπορίας ἀφορμὴν ποιούμενος. περί γε μὴν τοὺς οἰκείους, 156
εἴ τις ἢ λόγῳ μὴ θεραπεύοι τὸ δοῦλον ἐξομολογούμενος ἢ δόξειεν
εἰς τὴν ἀρχήν τι περαίνειν, οὐχ ἱκανὸς ἑαυτοῦ κρατεῖν ἐγίνετο καὶ
διεξῆλθεν ὁμοῦ συγγενεῖς καὶ φίλους ἴσα πολεμίοις τιμωρούμενος
ἐκ τοῦ μόνος ἐθέλειν τετιμῆσθαι τὰς τοιαύτας ἁμαρτίας ἀναλαμ-
βάνων. μαρτύριον δέ μοι τούτου τοῦ πάθους, ὅτι μέγιστον περὶ 157
αὐτὸν ἦν, καὶ τὰ γινόμενα καιὰ τὰς Καίσαρος καὶ Ἀγρίππα καὶ
τῶν ἄλλων φίλων τιμάς· οἷς γὰρ ἐθεράπευεν τοὺς κρείττονας, τού-
τοις καὶ αὐτὸς ἐξίου θεραπεύεσθαι καὶ τὸ κάλλιστον ὧν ᾤετο παρ-
έχων ἐν τῷ διδόναι τὴν τοῦ τυχεῖν ὧν ὁμοίων ἐπιθυμίαν ἐδίδου.
τό γε μὴν Ἰουδαίων ἔθνος ἠλλοτρίωται νόμῳ πρὸς πάντα τὰ τοι- 158
αῦτα καὶ συνείθισται τὸ δίκαιον ἀντὶ τοῦ πρὸς δόξαν ἠγαπηκέναι.
διόπερ οὐκ ἦν αὐτῷ κεχαρισμένον, ὅτι μὴ δυνατὸν εἰκόσιν ἢ ναοῖς
ἢ τοιούτοις ἐπιτηδεύμασιν κολακεύειν τοῦ βασιλέως τὸ φιλότιμον.
αἰτία μὲν αὕτη μοι δοκεῖ τῆς Ἡρώδου περὶ μὲν τοὺς οἰκείους καὶ 159
συμβούλους ἁμαρτίας, περὶ δὲ τοὺς ἔξω καὶ μὴ προσήκοντας εὐερ-
γεσίας.

VI. 1. *Τοὺς δὲ κατὰ τὴν Ἀσίαν Ἰουδαίους καὶ ὅσους ἡ πρὸς* 160
Κυρήνῃ Λιβύη κατέσχεν ἐκάκουν αἱ πόλεις, τῶν μὲν πρότερον βα-

---

PAMWELatZonaras I p. 441.

2 ἠττώμενος AME προσήγετο AMWE 3 ἢ] AMZon η P ἤ WE 5 τὰ γὰρ etc. paullo durius dicta οὓς ἐδαπάνα] ουεδεάπανα P 6 γιγνόμενα A γινόμενα (ι ex ε corr. M) MW κακὸν AM ἐξ — ἐποίει] ἔξωθεν ἐπελάμβανέ με ποιεῖν PW 10 εὐπορίας, εὐπ i. ras. M *γε μὴν] μὲν P μὲν οὖν W 11 *εἴ, ε i. ras. M ἢ] εἰ P εἰσ W θεραπεύοιτο δοῦλον PW ἢ] εἰ PW 12 ἑαυτὸν W αὐτοῦ E ἐγένετο M ἐγένετο E καὶ] καὶ διὰ τοῦτο E 14 θέλειν AMWE 17 οἷσ, ι ex υ corr. P τούτουσ W 18 καὶτὸσ AMW παρέχειν PW 19 ἐν τῷ — τυχεῖν om. W 21 συνήθισται P 22 εἰκόσιν] εἰκὸσ ἦν AM 27 τοὺς — 28 κατέσχεν] iudaei per asiam et libyam Lat καὶ — 28 Λιβύῃ] καὶ λιβύην ὅσουσ πρὸσ κυρήνην ἤ λιβύην A καὶ κυρήνην καὶ ὅσουσ πρὸσ λιβύην M ὅσουσ πρὸσ κυρήνην ἤ λιβύην E 28 Κυρήνῃ] coni. κυρήνην codd E κατέσχον AME προτέρων E

σιλέων ἰσονομίαν αὐτοῖς παρεσχημένων, ἐν δὲ τῷ τότε δι' ἐπηρείας
ἐχόντων τῶν Ἑλλήνων αὐτούς, ὡς καὶ χρημάτων ἱερῶν ἀφαίρεσιν
161 ποιεῖσθαι καὶ καταβλάπτειν ἐν τοῖς ἐπὶ μέρους. πάσχοντες δὲ κα-
κῶς καὶ πέρας οὐδὲν εὑρίσκοντες τῆς τῶν Ἑλλήνων ἀνανθρωπίας
ἐπρεσβεύσαντο παρὰ Καίσαρα καὶ περὶ τούτων. ὁ δ' αὐτοῖς τὴν
αὐτὴν ἰσοτέλειαν ἔδωκεν γράψας τοῖς κατὰ τὰς ἐπαρχίας, ὧν ὑπε-
τάξαμεν τὰ ἀντίγραφα μαρτύρια τῆς διαθέσεως. ἦν ἔσχον ὑπὲρ
ἡμῶν ἄνωθεν οἱ κρατοῦντες.

162 2. „Καῖσαρ Σεβαστὸς ἀρχιερεὺς δημαρχικῆς ἐξουσίας λέγει.
ἐπειδὴ τὸ ἔθνος τὸ τῶν Ἰουδαίων εὐχάριστον εὑρέθη οὐ μόνον ἐν
τῷ ἐνεστῶτι καιρῷ ἀλλὰ καὶ ἐν τῷ προγεγενημένῳ καὶ μάλιστα
ἐπὶ τοῦ ἐμοῦ πατρὸς αὐτοκράτορος Καίσαρος πρὸς τὸν δῆμον τὸν
163 Ῥωμαίων ὅ τε ἀρχιερεὺς αὐτῶν Ὑρκανός, ἔδοξέ μοι καὶ τῷ ἐμῷ
συμβουλίῳ μετὰ ὁρκωμοσίας γνώμῃ δήμου Ῥωμαίων τοὺς Ἰουδαίους
χρῆσθαι τοῖς ἰδίοις θεσμοῖς κατὰ τὸν πάτριον αὐτῶν νόμον, καθὼς
ἐχρῶντο ἐπὶ Ὑρκανοῦ ἀρχιερέως θεοῦ ὑψίστου, τά τε ἱερὰ * εἶναι ἐν
ἀσυλίᾳ καὶ ἀναπέμπεσθαι εἰς Ἱεροσόλυμα καὶ ἀποδίδοσθαι τοῖς
ἀποδοχεῦσιν Ἱεροσολύμων, ἐγγύας τε μὴ ὁμολογεῖν αὐτοὺς ἐν σάβ-
164 βασιν ἢ τῇ πρὸ αὐτῆς παρασκευῇ ἀπὸ ὥρας ἐνάτης. ἐὰν δέ τις
φωραθῇ κλέπτων τὰς ἱερὰς βίβλους αὐτῶν ἢ τὰ ἱερὰ χρήματα ἔκ
τε σαββατείου ἔκ τε ἀνδρῶνος, εἶναι αὐτὸν ἱερόσυλον καὶ τὸν βίον
165 αὐτοῦ ἐνεχθῆναι εἰς τὸ δημόσιον τῶν Ῥωμαίων. τό τε ψήφισμα
τὸ δοθέν μοι ὑπ' αὐτῶν ὑπὲρ τῆς ἐμῆς εὐσεβείας ἧς ἔχω πρὸς
πάντας ἀνθρώπους καὶ ὑπὲρ Γαΐου Μαρκίου Κηνσωρίνου καὶ τοῦτο
τὸ διάταγμα κελεύω ἀνατεθῆναι ἐν ἐπισημοτάτῳ τόπῳ τῷ γενη-

PAMWELat

2 *ἱερῶν om. PW 3 ἐν τοῖς] αὐτοὺς E 4 μέρους E τῆς] κατὰ τῆς PW 5 παρὰ] πρὸς AM πρὸς τὸν E *αὐτοῖς — 6 ἔδωκεν] *suis eos legibus uti praecepit* Lat 7 i. marg. *γρ μαρτυρίαν* A 9 i. marg. *XI* Lat 10 εὐχάριστον W 11 προγεγραμμένῳ P 12 αὐτοκράτορος] *dictatori* Lat τὸν] τῶν PMW 13 Ῥωμαίων] ἰουδαίων P ὑρκανὸς, *o* ex *ω* corr. A καὶ τῷ — 14 Ῥωμαίων] *placuit mihi et senatui cum sententia populi romani* Lat 14 συμβούλῳ W 15 θεσμοῖς] ἐθίσμοις, i. marg. *γρ ἐθισμοῖσ* AM (sic) πατρῶων AMW 16 τά τε — 18 Ἱεροσολύμων] *et sacraria eorum inuiolata permanere et pecunias ab eis ad hierosolyma transmissas reddi custodibus pecuariarum* Lat ἱερὰ] de sacris pecuniis res est 17 ἀποδίδοσθαι, litt. ποδίδοσθαι i. ras. circa 13 litt. P τοῖς] αὐτὰ τοῖσ AMW 18 ἀπυδοχεύονσιν W μὴ om. P fort. recte; nam excidisse uid. *μὴ ἀναγκάζεσθαι*, cf. § 168 ἐν] τοῖσ AM σάββασιν, σάβ s. M 19 πρὸ ταύτης AMW ἐννάτης M 21 σαββατείου P σαββαθίου AM 22 τῶν] τὸ τῶν AM τε] δὲ AM 24 καὶ ὑπὲρ — Κηνσωρίνου] *per galum marcium censorinum mihi porrectam* Lat Γαΐου Μαρκίου] μαρκίου γογγίου P μαρκίου γαΐου W κϋνσωρίνου M 25 τῷ om. PMW

θέντι μοι ὑπὸ τοῦ κοινοῦ τῆς Ἀσίας ἐν Ἀγκύρᾳ. ἐὰν δέ τις παραβῇ τι τῶν προειρημένων, δώσει δίκην οὐ μετρίαν. ἐστηλογραφήθη ἐν τῷ Καίσαρος ναῷ.“

3. *„Καῖσαρ Νωρβανῷ Φλάκκῳ χαίρειν. Ἰουδαῖοι ὅσοι τοτ'* 166
οὖν εἰσίν, [οἵ] *δι' ἀρχαίαν συνήθειαν εἰώθασιν χρήματά τε ἱερὰ φέροντες ἀναπέμπειν ἀκωλύτως ταῦτο ποιείτωσαν εἰς Ἱεροσόλυμα.“ καὶ ταῦτα μὲν Καῖσαρ.*

4. *Ἀγρίππας δὲ καὶ αὐτὸς ἔγραψεν ὑπὲρ τῶν Ἰουδαίων τὸν* 167
τρόπον τοῦτον· „Ἀγρίππας Ἐφεσίων ἄρχουσι βουλῇ δήμῳ χαίρειν. τῶν εἰς τὸ ἱερὸν τὸ ἐν Ἱεροσολύμοις ἀναφερομένων ἱερῶν χρημάτων τὴν ἐπιμέλειαν καὶ φυλακὴν βούλομαι τοὺς ἐν Ἀσίᾳ Ἰουδαίους ποιεῖσθαι κατὰ τὰ πάτρια. τούς τε κλέπτοντας ἱερὰ γράμματα τῶν 168
Ἰουδαίων καταφεύγοντάς τε εἰς τὰς ἀσυλίας βούλομαι ἀποσπᾶσθαι καὶ παραδίδοσθαι τοῖς Ἰουδαίοις, ᾧ δικαίῳ ἀποσπῶνται οἱ ἱερόσυλοι. ἔγραψα δὲ καὶ Σιλανῷ τῷ στρατηγῷ, ἵνα σάββασιν μηδεὶς ἀναγκάζῃ Ἰουδαῖον ἐγγύας ὁμολογεῖν.“

5. *„Μᾶρκος Ἀγρίππας Κυρηναίων ἄρχουσιν βουλῇ δήμῳ χαί-* 169
ρειν. οἱ ἐν Κυρήνῃ Ἰουδαῖοι, ὑπὲρ ὧν ἴδῃ ὁ Σεβαστὸς ἐπιμψιν μοὶ τῶν ἐν Λιβύῃ στρατηγῶν τόνδε ὄντα Φλάβιον καὶ μοὶ τοὺς ἄλλους τοὺς τῆς ἐπαρχίας ἐπιμελουμένους, ἵνα ἀνεπικωλύτως ἀναπέμπηται τὰ ἱερὰ χρήματα εἰς Ἱεροσόλυμα, ὡς ἔστιν αὐτοῖς πάτριον. ἐνέτυχόν μοι νῦν, ὡς ὑπό τινων συκοφαντῶν ἐπηρεαζόμενοι 170
καὶ ὡς ἐν προφάσει τελῶν μὴ ὀφειλομένων κωλύοιντο· οἷς ἀποκαθιστάνειν κατὰ μηδένα τρόπον ἐνοχλουμένοις, καὶ εἴ τινων ἱερὰ χρήματα ἀφῄρηνται τῶν πόλεων τοὺς εἰς ταῦτα ἀποκεκριμένους καὶ ταῦτα διορθώσασθαι τοῖς ἐκεῖ Ἰουδαίοις κελεύω.“

PAMWLat

1 *ἐν Ἀγκύρᾳ* om. Lat *Ἀγκύρᾳ*] Scaliger *ἀργυρῇ* PM *ἀργυρῆι* (*ι* i. ras.) A *ἀργύρῃ* W 2 *τι* om. M *τῶν εἰρημένων* AM *οὐ*] *οὐχὶ* AM 4 *Νωρβανῷ*] *νωγβανῷ* PA[1] *νωμάνω* M et ex corr. A *νορβανῷ* W *norbano* Lat *Ἰουδαῖοι — 6 Ἱεροσόλυμα*] *iudaei qui antiqua consuetudine solent pecunias sacras ad hierosolyma transmittere sine impedimento hoc faciant* Lat *ὅσοι*] *ὅποι* uel *ὅπῃ* coni. 5 *οἵ* om. PW 6 *εἰς Ἱεροσόλυμα* post *ἀναπέμπειν* tr. ed. pr. ex Lat; sed uereor ne haec manca sint 9 *ἄρχουσιν* W 12 *γράμματα*] *χρήματα* AMWLat, cf. supra § 164 15 *ἔγραψε* W *σιλουανῷ* AMW *sylano* Lat *μηδεὶς — Ἰουδαῖον*] *ne — iudaei compellantur* Lat 16 *ἀναγκάσῃ* AM 19 *τόντε*] *τότε* ed. pr. *φάβιον* AMLat, recte ut uid. 22 *ἐπηρεάζοιντο* AMW 23 *ἐν*] *ἐπὶ* coni, nisi tollere mauis *οἷς*] *τοῖσ* AM *πάντα κελεύω* uel simile ante *κατὰ* addendum 24 *ἐνοχλουμένοσ* PW *καὶ εἴ' —* 25 *πόλεων*] *sed et si quas sacras pecunias ciues ab eis abstulerunt* Lat *τινων*] *τινα* AM *τινες* coni. 25 *πόλεων*] *πολιτῶν* uertit Lat

171 6. „Γάιος Νωβανὸς Φλάκκος ἀνθύπατος Σαρδιανῶν ἄρχουσι χαίρειν. Καῖσάρ μοι ἔγραψεν κελεύων μὴ κωλύεσθαι τοὺς Ἰουδαίους ὅσα ἐν ὧσιν κατὰ τὸ πάτριον αὐτοῖς ἔθος συνεισφόρους χρήματα ἀναπέμπειν εἰς Ἱεροσόλυμα. ἔγραψα οὖν ὑμῖν, ἵν' εἰδῆτε, ὅτι Καῖσαρ κἀγὼ οὕτως θέλομεν γίνεσθαι."

172 7. Οὐδὲν ἧττον καὶ Ἰούλιος Ἀντώνιος ἀνθύπατος ἔγραψεν „Ἐφεσίων ἄρχουσιν βουλῇ δήμῳ χαίρειν. οἱ ἐν τῇ Ἀσίᾳ κατοικοῦντες Ἰουδαῖοι εἰδοῖς Φεβρουαρίοις δικαιοδοτοῦντί μοι ἐν Ἐφέσῳ ἐπέδειξαν Καίσαρα τὸν Σεβαστὸν καὶ Ἀγρίππαν συγχεχωρηκέναι αὐτοῖς χρῆσθαι τοῖς ἰδίοις νόμοις καὶ ἔθεσιν, ἀναρχίας τε, ἃς ἕκα- 10
173 στος αὐτῶν ἐκ τῆς ἰδίας προαιρέσεως εὐσεβείας ἕνεκα τῆς πρὸς τὸ θεῖον * ἀνακομιδῆς συμπορισμένους ποιεῖν ἀνεμποδίστους. ἧττον τε, ὅπως κἀγὼ ὁμοίως τοῖς ὑπὸ τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα δοθεῖσιν τὴν ἐμὴν γνώμην βεβαιώσω. ὑμᾶς οὖν βούλομαι εἰδέναι ἐν τοῖς τοῦ Σεβαστοῦ καὶ Ἀγρίππα βουλίμασιν συνεπιτρέπειν αὐ- 15
174 τοῖς χρῆσθαι καὶ ποιεῖν κατὰ τὰ πάτρια χωρὶς ἐμποδισμοῦ."

8. Ταῦτα μὲν οὖν παρεθέμην ἐξ ἀνάγκης, ἐπειδὴ μέλλουσιν αἱ τῶν ὑμετέρων πράξεων ἀναφορὰι τὸ πλέον εἰς τοὺς Ἕλληνας ἴέναι. δικαίως αὐτοῖς ὅτι πάσης τιμῆς ἄνωθεν ἐπιτυγχάνοντες οὐδὲν τῶν πατρίων ἐκωλύθημεν ὑπὸ τῶν ἀρχόντων πράττειν, ἀλλὰ καὶ 20
175 συνεργούμεθα τὰ τῆς θρησκείας ἔχοντες καὶ τῶν εἰς τὸν θεὸν τιμῶν. ποιοῦμαι δὲ πολλάκις αὐτῶν τὴν μνήμην ἐπιδιαλλάττων τὰ γένη καὶ τὰς ἐμπεφυκυίας τοῖς ἀλογίστοις ἡμῶν τε κἀκείνων μίσους αἰ-
176 τίας ὑπεξαιρούμενος. ἔθεσιν μὲν γὰρ οὐδέν ἐστιν γένος ὃ τοῖς αὐτοῖς ἀεὶ χρῆται καὶ κατὰ πόλεις ἴσθ' ὅτι πολλὰς ἐγγινομένης 25
177 τῆς διαφορᾶς· τὸ δίκαιον δὲ πᾶσιν ἀνθρώποις ὁμοίως ἐπιτηδεύοντες λυσιτελέστατον ὂν Ἕλλησίν τε καὶ βαρβάροις, οὗ πλεῖστον οἱ

PAMWLat

1 hanc epistulam Ephesiis scriptam exhibet Philo legat. ad Gaium p. 1036 (§ 40) *Νωβανὸς*] *νωβ*$^{?}$*ανὸς* ts. m. 2) P *νωβιανὸς* W i. marg. *γρ νωμάνος* AM *φλάγγος* M *ἄρχουσι*] *ἄρχουσιν* W *ἄρχουσι καὶ βουλῇ* AMLat *ἄρχουσι βουλῇ δήμῳ* coni. 3 *ὅσα — ὧσιν* om. Lat *ὅσα*] coni. *ὅσοι* codd.; cf. § 166 *συνάγοντες* AM *συνέγοντες* Gutschmid 5 *θέλομεν* P *γινέσθαι* AM 6 *Ἀντώνιος* om. Lat *ἔγραψεν*] *scripsit ita* Lat 8 *εἰδοῖς* PW *φεβραρίοις* A *φευρουαρίοις* M *Φεβρουαρίοις* Bekker 12 post *πόλεις* lacunam statuit Cocceji 13 *δοχθεῖσι* (*-σιν* A^1) AM 14 *οὖν*] *δὲ* AM 15 *ἐν — βουλίμασιν*] *quoniam decretis augusti et agrippae parens* Lat *ἐν*] *ἐμὲ* Cocceji *αὐτοὺς* AM 18 *εἰς τοὺς Ἕλληνας τὸ πλέον* tr. M 19 *ἄνωθεν*] *αὐτοῖς* PW 21 *συνεργούμεθα τὰ*] *συνεργοὺς μαθημάτων* AMW *defendebamur* Lat 23 *ὑμῶν* PW *κἀκείνων* PW 25 *καὶ* om. PW *γρ ἔστιν ὅπη* i. marg. A *ἐγγινομένης* AMW 26 *ἐπιτηδεύοντες*] *studeatur* Lat *ἐπιτηδευτέον* Gutschmid *ἐπιτηδεύει* ed. pr. *ἐπιτηδεύεται* Cocceji

παρ' ἡμῖν νόμοι λόγον ἔχοντες ἅπασιν ἡμᾶς, εἰ καθαρῶς ἐμμένοιμεν αὐτοῖς, εὔνους καὶ φίλους ἀπεργάζονται. διὸ καὶ ταῦτα παρ' 178
ἐκείνων ἡμῖν ἀπαιτητέον καὶ δέον οὐκ ἐν τῇ διαφορᾷ τῶν ἐπιτηδευμάτων οἴεσθαι τὸ ἀλλότριον, ἀλλ' ἐν τῷ πρὸς καλοκαγαθίαν ἐπιτηδείως ἔχειν· τοῦτο γὰρ κοινὸν ἅπασιν καὶ μόνον ἱκανὸν διασώζειν τὸν τῶν ἀνθρώπων βίον. ἐπάνειμι δὲ πάλιν ἐπὶ τὰ συνεχῆ τῆς ἱστορίας.

VII. 1. Ὁ γὰρ Ἡρῴδης πολλοῖς τοῖς ἀναλώμασιν εἴς τε τὰς 179
ἔξω καὶ τὰς ἐν τῇ βασιλείᾳ χρώμενος, ἀκηκοὼς ἔτι τάχιον ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς ἀνοίξας τὸν Δαυίδου τάφον ἀργυρίου λάβοι τρισχίλια τάλαντα κειμένων πολὺ πλειόνων ἔτι καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας εἶχεν τὴν ἐπιχείρησιν, ἐν δὲ τῷ τότε νυκτὸς ἀνοίξας τὸν τάφον εἰσ- 180
ἔρχεται πραγματευσάμενος ἥκιστα μὲν τῇ πόλει φανερὸς εἶναι, παρειλημμένος δὲ τοὺς πιστοτάτους τῶν φίλων. ἀποθέσιμα μὲν οὖν 181
χρήματα καθάπερ Ὑρκανὸς οὐχ εὗρεν, κόσμον δὲ χρυσοῦν καὶ πειμηλίων πολύν, ὃν ἀνείλετο πάντα. σπουδὴν δ' εἶχεν ἐπιμελεστέραν ποιούμενος τὴν ἔρευναν ἐνδοτέρω τε χωρεῖν καὶ κατὰ τὰς θήκας, ἐν αἷς ἦν τοῦ Δαυΐδου καὶ τοῦ Σολομῶνος τὰ σώματα. καὶ 182
δύο μὲν αὐτῷ τῶν δορυφόρων διεφθάρησαν φλογὸς ἔνδοθεν εἰσιούσῃ ἀνατώσης, ὡς ἐλέγετο. περίφοβος δ' αὐτὸς ἐξῆλθεν καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκεύασεν τολυτελὲς τῇ δαπάνῃ. τούτου καὶ Νικόλαος ὁ κατ' αὐτὸν ἱστοριο- 183
γράφος μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι καὶ κατῆλθεν, οὐκ ἐπιστρεπτὴν τὴν πρᾶξιν ἐπιστάμενος. διατελεῖ δὲ καὶ τἆλλα τοῖτον

PAMWELatZonaras I p. 441.

1 ἐμμένομεν (o ex ω corr. A) AM ἐμμενοῦμεν coni. 2 ἀπεργάσονται coni. ταὐτὰ Gutschmid 3 καὶ] ὡς coni., nisi spurium est 4 ἀλλ' — 5 ἔχειν *sed non seruatus benignitatis affectus* Lat ἀλλὰ] ἀλλὰ τὸ συγγενὲς coni. nisi postea cum Lat οὐκ inserere mauis; sed fort. Iosephus neglegentius scripit 5 πᾶσι AM διασώζειν A 6 ἐπανίειμι W πάλιν om. WLat S i. marg. ια' E *XII* Lat *τοῖς] τε τοῖσ W εἰς — 9 βασιλείᾳ om. ELat τὰς] τοὺς AM τὰ coni. 9 ἔξω] ἔξω χρείας Bekker τὰς] τοὺς AM *ἀκηκωὼς ex corr. P ἔτι τάχιον om. ELat 10 βασιλεύσας E 14 πραγματευόμενος E μὲν ἥκιστα tr. E μὲν τῇ πόλει ἥκιστα tr. M μέν] μὲν ἐν PW τῇ πόλει om. E 15 *πιστωτάτους P 16 *κόσμον — 17 πάντα] *ornatum uero et uasa aurea plura tulit* Lat χρυσοῦ W πολὺν πειμηλίων χρυσῶν (om. καὶ) E 17 ἀνείλετο] E ἀνείλατο codd. AM 18 τε om. E καὶ κατὰ] κατὰ E *ad* Lat; corrupta uid. 19 σολόμωνος AMW σολομῶντος E 20 *ἔνδον P 21 δὲ E 22 ἐπὶ τῶν στομίων κατεσκεύασε E πολυτελὲς τῇ] πολυτελεστάτῃ AME *magnificentissimis* Lat 24 *ὅτι] ἔτι PW *καὶ om. W 25 τὰ ἄλλα AMW

184 τὸν τρόπον χρώμενος τῇ γραφῇ· ζῶντι γὰρ ἐν τῇ βασιλείᾳ καὶ σὺν
αὐτῷ κεχαρισμένως ἐκείνῳ καὶ καθ' ὑπηρεσίαν ἀνέγραφεν, μόνων
ἀπτόμενος τῶν εὐκλειαν αὐτῷ φερόντων. πολλὰ δὲ καὶ τῶν ἐμφα-
νῶς ἀδίκων ἀντικατασκευάζων καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτό-
185 μενος, ὅς γε καὶ τὸν Μαριάμμης θάνατον καὶ τῶν παίδων αὐτῆς 5
οὕτως ὡμῶς τῷ βασιλεῖ πεπραγμένον εἰς εὐπρέπειαν ἀνάγειν βου-
λόμενος ἐκείνης τε ἀσέλγειαν καὶ τῶν νεανίσκων ἐπιβουλὰς κατα-
ψεύδεται, καὶ διατετέλεκεν τῇ γραφῇ τὰ μὲν πεπραγμένα δικαίως
τῷ βασιλεῖ περιττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθέντων
186 ἐσπουδασμένως ἀπολογούμενος. ἐκείνῳ μὲν οὖν πολλὴν ἄν τις, ὡς 10
ἔφην, ἔχοι τὴν συγγνώμην· οὐ γὰρ ἱστορίαν τοῖς ἄλλοις, ἀλλὰ ἔπαινο-
187 γίαν τῷ βασιλεῖ ταύτην ἐποιεῖτο. ἡμεῖς δὲ καὶ γένους ὄντες ἀγχοῦ
τῶν ἐξ Ἀσαμωναίου βασιλέων καὶ διὰ τοῦτο σὺν τιμῇ τὴν ἱερωσύ-
νην ἔχοντες τὸ ψεύσασθαί τι περὶ αὐτῶν οὐκ εὐπρεπὲς ὑπειληφό-
τες καθαρῶς καὶ δικαίως ἐκτίθεμεν τὰς πράξεις, πολλοὺς μὲν τῶν 15
ἐγγόνων τῶν ἐκείνου καὶ βασιλεύοντας ἔτι δι' ἐντροπῆς ἔχοντες,
τὴν δ' ἀλήθειαν πρὸ ἐκείνων τετιμηκότες, ἣν ὅτε δικαίως ἐγίνετο
συνέβη τε παρ' αὐτοῖς ἐκείνοις ὀργῇ τυγχάνειν.

188 2. Ἡρώδης δὲ διὰ τὴν ἐπιχείρησιν, ἣν ἐποιήσατο τῷ τάφῳ,
χεῖρον ἐδόκει πράττειν ἐν τοῖς κατὰ τὴν οἰκίαν, εἴτε δὴ τοῦ μηνί- 20
ματος ἐπιδόντος εἰς ἃ μάλιστα καὶ πρότερον ἐνόσει πλείω γενέσθαι
πρὸς ἀνηκέστους ἐξελθεῖν συμφοράς, εἴτε καὶ τῆς τύχης ἐν ἐκείνῳ
τὴν ἐπίθεσιν ποιουμένης ἐν οἷς τὸ κατὰ τὴν αἰτίαν εὔκαιρον οὐ
μικρὰν πίστιν παρεῖχεν τοῦ διὰ τὴν ἀσέβειαν αὐτῷ τὰς συμφορὰς
189 ἀπηντηκέναι. στάσις γὰρ ἦν ὥσπερ ἐμφυλίου πολέμου κατὰ τὴν 25
αὐλὴν καὶ μίσος πρὸς ἀλλήλους ἀνθ' περβαλλομένων ταῖς διαβολαῖς.
190 ἐστρατήγει δ' ἀεὶ κατὰ τῶν ἀδελφῶν Ἀντίπατρος δεινὸς ὢν ἔξωθεν

§ 188 = bell. Iud. I 467.

PAMWELatZonaras I p. 442.

1 ζῶντι] ζῶν τε Cocceji συζῶν γε Gutschmid ζῶντι — 2 αὐτῷ] *nam uiuente rege et cum eo degens* Lat σὺν] συνὼν AM, recte si καὶ omittetur 2 ἀνέγραφεν] γέγραφεν Naber ἔγραφεν coni. μόνον PW 3 εὔκλειαν] πρὸς εὔκλειαν AMW et ut uid. Lat ἐμφανῶν ἀδικιῶν PW 6 πεπραγμένον] ed. pr. πεπραγμένων codd. 8 διατετέλεκ' ἐν coni. 11 ἀλλ' AM 12 γένος Ernesti 13 τῶν ἐξ — βασιλέων] *asamonaeorum regum* Lat ἀσαμωναίων AMW τὴν] καὶ τὴν AM fort recte 14 ἐχόντων AM περὶ] ὑπὲρ PW εὐπρεπῶσ M 15 πολλοὺς — p. 34, 13 πρώτῃ om. Lat 16 καὶ om. PW 17 ἐγίγνετο AM τε] δὲ A μὴ δὲ (μὴ s. m. 2) M ὀργῇ] ὀργῆς (ῆς ex ὴ corr. A) AM 19 *ἐπιχείρησιν] ἐπιχείριον W 21 πλείω] ὡς πλείω Cocceji 22 πρὸς] καὶ πρὸσ A καὶ ‖ καὶ πρὸσ M ἐκείνοις ed. pr. 23 ἐν οἷς τὸ] γένοιτο AM 24 τοῦ] τὸ AM 26 μίσους E 27 δὲ E *τῶν ex τὸν corr. A

μὲν περιβάλλειν αὐτοὺς ταῖς αἰτίαις, αὐτὸς δὲ πολλάκις ἀπολογούμενος τόπον λαμβάνειν, ἵν' ἧ τὸ δοκοῦν εἶνον αἰσιον αὐτῷ πρὸς τὰς ἐπιχειρήσεις ὧν ἐβόκει. καὶ τούτῳ τῷ τρόπῳ ποικίλως ἐπεχειρίζετο τὸν πατέρα μόνος ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἅπαντα πράττειν αὐτὸς πεπιστευκώς. ὁ δὲ καὶ Πτολεμαῖον, ὃς ἦν αὐτῷ 191
διοικητὴς τῶν τῆς βασιλείας πραγμάτων, Ἀντιπάτρῳ συνίστη καὶ μετὰ τῆς ἐκείνου μητρὸς ὑπὲρ τῶν ἐπειγόντων ἐβουλεύετο. καὶ καθόλου τὰ πάντα ἦσαν αὐτοῦ καὶ πράττειν ὅσα θέλοιτο καὶ πρὸς ὁύσνοιαν ἄγειν τὸν βασιλέα τῶν ἔξωθεν οἷς ἐδόκει συμφέρειν. οἱ 192
δ' ἐκ τῆς Μαριάμμης χαλεπώτερον ἀεὶ διετίθεντο, καὶ τὴν αἰτίαν ἐπ' εὐγενείας οὐκ ἄλλον παρεωσμένοι καὶ τάξιν ἀτιμοτέραν ἔχοντες. αἵ γε μὴν γυναῖκες, ἡ μὲν Ἀλεξάνδρῳ συνοικοῦσα θυγάτηρ 193
Ἀρχελάου Γλαφύρα μῖσος εἶχεν εἰς τὴν Σαλώμην κατά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν κἀκ τοῦ πρὸς τὴν ἐκείνης θυγατέρα δοκεῖν ὑπερηφανώτεροι διακεῖσθαι· συνῆκε μὲν γὰρ Ἀριστοβούλῳ, τὴν δὲ ἰσοτιμίαν αὐτῆς ἀναξιοπάθει Γλαφύρα.

3. Δευτέρας οὖν ταύτης ἔριδος ἐμπεπτωκυίας οὐδ' ὁ τοῦ βα- 194
σιλέως ἀδελφὸς Φερώρας ἔξω παραχθῆναι. ἰδίαν δὲ ἐνύθεσιν ὑποψίας καὶ μίσους εἶχεν· ἐμπεπτώκει μὲν γὰρ εἰς ἔρωτα δουλευούσης αὐτῷ γυναικός, ἥττητο δὲ τῆς ἀνθρώπου μειρόκου ἐπὶ τοσοῦτον κρατούσης, ὥστ' αὐτῷ καὶ τῆς τοῦ βασιλέως ἐγγυηθείσης θυγατρὸς τὴν μὲν ὑπερηφανῆσαι, πρὸς δὲ τῇ δούλῃ τὸν νοῦν εἶχεν. ἔχθετο δὲ ἀτιμασθεὶς Ἡρῴδης τῷ πολλὰ μὲν εὐεργετῆσαι τὸν 195
ἀδελφόν, δυνάμει δὲ καὶ κοινωνὸν ἔχειν τῆς βασιλείας, οὐχ ὅμοιον εἰς τὰς ἀμοιβὰς ὁρῶν, κἀν τῷ προσώπῳ δυστυχεῖν ᾤετο. καὶ τὴν 196
μὲν κόρην μὴ τυχὼν Φερώρα δικαίου παιδὶ Φασαήλου δίδωσιν, αὐτὸς δὲ χρόνου διελθόντος οἰόμενος ἤδη παρικμακέναι τὴν ἐπιθυ-

§ 190 = bell. Iud. I 472, § 194 = bell. Iud. I. 483.

PAMWE Zonaras I p. 442.

1 *περιβέλλων* E 2 **λαμβάνειν* AMW *ἵνα* E 3 *ἐγχειρήσεις* E 5 *αὐτὸς*] *αὐτὸν* AM, om. E *πεπιστευκώς*] *γρ πεπεικώς* i. marg. AM *δοκῶν* E *πεπιστευμένος* aut *πεπιστευκότα* coni. 9 *οἷς*] *ὅσοις* AM 10 *μαριάμης* E *αἰτίαν*] *ἀτιμίαν* AMWE, grauius uitium latet 11 **παρεωσμένοι*] i. marg. *γρ παρεωραμένοι* AM **ἀτιμωτέραν* P 12 *αἵ γε* etc.] sententia caret clausula *γε*] *τε* AME 13 **γλάφυρα* AM 15 **ὑπερηφανότερον δοκεῖν* tr. M **ὑπερηφανότερον* M et ex corr. A 16 *ἀνηξιοπάθει* (*η* i. ras. A) AME *ἠναξιοπάθει* W **γλάφυρα* AM 15 *οὐδ'* ὁ] *οὐδὲ* E 18 **δὲ*] *δ'* A[1] 19 **ἐνεπεπτώκει* AM 21 *ὥστε* E 22 **ὑπερηφανῆσαι* M *ὑπερηφάνησε* coni. *τὴν δούλην* E *ἔχειν* AME 23 *εὐεργετεῖν* E 25 **τυχεῖν* M 26 **φερώρα* AM

μίαν ταδελφῷ περί τε τῶν πρώτων ἠτιᾶτο καὶ τὴν δευτέραν ἠξίου
197 λαμβάνειν. Κύπρος ἐκαλεῖτο. Φερώρᾳ δὲ συμβουλεύει Πτολεμαῖος
ἤδη ποτὲ πανσαμένῳ τῆς εἰς τὸν ἀδελφὸν ἀτιμίας καταβαλεῖν τὸν
ἔρωτα· καὶ γὰρ αἰσχρὸν εἶναι δούλης ἡττώμενον ἀποστερεῖν μὲν
αὐτὸν τῆς εὐνοίας τῆς παρὰ βασιλέως, αἴτιον δὲ κἀκείνῳ ταραχῆς
198 καὶ μίσους πρὸς αὐτὸν καθίστασθαι. ταῦτ' ἐκεῖνος ἰδὼν λυσιτε-
λήσοντα τῷ καὶ πρότερον ἐν διαβολαῖς γενόμενος συνεγνῶσθαι, τὴν
μὲν ἄνθρωπον ἤδη καὶ παῖδα ἐξ αὐτῆς ἔχων ἀποπέμπεται, βασιλεῖ
δ' ὁμολόγει λήψεσθαι τὴν δευτέραν αὐτοῦ θυγατέρα καὶ τριακοστὴν
ἡμέραν συνέθετο τοῦ γάμου, συνεπομνύμενος ὡς οὐδὲν ἔτι κοινω-
199 νημα πρὸς τὴν ἀποπεμφθεῖσαν ἔσται. διελθουσῶν δὲ τῶν τριά-
κοντα ἡμερῶν τοσοῦτον ἦν ἥττων τοῦ ἔρωτος, ὥστε μηδὲν μὲν ἔτι
λοιῆσαι τῶν ὡμολογημένων, πάλιν δὲ διατελεῖν ἐπὶ τῇ πρώτῃ.
200 ταῦτα φανερῶς ἤδη τὸν Ἡρώδην ἐλύπει καὶ πρὸς ὀργὴν ἦγεν. ἦσαν
οὖν λόγοι τινὲς ἀεὶ παραλείποντες παρ' αὐτοῦ, καὶ πολλοὶ τὴν
ὀργὴν τοῦ βασιλέως ἀφορμὴν τῶν κατὰ Φερώρου διαβολῶν ἐποι-
οῦντο. διέλειπεν δὲ οὐχ ἕσθ' ἥτις ἡμέρα οὐδ' ὥρα, καθ' ἣν ἀτρε-
μεῖν αὐτῷ συνέβαινεν, ἀλλ' ἀεί τι προσέπιπτεν καινῶν ἀγωνισμά-
201 των συγγενῶν καὶ φιλτάτων εἰς ἀλλήλους πεποιημένων. τοῦτο μὲν
γὰρ ἡ Σαλώμη καλεσα καὶ δύσνους οὖσα τοῖς ἐκ Μαριάμμης οὐδὲ
τὴν ἑαυτῆς θυγατέρα συνοικοῦσαν Ἀριστοβούλῳ θυγατέρῳ τῶν νεα-
νίσκων εἴα τῇ τοῦ γάμου πρὸς ἐκεῖνον εὐνοίᾳ χρῆσθαι, λέγειν τε

§ 201 = bell. Iud. I. 478.

PAMWELatZonaras I p. 443.

1 *ταδελφοῦ A *πρώτων] ἐρώτων Naber, quod ipse conieceram 2 Κύπρος] κύπρος δ' AME Πτολεμαίῳ P 3 ποτὲ om. PW τὸν] μὲν τὸν PW 5 αὐτὸν] αὐτὸν PW ἑαυτὸν AM 6 καὶ s. M ἐκεῖνος ἰδὼν] εἰδὼς ἐκεῖνος AM λυσιτελῆσ ὄντα W 7 συνεγνῶσθαι] συνεγνώσθη AM, i. marg. γρ συγγνώμησ ἠξιῶσθαι (ἠξιώθη M) AM 9 δὲ AMWE *καὶ] καὶ εἰς coni. 10 ἔθετο E *τοὺς γάμους ἐπομνύμενος coni. *συνεπωμύ-μενοσ P *οὐθὲν AM 11 *ἀποπεμφθῆσαν P 12 ἥττον PE 13 *ὁμο-λογημένων P *πρώτῃ] ἐρωμένῃ Naber 14 *ταῦτα] καὶ ταῦτα AM ταῦτα — 19 πεποιημένων] *in domesticis ergo malis herodes constitutus afflige-batur; nam multi ex regis ira accipientes audaciam accusabant propinquos et amicos eius, quibus ita inter se dispositis nulla requies erat* Lat, cf. p. 32, 15 15 ἀεὶ προσπίπτοντεσ AM rectius ut uid 16 φερούρου P 17 διέλειπεν δὲ] διέλιπέ (διέλιπεν A¹) τε AM διετέλει δὲ E γρ διέλιπε δ' i. marg. A οὐκ ἔσθ' ἥτις] οὔτέ τισ AM οὐκέτι τίσ E ἡμέρασ οὐδὲ E 18 ἀλλ' ἀεί] ἀλλά E καινὸν (αι i. ras. corr. A) ἀγώνισμα τῶν συγγενῶν AME 19 εἰς om. E *πε-πονημένων Cocceji 20 *ἐκ] ἐκ τῆσ M μαριάμησ E 21 *θυγατέραν P¹ 22 τε om. PW

εἴ τι λαλήσειεν κατ' ἰδίαν ἀναπείθουσα καὶ μηνύειν ἑαυτῇ κἂν
τοῖς προσκρούμασιν, οἷα συμβαίνει, πολλὰς ὑποψίας εἰσάγουσα.
δι' ὧν αὐτὴ μὲν ἅπαντα τὰ κατ' ἐκείνους ἐμάνθανεν, δύσνουν δὲ 202
τὴν παῖδα τῷ νεανίσκῳ πεποιήκει. χαριζομένη δ' ἐκείνη τῇ μητρὶ 203
πολλάκις ἔλεγεν, ὡς μέμνηται μὲν ἰδιώτους ἔτι τοὺς Μαριάμμης,
ἐπιτηδῆσαι δὲ τὸν πατέρα, σπουδὴν δὲ διαπεπολῆσθαι, εἰ τύχοιεν
αὐτοί ποτε τῆς ἀρχῆς, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας
Ἡρῴδῃ γεγενημένους κωμογραμματεῖς καταστῆσαι· ἁρμόσειν γὰρ
εἰς τοιαύτην χρείαν τὸν ἐν ταπεινῇ αἰτίᾳ καὶ πρὸς παιδείαν ἐσπου-
δασμένον. τὰς δὲ γυναῖκας, εἴ ποτε καὶ ταύτας ἴδοιεν τοῦ μητρῴου 204
κόσμου μεταλήψεις, ὥστε τῆς παρούσης ἁβρότητος ἀπιδεῖν, ὡς
ῥύσεσιν ἡμφιεσμένας καθειργνῦσθαι μηδὲ τὸν ἥλιον βλέπουσας.
ταῦτ' εἰδὼς ἀπηγγέλλετο διὰ τῆς Σαλώμης τῷ βασιλεῖ· κἀκεῖνος 205
ἔχων μὲν ἀλγεινῶς, ἐπειρᾶτο δὲ διορθοῦν, ἐκαλεῖτο δὲ ταῖς ἐπο-
ψίαις καὶ χείρων ἀεὶ γινόμενος ἅπασιν κατὰ πάντων ἐπίστευεν.
οὐ μὴν ἀλλὰ τότε μὲν ἐπεπλήξας τοῖς παισὶν ἀπολογησαμένοις
ῥᾳον εἰς τὸν καιρὸν ἐγένετο, ταῖς δ' ἐξῆς πολὺ χείρω προσέλαβεν.

4. Ὁ γὰρ Φερώρας ἐλθὼν παρὰ τὸν Ἀλέξανδρον ἔχοντα τὴν 206
Ἀρχελάου θυγατέρα Γλαφύραν, ὡς ἐδηλώσαμεν, Σαλώμης ἔφη λε-
γούσης ἀκηκοέναι τὸν Ἡρῴδην ἐπιθυμεῖσθαι τοῦ τῆς Γλαφύρας ἔρωτος
καὶ διεσπαραγμένον αὐτῷ τὴν ἐπιθυμίαν εἶναι. τοῦτο οὖν ἐκεῖνος 207
ἀκούσας ὑπό τε νεότητος καὶ ζηλοτυπίας ἐξεκαίετο καὶ τὰ κατὰ
τιμὴν εἰς τὴν παῖδα γινόμενα παρ' Ἡρῴδου, πολλάκις δ' ἦσαν αἱ
τοιαῦται φιλοφρονήσεις, ἐπὶ τὸ χεῖρον ἐλάμβανεν ἐξ ὑπονοιῶν διὰ
τὸν ἐκπεσόντα λόγον. οὐκ ἐκαρτέρησέν τε τὴν ὀδύνην τοῦ πράγ- 208

§ 201 = bell. Iud. I 478.

PAMWELat Zonaras I p. 443.

1 αὐτῇ AM 2 προσκρούσμασιν PW 3 *αὖτη P 5 μαριάμης E 8 *καταστήσειεν M *ἁρμόσει PW 10 *εἴδοιεν PW 11 *ἁβρότητος PA *ὡς — 12 βλέπουσα] *ciliciis interclusi ne solem viderent* Lat 12 τρύχισιν] coni. *τριχίσιν* P *τρίχινοις* AMW *τριχίνοις* E *θριξὶν* Ernesti *τριχίναις* Dindorf; cf. bell. Iud. *ἠμφιεσμένον PW *καθειργοῦνται] καθειργουνται P *καθεδοῦνται* AME *καθείρξειν* Zon; in bello Iud. minitatur Alexander *ἰστουργοὺς ἅμα ταῖς δούλαις ποιήσειν* 13 ταῦτα E *ἀπήγγελε E 14 ἤκουσε E *μὲν om. M *ἀλγινῶς P 15 *γενόμενος AM 17 *ῥᾴον PW ἐγίνετο] PAW Zon *ἐγένετο* ME *χείρω προσέπεσεν] *atrocius exarsit* Lat *χείρων PMW *χείρῳ A *προέπεσεν Bekker 19 *γλάφυραν AM *δηλώσαμεν W 20 *τῆς τοῦ tr. M *τοῦ om. W 22 *κατὰ] κατὰ τὴν W 23 *γιγνόμενα AM παρὰ E δὲ WE αἱ] οἱ P, om. E 24 *ἐπὶ τὸ — 25 λόγον] *propter amorem haec eum facere arbitrabatur* Lat *ἐξ ὑπονοιῶν P ἐξ ἐπινοιῶν AM, fort. participium restituendum

ματος, ἀλλὰ ἐλθὼν πρὸς τὸν πατέρα καταμηνύει τὰ ὑπὸ τοῦ Φερώρα ῥηθέντα μετὰ δακρύων. Ἡρώδης δὲ πολὺ μᾶλλον ἐκπαθὴς
209 *γενόμενος καὶ τὸ σὺν αἰσχύνῃ τῆς διαβολῆς ἐψευσμένον οὐ φέρων ἐτετάρακτο. καὶ πολλάκις μὲν ὠδύρετο τὴν πονηρίαν τῶν οἰκείων* 5
οἷος εἰς αὐτοὺς γενόμενος οἵων τυγχάνοι, μεταπέμπεται δὲ τὸν
Φερώραν καὶ προσαγειδίσας „κάκιστε πάντων, εἶπεν, εἰς τοῦτο τῆς
ἀμέτρου καὶ περιττῆς ἦλθες ἀχαριστίας, ὡς τοιαῦτα μὲν περὶ ἡμῶν
210 *νοῆσαι, τοιαῦτα δὲ λαλεῖν; ἆρ' οὐχ ὁρῶ τὴν σὴν προαίρεσιν, ὡς* 10
οὐ βλασφημίας ἐσταχασμένος τοῖς τοιούτοις λόγοις τῷ παιδὶ προσ-
ήγαγκας. ἐπιβουλὴν δὲ καὶ φάρμακον αὐτοὺς ποιούμενος τῆς ἐμῆς
ἀπωλείας; τίς γὰρ ἄν, εἰ μὴ δαιμόνων ἀγαθῶν ἔτυχεν, ὥσπερ οὗ-
τος ὁ παῖς, ἠνέσχετο τὸν πατέρα μὴ τίσασθαι διὰ τοιαύτην ὑπο-
211 *ψίαν; πότερον δὲ λόγον εἰς τὴν ψυχὴν ἢ ξίφος εἰς τὴν δεξιὰν ἐμ-* 15
βαλεῖν αὐτῷ δοκεῖς κατὰ τοῦ γεγεννηκότος; τί δέ σοι βούλεται τὸ
μισοῦντά τε αὐτὸν καὶ τὸν ἀδελφὸν αὐτοῦ πρὸς μόνην τὴν κατ'
ἐμοῦ βλασφημίαν ἑτοίμως ὑποκρίνασθαι καὶ περὶ τούτων λέγειν, ἃ
212 *τῆς σῆς ἀσεβείας ἦν καὶ νοῆσαι καὶ διαβαλεῖν; ἴθρει κάκιστος εἰς*
εὐεργέτην καὶ ἀδελφὸν γενόμενος. καὶ σοὶ μὲν ἡ συνείδησις αὐτὴ
συζήσειεν, ἐγὼ δὲ νικήσω ἀεὶ τοὺς ἐμοὺς μήτε ἀμυνόμενος κατ'
ἀξίαν καὶ μειζόνως εὐεργετῶν ἢ τυχεῖν εἰσι δίκαιοι." 20
213 5. *Τοιαῦτα μὲν οὖν ὁ βασιλεύς. Φερώρας δ' ἐπ' αὐτοφώρῳ*
τῇ μοχθηρίᾳ Σαλώμην ἔφη ταῦτα συμπείσειν καὶ παρ' ἐκείνης
εἶναι τοὺς λόγους. ἡ δὲ ὡς μόνον ἤκουσεν, ἐτύγχανεν δὲ παροῦσα,
214 *πιθανῶς ἀνεβόησεν, ὡς οὐδὲν εὖη παρ' αὐτῆς τοιοῦτον, καὶ ὅτι*
διὰ σπουδῆς ἐστιν ἅπασιν εἰς μῖσος ἀγαγεῖν αὐτὴν τοῦ βασιλέως 25
καὶ πάντα τρόπον ἐνέχειν διὰ τὴν εὔνοιαν, ἣν ἔχοι περὶ τὸν Ἡρώ-
215 *δην ἀεὶ προγινώσκουσα τοὺς κινδύνους. ἐν δὲ τῷ παρόντι καὶ*
μᾶλλον ἐπιβουλεύεσθαι· μόνη γὰρ ἀναπείθουσα τὸν ἀδελφὸν ἐκ-

PAMWELat Zonaras 1 p. 441.

1 *ἀλλ'* AME **κατὰμηνύεται τὰ* P **φερώρᾳ* M 4 *τετάρακτο* E 6 *ἁπάντων* WE 9 *προσήγαγκας* W 10 *αὐτοὺς*] *αὐτὸς*, i. marg. *γρ αὐτούς* (*γρ* om. M) AM 11 *οὗτος*] *αὐτὸς* P 13 **πότερον — 14 δοκεῖς*] *prius enim gladium in dextera quam hoc uerbum in animo debebas inmittere* Lat 15 *τε αὐτὸν*] *αὐτόν τε* coni. 16 *περὶ τούτων*] *talia* Lat 18 *αὐτὴ* W 19 *ἐγὼ*] *ἄγω* P *νικήσω ἀεὶ*] *νίκωνα εἰσ* P *νικῶν ἀεὶ* W *uinco sicut soleo* Lat 20 *ἢ* i. ras. A *εἶσιν* P *δίκαιοι*] *ἄξιοι* P 21 *οὖν* om. AM *δὲ* WE 22 *ἁλοὺς* post *μοχθηρίᾳ* add. ed. pr. **συνπείσειν* PW *persuasit* Lat, i. marg. *γρ συνθήσειν* (*ή* i. ras. A, *γρ* om. M) AM *συνθῆσαι* ed. pr. *συνθεῖναι* Wolf apud Zon. *συμπείθειν* uel *συμπεῖσαι* Pinder apud Zon 23 **δὲ*] *γὰρ* AM et ut uid. Lat 24 *αὐτοῖς* E 26 *ἐνέχειν*] *ἀνελεῖν*, i. marg. *γρ ἐνέχειν* (*γρ* om. M) AM *occidere* Lat *ἔχει* M *ἔχῃ* W 28 *ἐκβάλλειν*] *ἐκβα·λεῖν* (eras. *λ*) A *ἐκβαλεῖν* ME *ne — repudiaret* Lat

βάλλειν ἣν εἶχε γυναῖκα, λαμβάνειν δὲ θυγατέρα τὴν βασιλέως εἰ-
κότως ὑπ' ἐκείνου μεμισῆσθαι. τοιαῦτα λεγούσης καὶ πολλάκις 216
μὲν ἐπιδραττομένης τῶν τριχῶν, πολλάκις δὲ τιτιτούσης τὰ στέρνα,
ἡ μὲν ὄψις εἶχέ τι πρὸς τὴν ἄρνησιν πιθανόν, ἡ δὲ κακοήθεια τοῦ
τρόπου τὴν ἐν τοῖς γινομένοις ὑπόκρισιν ἀπεσήμαινεν. ὁ δὲ Φε- 217
ρώρας εἰς μέσον ἀπέλιπετο μηδὲν εὔσχημον εἰς ἀπολογίαν ἔχων.
εἰπεῖν μὲν ὡμολογηκώς, ἀκοῦσαι δ' οὐ πιστευόμενος. ἐγένετο δ'
ἐπὶ πλεῖον ἥ τε σύγχυσις καὶ ἡ τῶν λόγων εἰς ἀλλήλους ἅμιλλα.
τέλος δὲ ὁ βασιλεὺς τόν τε ἀδελφὸν καὶ τὴν ἀδελφὴν μεμισηκὼς 218
ἀπεπέμπετο καὶ τὸν υἱὸν ἐκαινίσας τῆς ἐγκρατείας καὶ τοῦ πρὸς
αὐτὸν ἀντεγκεῖν τοὺς λόγους ὑφὼ τῆς ὥρας περὶ θεραπείαν τοῦ
σώματος ἐγένετο. τοιαύτης δὲ τῆς μάχης ἐμπεσούσης κακῶς ἔχοι- 219
σεν ἡ Σαλώμη· παρ' αὐτῆς γὰρ ἐδόκει κεκινῆσθαι τὰ περὶ τὴν
διαβολήν· αἵ τε τοῦ βασιλέως γυναῖκες ἤχθοντο φύσει δυσχερεστά-
την εἶδυῖαι καὶ γινομένην ἄλλοι' ἄλλην κατὰ καιροὺς ἐχθρὰν καὶ
φίλην. ἔλεγον οὖν ἀεί τι πρὸς τὸν Ἡρῴδην κατ' αὐτῆς καί τι
συμπεσὸν ἐπὶ μεῖζον ἤγαγεν τὴν εἰς τοῦτο παρρησίαν.

6. Ἦν μὲν γὰρ ὁ τῆς Ἀραβίας βασιλεὺς Ὀβόδας ἀπράγμων 220
καὶ νωθὴς τὴν φύσιν. Σύλλαιος δ' αὐτῷ διῴκει τὰ πολλὰ δεινὸς
ἀνὴρ καὶ τὴν ἡλικίαν νέος ἔτι καὶ καλός. ὑπὸ χρείας οὖν τινος ἐλ- 221
θὼν ὡς τὸν Ἡρῴδην συνδεπιτῶν εἶδεν τὴν Σαλώμην. καὶ τὸν νοῦν
ἔσχεν πρὸς αὐτήν, γινώσκων δ' ὅτι καὶ χήρα τυγχάνοι διελέγετο.
Σαλώμῃ δὲ καὶ χεῖρον ἢ πάλαι φερομένῃ παρὰ τἀδελφῷ καὶ τὸν 222
νεανίσκον οὐκ ἀπαθῶς ὁρῶσα πρὸς τὸν γάμον ὥρμητο, ταῖς τε
μεταξὺ φοιτώντων ἐπὶ τὸ δεῖπνον ἐνεφαίνετο πλείω τε καὶ μὴ μέ-

§ 220 = bell. Iud. I 487.

PAMWELatZonaras I p. 444.

1 εἶχε] ἔχει νῦν A ἔχοι νῦν, νυ ex γυ corr. M ἔχει E λαβεῖν E *δὲ] δὲ τὴν AM τὴν] τοῦ E 2 μεμισῆσθαι ὑπ' ἐκείνου tr. M *τοιαῦτα] τοιαῦτα μὲν M 3 *τυπτούσης — στέρνα] δραττομένης τῶν στέρνων PW 4 *εἶχέν A¹ *πειθανὸν, ει ex ι corr. P *τῶν τρόπων Zon *morum* Lat 5 *γιγνομένοις AM 7 *οὐ] ὁ W δ'] δὲ W μὲν οὖν A μὲν M 8 λόγων] ἄλλων P ἅμιλλα P 10 καὶ (ante τὸν) om. E 13 *κεκινῆσθαι ἐδόκει tr. AM 15 εἰδυῖα W ἄλλοτε AM ἔχθραν W 17 ἤγαγεν] ἦρε E 18 ὀβάδας AME *oriadas* (h. e. *obadas*) Lat 19 σύλλαιος, alterum λ suppl. M συλλαῖος E *διωίκει ex διοίκει corr. A πολλὰ] πράγματα E 20 ὑπὸ χρείας οὖν] οὗτος ὑπὸ χρείας AMLat ὑπὸ χρείας δέ E 21 *εἰσ ὦ M *ἴδεν W 22 δὲ E τυγχάνει E 24 ταῖς — 38, 1 ὁμολογίας] *et cum rursus ad coenam convenissent monstrabantur plurima nec mediocria signa cupidinis eorum* Lat τε] τε γυναιξὶ Naber 25 φοιτώντων] φοιτῶσιν, σ ex ν, ιν i. ras. maiore m. 2 M ἐνεφαίνετο] ἐφαίνετο A ἐφαίνε, ε finale i. ras. 3 litt. m. 2 M μὴ s. P μέτρια] μέτρια τεκμήρια Naber

223 τρια τῆς ἐκείνων πρὸς ἀλλήλους ὁμολογίας. ταῦτα δὲ αἱ γυναῖκες
ἤνεγκον τῷ βασιλεῖ διαγελῶσαι τὴν ἀσχημοσύνην. Ἡρώδης δὲ καὶ
παρὰ τοῦ Φερώρα προσεπυνθάνετο καὶ τιμᾶν ἠξίου παρὰ τὸ δεῖ-
νον, πῶς τὰ πρὸς ἀλλήλους ἐσχήκασιν. ἐκεῖνος δὲ ἀπήγγελλεν,
ὅτι καὶ νεύμασιν καὶ βλέμμασιν οὐκ ἄδηλοι τῆς ὁρμῆς εἶσιν ἀμφό- 5
224 τεροι. μετὰ τοῦτο ὁ μὲν Ἄραψ ὕποπτος ὢν ἀπῆει· διαλιπὼν δὲ
δύο μῆνας ἦλθε πάλιν ὡς ἐπ' αὐτῷ τούτῳ καὶ λόγους
Ἡρώδῃ προσέφερεν, ἀξιῶν αὐτῷ τὴν Σαλώμην δοθῆναι πρὸς γάμον·
ἔσεσθαι γὰρ οὐκ ἀλυσιτελὲς τὸ κῆδος ἐπιμιξίᾳ τῆς τῶν Ἀράβων
ἀρχῆς, ἣν αὐτῷ καὶ νῦν ἥδη παρεῖναι δυνάμει καὶ μᾶλλον ὀφείλεσθαι. 10
225 τοῦ δὲ Ἡρώδου τὸν λόγον ἀναφέροντος καὶ πυνθανομένου τῆς ἀδελ-
φῆς, εἰ πρὸς τὸν γάμον ἑτοίμως ἔχει, ταχέως μὲν ἐκείνη προσήκατο.
Σύλλαιος δὲ ἀξιούντων αὐτὸν ἐγγραφῆναι τοῖς τῶν Ἰουδαίων ἔθεσι
καὶ τότε γαμεῖν. ἄλλως γὰρ οὐκ εἶναι δύναιτ', οὐχ ὁμοιόνας, ἀλλὰ
καὶ καταλευσθήσεσθαι πρὸς τῶν Ἀράβων εἰτών, εἰ τοῦτο μὴ ἄρᾶξειεν. 15
226 ἀπαλλάττεται. Σαλώμην οὖν ὅ τε Φερώρας ἤδη διέβαλλεν εἰς ἀκρα-
σίαν καὶ μᾶλλον αἱ γυναῖκες, λέγουσαι κοινωνίαν αὐτῇ γενέσθαι
227 πρὸς τὸν Ἄραβα. τήν τε κόρην, ἣν τἀδελφῷ κατενεγύησεν ὁ βασι-
λεύς, ἣν ὁ μὲν Φερώρας οὐκ ἔλαβεν, ὡς προεῖπον, ἠτιμένος τῆς
γυναικός, αὐτοίσης Σαλώμης εἰς τὸν υἱὸν τὸν ἐκ Κοσοβάρου γενό- 20
228 μενον ὥρμητο μὲν ἐκείνῳ συνοικίσαι, μεταπείθεται δὲ ὑπὸ τοῦ
Φερώρα τόν τε νεανίσκον οὐκ εὔνουν ἔσεσθαι λέγοντος διὰ τὴν
ἀπώλειαν τοῦ πατρὸς καὶ δικαιότερον εἶναι λαβεῖν τὸν αὐτοῦ παῖδα
τῆς τετραρχίας ὄντα διάδοχον. οὕτω δὲ συγγνώμην ᾔτειτο καὶ μὴ
πείσας οὕτως. ἐκείνη μὲν οὖν ἀντιμετατεθείσης τῆς ἐγγύης ἐγαμεῖτο 25
τῷ Φερώρα μειρακίῳ φερνὴν ἐπιδόντος ἑκατὸν τάλαντα τοῦ βασιλέως.
229 VIII. 1. Οὐκ ἀνεῖτο δὲ τὰ κατὰ τὴν οἰκίαν ἀεὶ καὶ μείζους

§ 226 = bell. Iud. I 487.

PAMWELat

1 *πρὸς ἀλλήλους* om. W δὲ om. E 6 *μετὰ*] *δια* E **διαλειπὼν* P 7 *αὐτῷ τούτῳ*] E *αὐτὸ τοῦτο* codd. 8 *δοθῆναι αὐτῷ τὴν σαλώμην* tr. E *δοθῆναι τὴν σαλώμην* tr. AM 9 *ἀλυσίτελεσ* M 12 *τὸν* om. WE **ἔχῃ* W *σύλλαιοσ, σ* finale i. ras. M *συλαῖοσ* E 13 **ἔθεσιν* W 14 **τότε*] *τόγε* A **τότε γαμεῖν*] *circumcidi* Lat *οὐχ ὑπέμεινεν* E 15 *καταλευσθῆναι* E 16 *διέβαλεν* E 18 **τε*] *δὲ* W *κατενεγγύησεν* MW *κατηγγύησεν* E 19 **ἠττώμενοσ* (ω ex o corr. A) AM 20 **τὸν ἐκ*] *ἐκ* PW **κοσταβάρου* PW *custobaro* Lat 21 **συνοικῆσαι* AMW *δ'* E 22 *τε* om. PWE 23 *αὐτοῦ*] *ἀπ' αὐτοῦ* AME 24 *οὕτω* — 25 *οὕτως* om. ELat *συγνώμην* P *μὴ πείσας*] *μετέπεσεν* AM *μετέπεισεν* ed. pr. 25 *οὕτως* cod. Vossianus et Cocceji *ἐκείνησ* PE **ἀντιμεταθείσησ* PW 26 *τῷ*] om. P *τῶ τοῦ* E *φέρνην* PA[1] 27 **μεῖζον* PW

τὰς ἐπαρχὰς λαμβάνοντα, καὶ συμπίπτει τι τοιοῦτον ἐξ αἰτίας μὲν
οὐκ εὐπρεποῦς, χωρήσαν δὲ πρόσω καὶ δυσχέρειαν· ἦσαν εἰνοῦχοι 230
τῷ βασιλεῖ διὰ κάλλος οὐ μετρίως ἐσπουδασμένοι. τούτων ὁ μὲν
οἰνοχοεῖν, ὁ δὲ δεῖπνον προσφέρειν, ὁ δὲ κατακοιμίζειν βασιλέα
πεπίστευτο καὶ τὰ μέγιστα τῶν ἐν ταῖς ἀρχαῖς. καί τις ἀγγέλλει 231
τῷ βασιλεῖ διαβαθρηναι τούτους ὑπὸ Ἀλεξάνδρου τοῦ παιδὸς ἐπὶ
πολλοῖς χρήμασιν. ἀνακρίνανται δὲ περὶ μὲν τῆς γεγενημένης πρὸς
αὐτὸν κοινωνίας καὶ μίξεως ὁμολόγουν, ἄλλο δὲ οὐδὲν δυσχερὲς εἰς
τὸν πατέρα συνειδέναι. βασανιζόμενοι δὲ μᾶλλον κἀν ταῖς ἀνάγ- 232
καις ὄντες ἐπιτεινόντων ἀεὶ τῶν ὑπηρετῶν καὶ χαριζομένων τῷ
Ἀντιπάτρῳ τὸ τοιοῦτον, ἔλεγον ὡς εἴη δυσμένεια πρὸς τὸν πατέρα
καὶ μῖσος ἔμφυτον Ἀλεξάνδρῳ. λαραινοίη δ' αὐτοῖς Ἡρώδην μὲν 233
ἀπεγνωκέναι περιττὸν ἤδη τετιχηκότα καὶ τῷ γήρᾳ παρακάλυμμα
τοῦ χρόνου ποιούμενον, μελαίνοντα τὰς τρίχας καὶ κλέπτοντα τὸν
ἔλεγχον τῆς ἡλικίας· εἰ δ' αὐτῷ προσέχοιεν τὸν νοῦν, περιγενομένης
τῆς βασιλείας, ἣν καὶ μὴ βουλομένου τοῦ πατρὸς οὐκ ἄλλου τινὸς
εἶναι, ταχὺ τὸν πρῶτον ἕξειν ἐν αὐτῇ τόπον· οὐ γὰρ μόνον διὰ 234
τὸ γένος, ἀλλ' ἤδη καὶ ταῖς παρασκευαῖς ἕτοιμον αὐτῷ τὸ κρατεῖν
εἶναι· πολλοὶ μὲν γὰρ τῶν ἡγεμόνων, πολλοὶ δὲ τῶν φίλων συνε-
στᾶσιν οὐχὶ πονηροὶ πᾶν ὅτιοῦν καὶ δρᾶν καὶ πάσχειν.

2. Τούτων τῶν λόγων ἀκούσας Ἡρώδης ὅλος ἐγένετο τῆς 235
ἐπιμελείας καὶ τοῦ δέους, τὰ μὲν εἰς ὕβριν ῥηθέντα χαλεπῶς, τὰ δ'
εἰς ἐπίνοιαν οὐκ ἀκινδύνως ἐκλαβών, ὥστε καὶ μᾶλλον ἐξ ἀμφο-
τέρων ἠρεθίζετο καὶ πικρὸς ὢν ἐδεδοίκει, μὴ καί τι ταῖς ἀληθείαις
συνέστηκεν ἐπ' αὐτὸν ἰσχυρότερον ἢ φυλάξασθαι πρὸς ἐκεῖνον τὸν
καιρόν. ἔνθεν οὐδ' ἐκ φανεροῦ τὴν ἔρευναν ἐποιεῖτο, κατασκόπους 236
δὲ τῶν ὑπονοουμένων διέπεμψεν. ὑποψία τε καὶ μίσει πρὸς ἅπαν-

§ 230 = bell. Iud. I 488.

PAMWELatZonaras I p. 444.

1 *τι om. PW 2 εὐπραγοῦσ, i. marg. εὐπρεποῦσ M δὲ] δ' ὅμως M *δυσχέρειαν* P 4 *τὸν βασιλέα* E 5 *ἀναγγέλλει* A *ἀναγγεῖλαι* M *ἀγγέλει* E 6 **τούτους*] *τοῦτον* AMLat, i. marg. *τούτους* AM *ἐπὶ] ὑπὸ P 7 **ἀνακρίνονται* AMW **μὲν* om. W 8 **μείξεως* P 9 **κἀν*] *καὶ* PW 12 δὲ E 13 *τετυκιότα*, ι ex η corr. P *τῷ* — 14 *ποιούμενον*] *cooperientem senectutis suae tempora* Lat 14 *τοῦ χρόνου* non intellego *μελαίνοντα* — 15 *ἔλεγχον*, *μελαί* i. ras., *νοντα τὰσ* — *ἔλεγχον* i. ras. m. 2 angustius scripta A 15 **εἰ*] *ἢν* P *ἤν* W δὲ E *περιγενομένης*] E *περιγενομένων* P *περιγενόμενον* AM *περιγενομένω* W 18 *τὸ* om. E *ἀλλ' ἤδη*] *ἀλλὰ δὴ* E 20 *οὐχὶ*] i. marg. A *οὐχ οἱ* codd. **οὐχὶ — πάσχειν*] *qui cuncta pro se pati uel facere essent parati* Lat 24 *μὴ καί τι*] Dindorf *μηκέτι* codd. 25 *συνέστηκεν*] Dindorf *συνεστηκέναι* codd. *ἰσχυρότερον* P 26 *οὐδὲ* E 27 *διέπεμπεν* E

τας ἦν, καὶ τὴν ἐπόνοιαν ἐπ' ἀσφαλείᾳ λαμβάνων πολλὴν καὶ κατὰ
237 τῶν οἰκ ἀξίων αὐτῇ χρώμενος διετέλει. πέρας τε οὐδὲν ἦν, ἀλλὰ
μένειν οἱ νομιζόμενοι μᾶλλον ὡς ἂν καὶ μᾶλλον ἰσχύοντες ἐδόκουν
αὐτῷ φοβεροί· τοῖς δ' οἷς οὐκ ἦν συνήθεια πλείων ὀνομάσαι μό-
238 νον ἐδόκει, καὶ μέρος εἰδὼς ἀσφαλείας ἐδόκουν ἀπολλύμενοι. τέ- 5
λος τε οἱ περὶ αὐτὸν ἐν τῷ μηδὲν ἔχειν βέβαιον εἰς ἐλπίδα σωτη-
ρίας ἐπ' ἀλλήλους ἐτράπησαν, νομίζοντες μέν, εἰ φθάσας ἕτερος
τὸν ἕτερον διαβάλοι, τοῦτ' αὐτῷ πρὸς σωτηρίαν φέρειν, ἐπίφθονοι
δ' εἴ ποτε τύχοιεν ὢν ἠξίουν γενόμενοι καὶ τὸ δικαίως αὐτοὶ πα-
239 θεῖν ἐφ' οἷς ἄλλους ἠδίκησαν προσλαμβάνοντες μόνον. ἤδη γοῦν 10
οἰκείας τινὲς ἔχθρας ἐπεξῆσαν τῷ τοιούτῳ τρόπῳ καὶ καταφρα-
θέντες ἐν τοῖς ὁμοίοις ἐγένοντο. τὸν καιρὸν ὥσπερ ὄργανον καὶ
πάγην ἐπὶ τοὺς ἐχθροὺς νοοῦντες καὶ συναλισκόμενοι τῇ πείρᾳ,
240 καθ' ἣν ἑτέροις ἐπεβούλευον. ἥ τε γὰρ μετάνοια τῷ βασιλεῖ ταχὺ
διὰ τὸ μὴ προφανῶς ἁμαρτάνοντας ἀναιρεῖν ἐτεγίνετο καὶ ταύτης 15
τὸ χαλεπὸν οὐκ εἰς τὸ παύσασθαι τὰ ὅμοια δρᾶν, ἀλλ' εἰς τὸ τιμω-
ρήσασθαι τοῖς ἴσοις τοὺς ἐνδειξαμένους ἀπηρτίζετο.
241 3. Τοιαύτη μὲν ἦν τῶν περὶ τὴν ἀλλὴν ταραχή. πολλοῖς δὲ
τῶν φίλων ἤδη καὶ τοῦτ' αὐτὸ προεῖπεν, ὡς οὔτ' ἐμφανίζεσθαι
δέον αὐτῷ λοιπὸν οὔτ' εἰς τὸ βασίλειον εἰσιέναι. ταύτην δὲ τὴν 20
παραγγελίαν ἐποιεῖτο καθ' ὧν ἡ παρρησία ἐλάττονος ἢ πλείονος
242 ἐντροπῆς μετειλήφει· καὶ γὰρ Ἀνδρόμαχον καὶ Γέμελλον ἄνδρας
ἄνωθεν φίλους αὐτῷ, καὶ πολλὰ μὲν περὶ τὰς βασιλικὰς χρείας

§ 237 = bell. Iud. I 493.

PAMWELat Zonaras I. p. 445.

1 *ἀσφαλία P πολλῆ E καὶ om. E 2 πέρας — 5 ἀπολλύμενοι] *sed magis ac magis uidebantur ei terribiles et ualidi quos non frequenter nominabat propter insolitam conuersationem et si forte uocasset statim de interitu suo securi non erant* Lat οἱ] οὐ AM 4 τοῖς] τοὺς Dindorf δὲ AM πλείω PW 5 ἐδόκει] ἔδει Dindorf ἀσφαλίας P 7 *ἐπ' ἄλλους Ernesti *ἐτράποντο AM μέν] δὲ PW, om. E 8 *διαβάλλοι AM τοῦτο E 9 δ' εἰ] ed. pr. δὴ PW δὲ εἰ' AME *γινόμενοι Bekker *τὸ] τῷ W *αὐτοὶ] ἂν αὐτοὶ coni. 10 ἄλλους] E et ut uid. Lat ἀλλήλους codd. *προλαμβάνοντες ed. pr. γοῦν] οὖν W 11 τινὰς PW 12 ἐγίνοντο AM τὸν] καὶ τὸν AM 14 ταχεῖα fort. melius 15 ἁμαρτάντα P 18 *ἦν] ἡ coni. ταραχή] ἡ ταραχή AME *πολλοῖς — 22 μετειλήφει] *multis amicis rex palatium interdixit, quam interdictionem maxime eis constituit, qui fiduciam potiorem habebant* Lat πολλοῖς] ELat πολλοὶ codd. 19 τοῦτο ME et ex corr. A προεῖπεν] ELat προεῖπον (o (in ον) i. ras. A) codd. οὔτ'] Dindorf οὐδ' codd. E 20 *λοιπὸν] τὸ λοιπὸν AM οὔτ'] Dindorf οὐδ' codd. οὐδὲ E τὰ βασίλεια E 21 *καθ' ὧν ἡ παρρησία] καθ' ὃ ἡ παρρησίαν PW 22 γεμαλλον P γέμελον E

ἔν τι πρεσβείαις καὶ συμβουλίαις ὀνήσαντας αὐτοῦ τὸν οἶκον, συμπαιδεύσαντας δὲ τοῖς υἱοῖς καὶ τί γὰρ ἦν πρῶτον παρρησίας τὸ τὸν ἐσχηκότας παρρησιάσατο τότε, τὸν μὲν, ὅτι Δημήτριος ὁ παῖς αὐτοῦ 243
συνῆθης ἦν Ἀλεξάνδρῳ, Γέμελλον δὲ εὖνουν ἐπιστάμενος ἐκείνῳ· καὶ γὰρ ἐν ταῖς τροφαῖς κἀν τῇ παιδείᾳ παραγεγόνει καὶ τὴν ἐν τῇ Ῥώμῃ διατριβὴν ἀποδημίαν. παρρησιάσατο δὲ καὶ τούτοις ἡδέως μὲν ἂν καὶ χεῖρον, ὑπὸ δὲ τοῦ μὴ κατ' ἀνδρῶν οὐκ ἀσήμων ἔχειν τὴν ἄχρι τοσούτων παρρησίαν τήν τε τιμὴν καὶ τὸ δύνασθαι κωλύειν ἁμαρτάνοντας παραιρούμενος *

4. Ἦν δὲ τούτων ἁπάντων αἴτιος Ἀντίπατρος, ὃς ἐπειδὴ τὸ 244
γενναιοτάτης τῆς τοῦ πατρὸς παρρησίας κατήμαθεν, ἐπαίδευε μὲν συνεδρίοις αὐτὸ προσέκειτο καὶ μᾶλλον ἐδόκει τι πεφυκέναι, τῶν ἀντέχειν δυναμένων ἕκαστος εἰ ἐπιξαιρεθείη. τότε γοῦν τῶν περὶ τὸν 245
Ἀνδρόμαχον ἀπολωθέντων λόγοι καὶ παρρησίας πρῶτον μὲν ὁ βασιλεὺς ὅσους ᾤετο πιστοὺς Ἀλεξάνδρῳ βασάνοις ἀνέκρινεν, εἴ τι κατ' αὐτοῦ τολμηθὲν εἰδείησαν· οἱ δὲ ἀπέθνησκον οὐδὲν ἔχοντες λέγειν. τῷ δ' ἦν φιλονεικίας αἴτιον, εἰ μή τι τοιοῦτον οἷον ἐδόκει 246
κακῶς εὑρίσκοιτο, καὶ δεινὸς Ἀντίπατρος τὸν μὲν ἐκ' αὐτῆς τῆς ἀληθείας ἀναίτιον εἰς ἐγκράτειαν καὶ πίστιν διαβαλεῖν, ἐπαιρομένου δὲ ζητεῖν ἐκ πλειόνων τὸ λανθάνον τῆς ἐπιχειρήσεως. καί τις ἐν 247
πολλοῖς τοῖς βασανιζομένοις εἶπεν, ὡς εἰδείη τὸν νεανίσκον λέγοντα πολλάκις, ὅταν ἐπαινούμενος αὐτὸς τύχῃ τό τε σῶμα ὡς εἴη μέγας καὶ τὴν τοξικὴν εὔστοχος καὶ τἆλλα τὰ πρὸς ἀρετὴν ὑπὲρ ἅπαντας, ὅτι ταῦτ' αὐτῷ κακὰ μᾶλλον ἢ ἀγαθὰ παρὰ τῆς φύσεώς ἐστιν·

---

§ 244 = bell. Iud. I 495.

PAMWELatZonaras I p. 445.

1 *πρεσβεία* AM 2 *δὲ*] *δὲ καὶ* AMW 3 **παρρησιάσατο*] *παρρησία* P 4 *γέμελον* E 5 *κἀν*] *καὶ* PW *παιδίᾳ* PW 6 *παρρησιάσατο* fort. corruptum *παρρησιάσατο* — 9 *παραιρούμενος*] *quos honeste quidem expulit, ne indecens aliquid contra uiros nobilissimos construere uideretur, sed caute agens fiduciam eorum cum honore amputauit, ne per potentiam aliquid in eum committerent* Lat 7 *χεῖρον*] *τούτου* PW 8 *κωλύειν*] *λύειν* P 9 *ἁμαρτάνοντα* P 10 *ὃς* om. P 11 *παρρησίας*] *προπετείας* uel *διαθέσεως* Bekker *μὲν* om. AM 12 *περαίνειν*] *suadere* Lat 13 *εἰ* u. 12 ante *τῶν* tr. AM 14 **ἀπελασθέντων* PW 17 **τῷ*] *τὸ* W *δὲ* E **εἰ μή* — 18 *εὑρίσκοιτο*] *quia tales quales existimabat non inueniebat* Lat *ἐδόκει*] *ἐνόει* AM *ἐνενόει* E 18 **κακῶς* corruptum aut spurium *εὑρίσκετο* E *εὑρίσκοι* coni. *τὸν μὲν*] *ὧν τὸ μὲν* (i. ras. angustiore m. 2 A) AM 19 *ἀναίτιος* P *διαβάλλειν* AM 21 **τῶν βασανιζομένων* AM *εἰδήει* P *οἶδε* E 22 *τύχῃ*] E *τύχοι* codd. *τὰ* om. AME *πάντας* E 23 *τὰ* om. AME 24 *ταῦτ'*] *ταῦτα* AM *τ'* W, om. E **ταῦτ' — ἐστιν*] *haec sibi — potius bona naturae officere* Lat *κακὰ*] *καλὰ* AMW *τὰ καλὰ λυπηρὰ* E **ἢπερ*] i. marg. *γρ καθὼς* AM

248 ἄχθεσθαι γὰρ ἐπ' αὐτοῖς τὸν πατέρα καὶ φθονεῖν. αὐτός τε ὅταν μὲν ἅμα περιπατῶν συστέλλειν αὐτὸν καὶ καθαιρεῖν ὡς μὴ μείζων ὁρᾶσθαι, τοξεύων δὲ ἐν τοῖς κυνηγεσίοις ἐκείνου παρόντος ἀπὸ σκοποῦ βάλλειν· τὴν γὰρ φιλοτιμίαν εἰδέναι τοῦ γεγεννηκότος τού-
249 των εὐδοκιμούντων. βασανιζομένῳ τῷ τε λόγῳ καὶ προσγινομένης ἀνέσεως τῷ σώματι προσετίθει δ' ὅτι καὶ συνεργὸν ἔχων τὸν ἀδελφὸν Ἀριστόβουλον ἐν κυνηγεσίῳ λοχήσας * φεύγειν εἰς Ῥώμην,
250 ἐπειδὰν τοῦτ' αὐτῷ πραχθῇ, τὴν βασιλείαν αἰτησόμενος. εὑρέθη δὲ καὶ γράμματα τοῦ νεανίσκου πρὸς τὸν ἀδελφόν, ἐν οἷς ἐμέμφετο τὸν πατέρα μὴ δίκαια ποιεῖν, Ἀντιπάτρῳ χώραν ἀπονέμοντα
251 πρόσοδον διακοσίων ταλάντων φέρουσαν. ἐπὶ τούτοις εὐθὺς μὲν ἔδοξέν τι λυσιτὸν ἔχειν Ἡρῴδης, ὡς ἔφετο, κατὰ τῆς τῶν παίδων ἐπιφυΐας καὶ συλλαβὼν ἔδησεν τὸν Ἀλέξανδρον. αὖθις δὲ οὐκ ἀνίει χαλεπὸς ὤν, τὰ μὲν οὐδ' οἷς ἤκουσεν ἄγαν πεπιστευκώς· ἀναλογιζομένῳ γὰρ ἄξιον μὲν ἐπιβουλῆς ἐξ αὐτῶν οὐδὲν ἐφαίνετο, μέμψεις
252 δὲ καὶ νεανικὰ φιλοτιμίαι. καὶ τὸ κτείνατα φανερῶς εἰς τὴν Ῥώμην ὁρμᾶν ἀπίθανον. ἦξίου δὲ καὶ μεῖζόν τι λαβεῖν τῆς περὶ τὸν υἱὸν παρανομίας τεκμήριον καὶ φιλόνεικος ἦν μὴ δόξαι προτετῶς τὰ δεσμὰ κατεγνωκέναι. τῶν τε φίλων τῶν Ἀλεξάνδρου βασανίζων
253 τοὺς ἐν τέλει διέφθειρεν αὐτῶν οὐκ ὀλίγους οὐδὲν εἰπόντας ὧν ἐκεῖνος ᾤετο. πολλῆς δὲ τῆς εἰς τὸ τοιοῦτον ἑτοιμότητος οὔσης

§ 251 = bell. Iud. I 496.

PAMWELatZonaras I p. 445.

1 *τε] δὲ AM ὅταν — 2 περιπατῶν] *ambulando cum eo* Lat ὅταν] ὅτε Dindorf 2 ἅμα om. PWE περιπατῶν A[1]E περιπατοίη M et ex corr. A αὐτὸν codd. E *μὴ om. W *μείζων PW 3 δ' E *ἄπο M et ex corr. A 4 *φιλοτιμίαν] *γρ τὴν κενοδοξίαν* (γρ om. A) i. marg. AM *τούτων εὐδοκιμούντων] *quam de gloria sua haberet* Lat *τούτων] κατὰ τῶν Cocceji 5 βασανιζομένῳ — λόγῳ] *cumque uerbum scrutaretur* Lat βασανιζομένου οὖν τοῦ λόγου Cocceji βασανιζομένῳ — 6 σώματι om. E τῷ τε] τῷ AM 6 *προσετίθει — 8 αἰτησόμενος] *addebat quod fratrem aristobolum conscium haberet, ut in uenatione patrem perimentes ad romam confugerent regnumque peterent* Lat; bell. Iud. I 496 haec habet: ἔλεγον ὡς ἐπιβουλεύοι τε αὐτῷ μετὰ Ἀριστοβούλου τἀδελφοῦ καὶ παραφυλάττοι κυνηγοῦντα κτείνας εἰς Ῥώμην ἀποδρᾶναι δ' ὅτι] διότι AM ὅτι WLat δὲ ὅτι E 7 Ἀριστόβουλον — φεύγειν] ἀριστόβουλον βουλεύσαντο ἐν κυνηγεσίῳ λοχήσας ἀνελεῖν τὸν πατέρα καὶ φεύγειν E 8 τοῦτο E 10 *ποιεῖν] ποιήσειν PW *facisse* Lat ποιῆσαι coni. ἀπονέμοντι E 12 *ὡς] ἢ AM *τῆς κατὰ tr. cod. Voss. teste Hauerkamp 13 *οὐκ om. Lat *ἀνίει ex ἀνήει corr. A ἀνίη PW 14 ἄγ· αν A 15 ἐφαίνετο οὐδὲν tr. E *μέμψις PW 16 *νεανικαὶ] νεανία καὶ P *τὸ] τὸν PW *κτείναντα] κτείνοντα AM *interficientes cum* Lat εἰς] *τὸν πατέρα εἰσ E 17 *ἀπειθανον P 19 *τε] δὲ PW *autem* Lat 20 οὐδὲν] μηδὲν E 21 *ἑτοιμότητος Naber, sed cf. § 255, uita 118

καὶ φόβου καὶ ταραχῆς περὶ τὸ βασίλειον, εἴς τις τῶν νεωτέρων
ὡς ἐν ταῖς ἀνάγκαις ἐγένετο, διαπέμπειν ἔφη τοῖς ἐν Ῥώμῃ φίλοις
τὸν Ἀλέξανδρον ἀξιοῦντα κληθῆναι θᾶττον ὑπὸ Καίσαρος· ἔχειν
γὰρ αὐτὸ πρᾶξιν ἐπ' αὐτὸν συνισταμένην μηνῦσαι Μιθριδάτην τὸν
βασιλέα Παρθων τοῦ πατρὸς ἥρημένη καὶ Ῥωμαίων φίλον· εἶναι
δ' αὐτῷ καὶ φάρμακον ἐν Ἀσκάλωνι παρεσκευασμένον.

5. Τούτοις ἐπίστευσεν Ἡρῴδης καί τινα παραμυθίαν τῆς 254
προπετείας εἴληφεν ἐν τοῖς κακοῖς ὑπὸ τῶν χειρόνων κολακευόμε-
νος. καὶ τὸ μὲν φάρμακον εὐθὺς ἐσκοπεῖτο ζητεῖν οὐχ εὑρέθη.
τὴν δ' ὑπερβολὴν τῶν κακῶν Ἀλέξανδρος ἐκ φιλονεικίας ἐπαρρῶσα 255
θέλων εἰς μὲν ἄρνησιν οὐκ ἐτράπετο, μετῆλθε δὲ τὴν προπέτειαν
τοῦ πατρὸς ἁμαρτίᾳ μείζονι. τάχα δὲ καὶ διὰ τοῦτο βουλόμενος
δυσωπῆσαι τὸ πρὸς τὰς διαβολὰς ἕτοιμον, οὐχ ἵκνεῖτο δὲ εἰ καὶ
ἔτυχεν ἀπολυθεὶς κακοῦν αὐτόν τε καὶ πᾶσαν τὴν βασιλείαν προ-
ῃρημένος. γράμματα γὰρ γράψας ἐν βιβλίοις τέσσαρσιν ἀπέστειλεν, 256
ὡς οὐδὲν δεῖ βασανίζειν οὐδὲ περαιτέρω χωρεῖν· γενέσθαι γὰρ τὴν
ἐπιβουλὴν καὶ ταύτης συλλαμβάνειν τόν τε Φερώραν καὶ τοὺς πι-
στοτάτους αὐτῷ τῶν φίλων. Σαλώμην δὲ καὶ νύκτωρ ἐπεισελθοῦσαν
ἄκοντι μηνῦναι· καὶ πάντας ἐπὶ ταὐτὸν ἥκειν τοὺς θᾶττον ἐκείνων 257
ἐκπλοῦν ποιησαμένους ἄδειαν τῆς ἀεὶ προσδοκίας ἔχειν. ἐν τοι-
τοις καὶ Πτολεμαῖος διεβέβλητο καὶ Σαπίννιος οἱ πιστότατοι τῷ
βασιλεῖ. καὶ τί γὰρ ἦ καθάπερ λύττης τινὸς ἐμπεσούσης κατ' 258
ἀλλήλων οἱ πάλαι φίλτατοι τεθηρίωντο, μήτ' ἀπολογίας μήτ'
ἐλέγχου τόπον ἕως ἀληθείας ἐχόντων, ἀλλ' ἀεὶ γινομένης ἀκρίτου
τινὸς εἰς ἅπαντας ἀπωλείας, καὶ τῶν μὲν δεσμά, τῶν δὲ θανάτους.

§ 255 = bell. Iud. I 498.

PAMWELat Zonaras I p. 446.

4 *αὐτῷ] αὐτὸν M *αὐτὸν] αὐτῶ M, fort. recte 6 δὲ AMWE
κατεσκευασμένον (εσ ex ασ corr. A) AME 9 *οὐκ ευρέθη P 10 δὲ AME
ἐκ] εἰσ E 11 *μετεῖη PW 12 δὲ om. E *δια τοῦτο AM 13 δυ-
σωπῆσαι βουλόμενόσ tr. AMWE *τὰς] τὸ P *ἕτοιμον PA *οὐχ' ἵκνεῖτο
P 14 τε om. PWE 15 βίβλοισ PWE *τέτταρσιν W 16 *οὐδὲν] οὐ-
δένα Lat uertit 17 *ταύτῃ AM *πιστωτάτουσ P 19 ἄκοντι μηνῦναι]
αὐτῷ μηνῦναι ἄκοντι E *καὶ πάντας — 20 ἔχειν] cunctosque simul illic contra
eum iure uenturos quatenus eum occidentes perficerent quod semper habere in
expectatione meditassent Lat τοὺς] τοῦ E τὸ Dindorf *ἐκπλοῦν ἐκεῖνον
tr. AM 20 *ποιησομένουσ A *ἄδειαν] ἴδίαν P εὐδίαν coni. *προσδοκίασ,
σ finale ex ν corr. A σχεῖν E 21 σαπήνιοσ A σαπίνιοσ M γαπίνιοσ E sabi-
nus Lat 22 ἦ] εἰ PW¹E¹ *κατ'] ὑπ' M 23 τεθηρίωνται E 24 ἕως] ὡσ
AM γινομένασ ἀκρίτονσ (σ expunctum) τινὰσ A 25 θάνατοσ W

τῶν δὲ τὸ ταῦτα μέλλειν ἐπ' αὐτοῖς ὀδυρομένων, ἡσυχία τε καὶ
259 κατήφεια τὸ βασίλειον ἀπεκόσμει τῆς πρώτης εὐδαιμονίας. καὶ
καλεπὸς ἦν Ἡρῴδῃ πᾶς ὁ βίος ἐκτεταραγμένῳ καὶ τὸ μηδενὶ πι-
στεύειν μέγα τῆς προσδοκίας κολαστήριον ἔχοντι· πολλάκις γοῦν
ὡς ἐτανιστάμενον αὐτῷ τὸν υἱὸν ἢ καὶ ξιφήρη παρεστῶτα διὰ
260 φαντασίας ἐλάμβανεν. οὕτως ἡ ψυχὴ καὶ νύκτα καὶ ἡμέραν πρὸς
τούτῳ γινομένη πάθος ἀνεμάξατο μανίας οὐχ ἧττον δὲ καὶ ἀνοίας.
καὶ τὰ περὶ ἐκεῖνον εἶχεν οὕτως.
261 6. Ἀρχέλαος δὲ ὁ τῶν Καππαδόκων βασιλεύς, ὡς ἐπύθετο
τὰ κατὰ τὸν Ἡρῴδην, ἀγωνιῶν τε ὑπὲρ τῆς θυγατρὸς καὶ τοῦ νε-
νίσκου καὶ συναλγῶν ἀνδρὶ φίλῳ τῆς ἐπὶ τοσόνδε ταραχῆς, ἦκεν
262 οὐκ ἐν παρέργῳ θέμενος τὰ πράγματα. καὶ καταλαβὼν οὕτως
ἔχοντα τὸ μὲν ἐπιτιμᾶν ἢ φάναι γενέσθαι τι προπετὲς αὐτῷ τε-
λέως ἀνοίκειον εἰς τὸν καιρὸν ἡγήσατο· φιλονεικήσειν γὰρ κεκακω-
μένον καὶ μᾶλλον ἀπολογεῖσθαι σπεύδοντα πλείονος ὀργῆς ἀναπλη-
263 σθήσεσθαι· μετῆλθε δὲ τάξιν ἑτέραν τὴν ἐπανόρθωσιν τῶν ἡτυχη-
μένων. ὀργιζόμενος τῷ νεανίσκῳ κἀκεῖνον ἐπιεικῆ λέγων τῷ μηδὲν
ἐκ προπετείας ἐργάσασθαι, τόν τε γάμον διαλύσειν ἔφη πρὸς τὸν
Ἀλέξανδρον, καὶ μηδ' ἂν τῆς θυγατρὸς φείσασθαι, εἴ τι συνειδυῖα
264 τούτῳ οὐ κατεμήνυσεν. τοιούτου δ' ὄντος οὐ κατὰ προσδοκίαν ὧν
Ἡρῴδης ᾤετο, τὸ δὲ πλέον ὑπὲρ αὐτοῦ τὴν ὀργὴν ἐπιδεικνυμένου,
μετέπιπτεν ὁ βασιλεὺς τῆς χαλεπότητος καὶ λαβὼν ἐκ τοῦ δικαίου
δοκεῖν τὰ πεπραγμένα πεποιῆσθαι κατὰ μικρὸν εἰς τὸ τοῦ πατρὸς
265 ἀντιμεθίστατο πάθος. οἰκτρὸς δ' ἦν ἐν ἀμφοτέροις, ὅτε μὲν ἀπε-

§ 259 = bell. Iud. I 495, § 261 = bell. Iud. I 499.

PAMWELatZonaras I p. 446.

1 *τῶν δὲ — ὀδυρομένων*] *aliis uero insperate dolores infligeret* Lat *τὸ*] *τῶν* P *ὀδυρωμένων* P *ἡσυχεία* W *τε* om. W 2 *κατήφια* P *ἀπεκόσμει, ἀ* i. ras. A *ἀντεκόσμει* coni. 3 *τὸ* om. PW 5 **ἤ*] om. AM *ἤδη* coni. 7 *τοῦτο* PM et ex corr. A *γενομένη* AMW *μανίας*] *μανίασ* P *μανίασ καὶ ἀγνοίασ* AMW *furorem et insaniam* Lat *οὐχ* — 8 *οὕτως* om. Lat *δὲ* om. ed. pr. *καὶ ἀνοίας* om. AMW 8 *τὰ*] *τὰ μὲν* ed. pr. 9 i. marg. *ιβ'* E *XIII* Lat *καππαδοκῶν* AME *cappadociae* Lat **ὡς* om. PW 10 *ὑπέρ τε* tr. AME 13 **τελέως* om. W 14 *φιλονεικήσειν* M 15 *ἀπολογεῖσθαι*] *ἀπολογεῖσθαί τε* AM 16 **τὴν*] *εἰσ τὴν* AM 17 **κἀκεῖνον*] *κατ' ἐκεῖνον* P 19 *μηδ' ἄν*] *μηδὲ* E *φείσασθαι*] PELat *φείσασθαι δικαίωσ* AMW **συνειδυῖα, νῦ* i. ras. A 20 *τούτου* E *τοιούτου* — 21 *ἐπεδεικνυμένου*] *cum talem praeter expectationem herodes archelaum audisset et quia plus ipso furorem suum demonstrasset* Lat *δὲ* E *ὄντος*] *ὄντοσ ἀρχελάου* E *ὧν*] *ἦν* P *ὄν* W 21 *ὑπὲρ*] *ἐπ'* P 24 **μεθίστατο* AM **οἰκτρὸς*] *οἰκτοσ* PW *misericordia* Lat *δ'*] *τε* AM *δὲ* WE

λίοντό τινες τὰς τοῦ νεανίσκου διαβολὰς εἰς ὀργὴν ἐκταραττόμενος. ἐπειδὴ δὲ Ἀρχέλαος συγκατηγόρει, πρὸς δάκρυα καὶ λύπην οὐκ ἀπαθῆ μεθιστάμενος· ἐδεῖτο γοῦν ἐκείνου μήτε διαλύειν τὸν γάμον ὀργῆς τε ἔλαττον ἔχειν ἐφ' οἷς ὁ νεανίσκος ἠδίκησεν. Ἀρχέλαος 266
δὲ παραλαβὼν ἐπιεικέστερον εἶς τε τοὺς φίλους μετέφερεν τὰς διαβολάς, ἐκείνον εἶναι λέγων νέον ὄντα καὶ κακοηθείας ἀναίσθητον διαφθεῖραι, τόν τε ἀδελφὸν αὐτῷ μᾶλλον εἰς ὑποψίαν καθίστη· τοῦ γὰρ Ἡρώδου χαλεπῶς καὶ πρὸς τὸν Φερώραν ἐχόντος ὁ μὲν 267
ἀπορίᾳ τοῦ διαλλάξοντος Ἀρχέλαον ὁρῶν μάλιστα δυνάμενον αὐτὸς τυχὼν πρὸς ἐκεῖνον ἐτράπετο μελανείμων καὶ πάντα τὰ σημεῖα τῆς μετὰ μικρὸν ἀπωλείας ἔχων, Ἀρχέλαος δὲ οὔτε ὑπερεῖδεν τὴν 268
ἔντευξιν οὔτ' ἔφη δυνατὸς εἶναι ταχὺ μεταπείθειν οὕτως ἔχοντα τὸν βασιλέα· βέλτιον δὲ εἶναι αὐτῷ προσιέναι καὶ δεῖσθαι, τῶν πάντων αἴτιον αὐτὸν ὁμολογοῦντα· ὠφελήσειν γὰρ οὕτως τοῦ θυμοῦ τὸ περιττόν, αὐτὸς δὲ συλλήψεσθαι παρών. ταῦτα δὲ πει- 269
σθέντες αὐτοῦ συναμφότερον ἦν διαπεπραγμένον, αἵ τε διαβολαὶ παρὰ δόξαν ἀφῄρηντο τοῦ νεανίσκου καὶ Φερώραν Ἀρχέλαος διαλλάξας οὕτως εἰς Καππαδοκίαν ἀπῆρεν, κεχαρισμένος ὡς οὐκ ἄλλος ἐν τῇ τότε περιστάσει τῶν καιρῶν Ἡρώδῃ γενόμενος. ὅθεν καὶ
ὁ πατὴρ αὐτὸν ἐτίμησεν πολυτελεστάτοις κἀν τοῖς ἄλλοις μεγαλοπρεπὴς ἐν τοῖς μάλιστα φίλτατον ἡγησάμενος. ἐποιήσατο δὲ καὶ συν- 270
θήκας εἰς Ῥώμην ἐλθεῖν. ἐπειδὴ περὶ τούτων ἐγέγραπτο Καίσαρι, καὶ μέχρις Ἀντιοχείας ἐπὶ τὸ αὐτὸ παρῆλθον. ἐκεῖ καὶ τὸν ἡγεμόνα Συρίας Τίτιον ἐκ διαφορᾶς Ἀρχελάῳ κακῶς ἔχοντα διήλλαξεν Ἡρώδης καὶ πάλιν εἰς Ἰουδαίαν ὑποστρέφει.

IX. 1. *Γενομένῳ* δὲ ἐν τῇ Ῥώμῃ κἀκεῖθεν ἐπανήκοντι συνέστη 271

§ 266 = bell. Iud. I 502.

PAMWELat Zonaras I p. 447.

1 *μεταβολὰς P 2 *συνκατηγόρει PW 3 *ἐκείνου, ου ex η corr. M 4 ὀργῇ E ἠδίκησεν] coni. ἠδίκηκεν codd. E 5 τε om. E 6 ἐκεῖνον E *νέον ὄντα] νεονόητα P 7 τε] δὲ E 8 γὰρ] δὲ PE 9 διαλλάξαντος A¹E δικάζοντος M αὐτὸς τυχὼν om. E 18 τυχὼν] τυχὸν Cocceji ἐντυχὼν coni. *πρὸς ἐκεῖνον om. M *μελανειμῶν P 11 *δὲ] τὲ PW 12 *εὔτευξιν P 13 δ' AME *προσεῖναι PW τῶν om. E 14 *αὐτὸν PMW ὠφελήσειν] λωφ··ήσειν, λω i. ras. A λοφήσειν M ἀφελεῖν E *prodessent* Lat μαλάξαι Zon 15 δὲ] τε AME 16 συναμφότερον — διαπεπραγμένον] *quae inter se ambo constituerant* Lat συναμφότερον] σὺν ἀμφοτέροις AMW, i. marg. γρ τὸ συναμφότερον ἦν AM 20 κἀν τοῖς — μεγαλοπρεπῶς] *et omnibus magnifice* Lat τῶν τε φίλων ἑτίμησεν ἕκαστον κατ' ἀξίαν narrat B. I. § 6 μεγαλοπρεπὴς Cotelerius 21 ἐν τοῖς μάλιστα om. M 22 *ἐγέγραπτο Καίσαρι] *caesaris scripta susceperat* Lat 24 Τίτιον] τίτον PW διήλλαξεν] διήλεγξεν P 25 καὶ — ὑποστρέφει om. Lat ὑποστρέφειν PW

πόλεμος πρὸς τοὺς Ἄραβας ἐξ αἰτίας τοιαύτης· οἱ κατοικοῦντες
τὸν Τράχωνα Καίσαρος ἀφελομένου Ζηνόδωρον καὶ προσθέντος
Ἡρώδῃ τὴν χώραν λῃστεύειν μὲν οὐκ εἶχον ἐξουσίαν ἔτι, γεωργεῖν
272 δὲ καὶ ζῆν ἡμέρως ἠναγκάζοντο. τόδ' ἦν ἐκείνοις οὐχ αἱρετὸν οὐδὲ
ἀνσιτέλειαν ἔφερεν ἡ γῆ πονούντων. ὅμως δὲ κατ' ἀρχὰς μὲν οὐκ
ἐπιτρέπειν τοῦ βασιλέως ἀπεῖχοντο τῶν εἰς τοὺς περιοίκους ἀδι-
κημάτων, καὶ πολλὴ διὰ τοῦτο ἦν εὐδοξία τῆς ἐπιμελείας Ἡρώδῃ.
273 πλεύσαντος δ' εἰς τὴν Ῥώμην, ὅτε καὶ τοῦ παιδὸς Ἀλεξάνδρου
κατηγόρει καὶ παραθησόμενον Ἀντίπατρον τὸν υἱὸν παρελήλυθει
Καίσαρι, λόγον ὡς ἀπολωλὸς εἴη διασπείροντες οἱ τῶν Τράχωνα
νεμόμενοι τῆς τε ἀρχῆς ἀπέστησαν καὶ πάλιν ἐπὶ τὰ συνήθη τοῖς
274 λῃσιωχώρους ἀδικεῖν ἐτρέποντο. τότε μὲν οὖν αὐτοῖς οἱ στρατη-
γοὶ τοῦ βασιλέως ἀπόντος ἐχειρώσαντο. περὶ τετταράκοντα δέ
τινες ἀρχιλῃσταὶ κατὰ δέος τῶν ἡλωκότων ἐξέλιπον μὲν τὴν χώραν,
275 εἰς δὲ τὴν Ἀραβίαν ἀφορμίσαντες Συλλαίου δεξαμένου μετὰ τὴν
ἀποτυχίαν τοῦ Σαλώμης γάμου, τόπον τε ἐρημὸν ἐκείνου ὄντος
ᾤκησαν καὶ καταπρέχοντες οὐ μόνον τὴν Ἰουδαίαν ἀλλὰ καὶ τὴν
κοίλην Συρίαν ἄπασαν ἐλῄζοντο, παρέχοντος ὁρμητήρια τοῦ Συλ-
276 λαίου καὶ κακῶς ποιοῦσιν ἄδειαν. Ἡρώδης δὲ ἐπανελθὼν ἀπὸ
τῆς Ῥώμης ἔγνω πολλὰ τῶν οἰκείων αὐτῷ κεκακωμένα, καὶ τῶν
μὲν λῃστῶν ἐγκρατὴς γενέσθαι οὐκ ἠδυνήθη διὰ τὴν ἀσφάλειαν, ἣν
ἐκ τῆς τῶν Ἀράβων προστασίας ἐτηρίσαντο, χαλεπῶς δὲ ἔχων αὐ-
τοὺς τῶν ἀδικημάτων περιελθὼν τὸν Τράχωνα τοὺς οἰκείους αὐτῶν
277 ἀπέσφαξεν. ἐντεῦθεν ἐκεῖνοι καὶ μᾶλλον πρὸς ὀργὰς ὧν ἐπεπόν-
θεισαν ὄντος αὐτοῖς καὶ νόμου πάντα τρόπον ἐπεξιέναι τοὺς τῶν
οἰκείων φονεῖς ἀντιτιμήτους τὴν Ἡρώδου πᾶσαν ἄγοντες καὶ ἡ-

PAMWELat

4 *δὲ] τε P τόδ'] τὸ δ' P τοῦτο δ' AMW τὸ δὲ E 7 *τοῦτο] τὸ τοιοῦτο AM *ἠρώδου W 8 πλεύσαντος] i. marg. *XIIII* Lat δὲ AMWE 9 παραθησόμενος] παραδοθησόμενον P *ut — commendaret* Lat 10 καῖσαρ W λόγον Ernesti *ἀπολωλὸς PW διασπείραντες AM διασπαρέντες E, i. marg. γρ διασπαρόντες sic A διασπαρέντος Ernesti *τὸν om. P *trachonitidem* Lat 11 *νεμώμενοι W καὶ πάλιν — 12 ἐτρέποντο] *rursusque ad solitum reuersi morem finitimos agros depopulabantur* Lat 12 ἐτράποντο AM *οὖν om. M 13 δὲ τεττταράκοντα tr. E 14 *κατὰ δέος — 15 ἀφορμίσαντες] *cum cognatione sua a trachone prouincia in arabiam recesserunt* Lat 15 συλλαίου E 16 *ἔρημον PW 18 ἐλῄζοντο codd. E 19 ποιοῦσιν] ποιοῦντος PW i. marg. *XV* Lat 20 κεκακωμένα P καὶ om. AM 21 γενέσθαι οὐκ ἠδυνήθη] οὐ δυνάμενος γενέσθαι AMW *ἀσφάλειαν P 22 αὐτοὺς E 23 περιελθὼν] ἱππεὺς ἐκπεριελθὼν (i. ras. m. 2 A) AM ἐκπεριελθὼν E 24 ἐπεπόνθησαν PE ἐπεπόνθεσαν AM 25 ὄντος] ἠρεθίσθησαν ὄντος E *ἐπεξεῖναι PW 26 τὴν] τὴν οὖν E

ρωντες διετέλουν. ἐκείνος δὲ διελέγετο περὶ τούτων τοῖς Καίσαρος ἡγεμόσιν Σατορνίνῳ τε καὶ Οὐολομνίῳ ἐπὶ κολάσει τοὺς ληστὰς ἐξαιτούμενος. ὅθεν ἔτι καὶ μᾶλλον ἰσχυρὰς ἐχόντων αἰτίους μὲν 278
ἐγίνοντο, πάντα δὲ ἐπάρατον ἐπ' ἀναστάσει τῆς Ἡρῴδου βασιλείας χωρία καὶ κώμας πορθοῦντες καὶ τοὺς λαμβανομένους τῶν ἀνθρώπων ἀπέσφαττον, ὡς εἶναι πολέμῳ τὴν ἀδικίαν ἐοικυῖαν· ἐγεγόνεισαν γὰρ ἤδη περὶ χιλίους. ἐφ' οἷς ἀχθόμενος Ἡρῴδης τούς τε 279
ληστὰς ἐξήτει καὶ χρέος ὃ διὰ Σύλλαιον δανείσας ἔτυχεν Ὀβάδῳ τάλαντα ἑξήκοντα, παρηκούσης αὐτῷ τῆς προθεσμίας ἀπολαβεῖν ἐξίου. Σύλλαιος δὲ τὸν μὲν Ὀβάδαν παρωσάμενος αὐτὸς δὲ ἅπαντα 280
διοικῶν τούς τε ληστὰς ἔφαρνος ἦν μὴ κατὰ τὴν Ἀραβίαν εἶναι καὶ περὶ τῶν χρημάτων ἀντιβάλλετο, περὶ ὧν ἐπί τε Σατορνίνου καὶ Οὐολομνίου τῶν Συρίας ἐπισταμένων ἐγίνοντο λόγοι. τέλος δὲ 281
συνέθετο δι' ἐκείνων ἐντὸς ἡμερῶν τριάκοντα τά τε χρήματα τὸν Ἡρῴδην ἀπολαβεῖν καὶ τοὺς ἀλλήλων ἐν ἑκατέρᾳ τῇ βασιλείᾳ * καὶ παρὰ μὲν Ἡρῴδῃ τῶν Ἀράβων οὐδεὶς εὑρέθη τὸ σύνολον οὔτε ἐπ' ἀδικίας οὔτε κατ' ἄλλον τρόπον, οἱ δ' Ἄραβες ἐλέγχοντο τοὺς ληστὰς παρ' αὐτοῖς ἔχειν.

2. Διελθούσης δὲ τῆς προθεσμίας Σύλλαιος οὐδὲν τῶν δικαίων 282
ποιούμενος εἰς Ῥώμην ἀνέρχεται. φύσια δὲ τῶν χρημάτων καὶ τῶν παρ' ἐκείνοις ληστῶν Ἡρῴδης ἐποιεῖτο, καὶ τῶν περὶ τὸν Σατορ- 283
νῖνον καὶ Οὐολόμνιον ἐπιτρεπόντων ἀγνωμονοῦντας ἐπεξέναι στρατιὰν τε ἔχων προῆγεν εἰς τὴν Ἀραβίαν τρισὶν ἡμέραις ἑπτὰ σταθμοὺς διανύσας, καὶ γενόμενος ἐπὶ τοῦ φρουρίου τοῦ τοὺς λῃστὰς ἔχοντος αἱρεῖ μὲν ἐξ ἐφόδου πάντας αὐτούς, κατασκάπτει δὲ τὸ χωρίον Ῥαέπτα καλούμενον· τῶν δὲ ἄλλων οὐδὲν ἐλύπησεν.

PAMWELat

1 *τούτου M 2 σατο·ρνίνωι A 3 ἰσχυρῶς mirum 4 δὲ διετάραττον E ἐπ' ἀναστάσει] ἐπαναστάσει AMWE 6 ἀπέσφαττον] ἐπισφάττοντες AMW ἀποσφάττοντες E *interimendo* Lat ἐωκυῖαν PA¹W 7 χειλίους P 8 συλαῖος E *ὀβόδα W *ouado* Lat 9 ἑξήκοντα] πεντακόσια E 10 συλαῖος E *ὀβάδαν P ὀβόδαν W *ouadum* Lat παρεωσμένος] coni. παρεωσάμενος codd. παρωσάμενος E *αὐτὸ P *δὲ] τε AM 13 τῶν] τῶν τῆς E 14 συνέθετο AME 15 *ἀπολανεῖν W *καὶ τοὺς — βασιλείᾳ] *et eos qui de utroque regno confugissent inuicem reddere* Lat ἑκατέρᾳ] ἑκατέρα ἀποκαταστῆναι sic E post βασιλείᾳ lacunam statuo 16 οὔτ' AMW 17 ἀδικίας, σ ex ν corr. A ἀδικίᾳ uel ἀδικίαις coni. δὲ E 19 i. marg. ιδ' E ὁ σύλλαιος (συλαῖος E) AMWE 21 τὸν om. AM σατουρνῖνον A¹ 22 ἐπεξένει] ἐπεξέναι τοῖς ἄραψιν E 23 προήγαγεν] Bekker προσήγαγεν codd. E 24 διανοίσας P 25 *αἶρει P ἄϊρει W 26 Ῥάεπτα] ἑπτὰ P ῥάπτα AM *ραιπτὰ* W *repta* Lat *δ' AM *οὐδένα ALat

284 ἐκβοηθησάντων δὲ τῶν Ἀράβων ἡγουμένου Νακεβου μάχη γίνεται, καθ' ἣν ὀλίγοι μὲν τῶν Ἡρώδου, Νάκεβος δὲ ὁ τῶν Ἀράβων στρατηγὸς καὶ περὶ εἰκοσιπέντε τῶν σὺν αὐτῷ πίπτουσιν, οἱ δὲ ἄλλοι
285 πρὸς φυγὴν ἐτράποντο. τισάμενος δὲ τούτους τρισχιλίους Ἰδουμαίων ἐπὶ τῇ Τραχωνίτιδι κατοικίσας ἦγεν ληστὰς τοὺς ἐκεῖ, καὶ περὶ τούτων τοῖς ἡγεμόσιν ἐτέμνετο περὶ Φοινίκην οὖσιν. ἀποδεικνὺς ὅτι μηδὲν πλέον ὧν ἀγνωμονοῦντας ἐλεξέλθειν ἔδει τοὺς Ἄραβας αὐτῷ πέπρακται. ταῦτα μὲν οὖν ἐκεῖνοι πολυπραγμονοῦντες εὕρισκον οὐ ψευδόμενον.

286 3. Ἄγγελοι δὲ Συλλαίῳ καταταχήσαντες εἰς Ῥώμην τὰ πεπραγ- 10
μένα διεσάφουν εἰς μεῖζον, ὡς εἰκός. ἕκαστον τῶν γεγονότων αἴρον-
287 τες. ὁ δὲ ἤδη μὲν ἐπεπραμάτευτο γνώριμος εἶναι Καίσαρι, τότε δὲ περὶ τὴν αὐλὴν ἀναστρεφόμενος ὡς ἦκουσεν εὐθὺς μεταμφιέννυται μέλαιναν ἐσθῆτα καὶ παρελθὼν ἔλεγεν ὡς αὐτόν, ὅτι πολέμῳ τὰ περὶ τὴν Ἀραβίαν εἴη κεκακωμένα καὶ πᾶσα ἀνάστατος ἡ βασιλεία 15
288 στρατιᾷ τροφήσαντος αὐτὴν Ἡρώδου. δακρύων δὲ πεντακοσίους μὲν ἐπὶ δισχιλίοις Ἀράβων ἀπολωλέναι τοὺς πρώτους ἔλεγεν, ἀνῃρῆσθαι δὲ καὶ τὸν στρατηγὸν αὐτῶν Νάκεβον οἰκεῖον αὐτῷ καὶ συγγενῆ, πλοῦτον δὲ διηρπάσθαι τὸν ἐν Ῥαίπτοις, καταπεφρονῆσθαι δὲ τὸν Ὀβόδαν ὑπὸ ἀσθενείας οὐκ ἀρκέσαντα τῷ πολέμῳ διὰ τὸ 20
289 μήτ' αὐτὸν μήτε τὴν Ἀραβικὴν δύναμιν παρεῖναι. τοιαῦτα τοῦ Συλλαίου λέγοντος καὶ προστιθέντος ἐπιθόντος, ὡς οὐδ' ἂν αὐτὸς ἀπέλθοι τῆς χώρας μὴ πεπιστευκὼς ὅτι Καίσαρι μέλοι τὴν εἰρήνην ἅπασιν εἶναι πρὸς ἀλλήλους, μηδ' εἰ παρὼν ἐτύγχανεν ἐκεῖ λυσιτελῆ ποιῆσαι τὸν πόλεμον Ἡρώδῃ, παροξυνθεὶς ἐπὶ τοῖς λεγο- 25
μένοις ὁ Καῖσαρ ἀνέκρινε τῶν Ἡρώδου τοὺς παρόντας καὶ τῶν

PAMWELat

2 *τῶν om. PW *νάκαιβοσ P δ' E 3 *σὺν αὐτοῖσ P 4 *τισάμενος — 5 ἐκεῖ] *punicns autem horum rex tria milia circa traconem idumacorum locauit exercitum et latrones ibi constitutos arcebat* Lat ἰδουμαίουσ E 5 *κατοικήσασ PM ἦγεν] εἶργε (-γεν A^1) AME ἤργεν W, i. marg. γρ ἦγε ληστάσ A; narrasse uid. Iosephus praedatores in Idumaeam translatos esse *ληστείασ Holwerda 7 *πλεῖον AM 8 *πεπρᾶχθαι AM 10 i. marg. *ΧΙ* Lat *ἄγγελλοι P συλλαίω E *εἰσ] εισ τὴν AM 11 εἰσ] ὡσ A^1W μεῖζον|ὡσ ex μειζο|νωσ corr. A 12 *δ' AM 14 ὡσ αὐτὸν ἔλεγεν tr. Herwerden 15 περὶ] κατὰ E ἡ βασιλεία στρατιᾷ] PLat ἡ βασίλειοσ στρατιὰ AMWE 16 *δὲ] μὲν PW 17 *μὲν om. P *Ἀράβων] βαρβάρων, i. marg. γρ ἀράβων A 18 καὶ om. AMWE νάκεβοσ μάκεβον W ἄβεκον s. m. 2 E 19 *διηρπάχθαι AM ῥαίπτοισ AM *reptis* Lat καταπεφρονίσθαι P 20 δὲ om. M ὀβάδαν AM ὄβοδον P νοβόδαν W *ouadas* Lat ὑπ' AM 22 συλλαίον E 23 ἐπέλθοι PW μὴ om. AM μέλλοι A μίλλει M^{ot} M 25 ποιῆσαι ἂν coni. *παρωξυνθεὶσ P 26 *τὸν ἡρώδην W

ἰδίων τοὺς ἀπὸ Συρίας ἥκοντας αὐτὸ μόνον, εἰ τὴν στρατιὰν Ἡρώ-
δης ἐξαγάγοι. τῶν δὲ τοῦτο μὲν αὐτὸ λέγειν ἀνάγκην ἐχόντων, τὸ 290
δὲ εἰρ' ὅτῳ καὶ πῶς οὐκ ἀκούοντος, ὀργή τε μεῖζων ἐγίνετο τῷ
Καίσαρι καὶ γράφει πρὸς τὸν Ἡρώδην τά τε ἄλλα χαλεπῶς καὶ
τοῦτο τῆς ἐπιστολῆς τὸ κεφάλαιον, ὅτι πάλαι χρώμενος αὐτῷ
φίλῳ νῦν ὑπηκόῳ χρήσεται. γράφει δὲ καὶ Σύλλαιος ὑπὲρ τούτων 291
τοῖς Ἄραψιν. οἱ δ' ἐταρθέντες οὔτε τῶν λησιτῶν ὅσοι διέφυγον
ἐξεδίδοσαν οὔτε τὰ χρήματα διευλύτουν, νομάς τε ἃς ἐκείνου μισθω-
σάμενοι διακατεῖχον ἀμισθὶ ταύταις ἐχρῶντο, τεταπεινωμένου τοῦ
τῶν Ἰουδαίων βασιλέως διὰ τὴν ὀργὴν τοῦ Καίσαρος. ἐπιτίθενται 292
δὲ τῷ καιρῷ καὶ οἱ τὴν Τραχωνῖτιν ἔχοντες τῆς τῶν Ἰδουμαίων
φρουρᾶς κατεξαναστάντες καὶ λῃστηρίοις χρώμενοι μετὰ τῶν Ἀρά-
βων, οἳ ἐλεηλάτουν τὴν ἐκείνων χώραν οὐκ ἀπὸ ὠφελείας μόνον,
ἀλλὰ καὶ μνησικακίας χαλεπώτεροι τὰς ἀδικίας ὄντες.

4. Ἡρώδης δὲ ταῦτα πάντα φέρων ἠνείχετο μεταβεβληκυίας 293
αὐτῷ τῆς παρρησίας, ἣν εἶχε διὰ Καίσαρα, καὶ τὸ μεῖζον ἀφῄρητο
τοῦ φρονήματος· οὐδὲ γὰρ πέμψαντος αὐτοῦ πρεσβείαν ἀπολογη-
σομένην ὁ Καίσαρ ἠτίμαζεν. πάλιν δὲ τοῖς συνελθοῦσιν ἀπράκτοις
ἀνέπεμψεν. ἦν δ' οὖν ἐπὶ τούτοις ἀθυμία καὶ δέος, ὅ τε Σύλλαιος 294
οὐ μετρίως ἐλύπει πιστευθείς τε καὶ παρὼν ἐν τῇ Ῥώμῃ, τότε δὲ
καὶ μεῖζονα ἀπειλήσας· ὁ μὲν γὰρ Ὀβόδας ἐτεθνήκει, παραλαμ-
βάνει δὲ τὴν τῶν Ἀράβων ἀρχὴν Αἰνείας ὁ μετονομασθεὶς αὖθις
Ἀρέτας. τοῦτον γὰρ ἐπεχείρει διαβολαῖς παρωσάμενος αὐτὸς ἀνα- 295
λαμβάνειν τὴν ἀρχήν, χρήματα μὲν πολλὰ διδοὺς τοῖς περὶ τὴν αὐ-
λήν, πολλὰ δὲ Καίσαρι δώσειν ὑπισχνούμενος. ὁ δὲ τῷ μὴ τὸν

PAMWELat

2 ἐξαγάγοι] κατάγοι PW καταγάγοι E *ad arabiam deduxisset* Lat 2 αὐτὸ om. E 3 *δ' AM *ἀκούοντος] *suggereret* Lat ὀργή] ὀρμὴ E *μεῖζον P ἐγένετο E 4 τε om. PE 6 *φίλωι, ι finale i. ras. A .συλλαῖος E 7 δὲ AMWE οὐδὲ E 8 *ἐξεδίδοσαν P νομάς, ν i. ras. M ἐκείνου, ἐ i. ras. M 11 *τραχωνίτην W Ἰδουμαίων] ἰουδαίων PWELat 13 οἳ] οἷσ AME ἀπὸ] ἐπὶ ed. pr. 14 τὰς] ἐκ τὰς Cocceji teste Hauerkamp: sed fort. ἐκ μνησικακίας uoluit 15 *ἅπαντα AM *μεταβεβληκίασ A 16 τὸ om. PW ἀφῄρητο AM 18 litt. τοῦσ συνε i. ras. angustiore m. 1 A ἀνελθόντας Herwerden 19 ἀπέπεμψεν Ernesti δ' om. E συλλαῖος E 20 καὶ παρὼν — 25 ὑπισχνούμενος] *qui praesens romae conabatur defuncto ouado rege arabum in regno succedere multis caesari promissis pecuniis aliisque in aula potentibus. interea ouado moriente dineas qui postea dictus est areta regnum arripuit* Lat 21 οβοδασ P ὀβάδασ AME ὀβαδοσ W *ouado* (ablat.) Lat 22 *Αἰνείας] *dineas* Lat αὖθις om. PWE 23 *τοῦτο PW γὰρ] δὲ E ἐπιχειρεῖ E *ἀναλαμβάνει PW 24 διαδοὺσ AM

296 Ἀρέταν ἐπιστείλαντα πρότερον αὐτῷ βασιλεύειν ὠργίζετο. πέμπει δὲ κἀκεῖνος ἐπιστολὴν καὶ δῶρα τῷ Καίσαρι στέφανόν τε χρυσοῦν ἀπὸ πολλῶν ταλάντων· ἡ δὲ ἐπιστολὴ κατηγόρει Σύλλαιον ὄντα πονηρὸν δοῦλον Ὀβόδαν τε φαρμάκοις διαφθείραι καὶ ζῶντος ἔτι κρατεῖν αὐτὸν τάς τε τῶν Ἀράβων μοιχεύοντα καὶ χρήματα δανει- 5
297 ζόμενον. ὥστ' ἐξιδιώσασθαι τὴν ἀρχήν. προσέχειν δὲ οὐδὲ τούτοις ὁ Καῖσαρ, ἀλλ' ἀποπέμπει μηδὲν τῶν δώρων λαβών. τὰ δὲ περὶ τὴν Ἰουδαίαν καὶ Ἀραβίαν ἀεὶ καὶ μᾶλλον ἐπεδίδου τὰ μὲν
298 εἰς ἀναξίαν τὰ δ' ὡς καταφθειρομένων μηδένα προεστάναι· τῶν γὰρ βασιλέων ὁ μὲν οὐδέπω τὴν ἀρχὴν βεβαίαν ἔχων οὐκ ἐκωλύει 10 ἣν κωλύειν τοὺς ἀδικοῦντας. Ἡρῴδης δὲ ἐφ' οἷς ἠμύνατο τάχιον ὁρισθέντος αὐτῷ Καίσαρος ἀπάσας τὰς εἰς αὐτὸν παρανομίας
299 φέρειν ἠναγκάζετο. πέρας δ' οὐδὲν ὁρῶν τῶν περιεστώτων κακῶν ἔγνω πάλιν εἰς Ῥώμην ἀποστέλλειν, εἴ τι δύναιτο μετριώτερον εὑρεῖν διά τε τῶν φίλων καὶ πρὸς αὐτὸν Καίσαρα τὴν ἐντυχίαν ποιη- 15 σάμενος. κἀκεῖ μὲν ὁ Δαμασκηνὸς ἀπῆει Νικόλαος.

300 X. 1. Ἐξετετάρακτο δὲ τὰ περὶ τὴν οἰκίαν καὶ τοὺς παῖδας αὐτῷ πολὺ χεῖρον ἐσχηκότα περὶ τὸν καιρὸν ἐκεῖνον. ὅλως μὲν γὰρ οὐδὲ τὸν ἔμπροσθε χρόνον ἀσύνοπτον ἦν, ὡς τὸ μέγιστον καὶ δυσχερέστατον τῶν ἀνθρωπίνων παθῶν ἀπεικέναι τῇ βασιλείᾳ διὰ 20 τὴς τύχης. ἐτέθραινεν δὲ καὶ μᾶλλον ἠύξηθη τότε παρὰ τοιαύτην
301 αἰτίαν. Εὐρυκλῆς ἀπὸ Λακεδαίμονος οὐκ ἄσημος τῶν ἐκεῖ κακὸς δὲ τὴν ψυχὴν ἄνθρωπος καὶ περὶ τρυφὴν καὶ κολακείαν δεινὸς ἑκάτερον αὐτῶν ἔχειν τε καὶ μὴ δοκεῖν. ἐπιδημήσας ὡς τὸν Ἡρῴδην δῶρά τε δίδωσιν αὐτῷ καὶ πλείω παρ' ἐκείνου λαβὼν ταῖς εὐκαι- 25 ρίαις τῶν ἐντεύξεων ἐπραγματεύσατο φίλος ἐν τοῖς μάλιστα γενέ-
302 σθαι βασιλέως. ἦν δ' αὐτῷ καταγωγὴ μὲν ἐν τοῖς Ἀντιπάτρου, πρόσοδος δὲ καὶ συνήθεια πρὸς τὸν Ἀλέξανδρον· Ἀρχελάῳ γὰρ
303 ἔλεγεν εἶναι τῷ Καππαδοκὶ διὰ ἀποιδῆς. ὅθεν καὶ τὴν Γλαφύραν

§ 300 = bell. Iud. I 513.

PAMWELat Zonaras I p. 447.

3 *συλαῖον* E 4 *ὀβοδαν* P *ὀβάδαν* AME *ὄβοδόν* W *onadum* Lat *τε*] *δὲ* AM, om. E 5 **δανιζόμενον* W 6 *ὡς* P *ὥστε* ME **ἐξιωδιώσασθαι* W 7 **ἀλλὰ* AM 8 *περὶ*] *ἐπὶ* E **τὴν ἀραβίαν καὶ ἰουδαίαν* tr. AMLat 9 *δὲ* E **προσεστάναι* AM *τῶν*] *τῶν μὲν* E 10 **οὐδέπω*] *οὔπω* AMW *ἔχων βεβαίαν* tr. AM 11 **ἠμύνετο* PW *τάχειον* P 12 *αὐτὸν* Hudson 14 **δύνατο* W 15 **εὑτυχίαν* PM **ποιησόμενος* PW 17 i. marg. *ιε'* E *XVII* Lat *ἐξετάρακτο* W *ἐξετάραττε* E 18 **ἐσχηκότας* PW *περὶ*] *κατὰ* E 19 *ἔμπροσθεν* AM *ἔμπροθεν* W 20 *ἀπείλειται* W 22 **εὐρύκλης* W 23 **ἑκατέρων* W *ἑκατέραν* Hudson 25 *εὐκαιρείαις* W 27 *δὲ* E 28 **δὲ*] *τε* AM 29 *καππαδόκι* P *καππαδόκη* AME **γλάφυραν* AM

ὑπερρίνατο τιμᾶν, καὶ πολὺς ἦν ἀφανῶς μὲν ἐκθεραπεύων ἅπαντας ἀεὶ δὲ τοῖς λαλουμένοις ἢ γινομένοις προσέχων, ὡς ἐξ αὐτῶν ἀντιχαρίζεσθαι τὰς διαβολάς. τέλος δὲ τοιοῦτος ἑκάστῳ κατὰ τὰς 304
συντυχίας ἀπέβαινεν, ὡς ἐκείνῳ μὲν εἶναι φίλος τοῖς δὲ ἄλλοις δοκεῖν κατὰ τὸ συμφέρον ἐκείνῳ προσεῖναι. οὗτος Ἀλέξανδρον παράγει νέον ὄντα καὶ περὶ ὧν ἐπετράπη μηδενὶ μὲν πρὸς ἐκεῖνον δὲ μόνον ἀδεῶς πεπεισμένον ἐξεῖναι λέγειν· ἐνέφαινεν οὖν ἀχθό- 305
μενος, ὡς ὁ πατὴρ ἠλλοτρίωτο, καὶ τὰ περὶ τὴν μητέρα διηγεῖτο καὶ τὸν Ἀντίπατρον, ὅτι παρωθούμενος αὐτοὺς τῆς τιμῆς τὰ πάντα ἤδη δύναται. τούτων δὲ ἀνεκτὸν οὐδὲν ἔφη κατεσκευασμένου πρὸς μῖσος ἤδη τοῦ πατρός, ὡς μηδὲ συμποσίοις ἢ συλλόγοις ἀνέχεσθαι λέγων. τοιαῦτα μὲν ἐκεῖνος, ὡς εἰκός, ἐφ' οἷς ἤλγει· τοὺς δὲ λό- 306
γους Εὐρυκλῆς Ἀντιπάτρῳ τούτους ἀνέφερεν, λέγων μὲν ὡς οὐχ ἕνεκα σοῦ τοῦτ' αὐτὸν ποιεῖν, νικᾶσθαι δὲ ὑπὸ σοῦ τιμώμενος τῷ μεγέθει τοῦ πράγματος καὶ φυλάττεσθαι παρακελευόμενος τὸν Ἀλέξανδρον· οὐ γὰρ ἁπλῶς τούτων ἕκαστον λέγειν, ἀλλὰ τοῖς ῥήμασιν αὐτοῖς εἶναι τὴν αὐτοχειρίαν. Ἀντίπατρος μὲν οὖν εὖνουν 307
ὑπολαμβάνων ἐκ τούτων μεγάλας αὐτῷ παρ' ἕκαστα δωρεὰς ἐδίδου καὶ τέλος ἤδη πείθει πρὸς τὸν Ἡρώδην ἀναφέρειν τὸν λόγον. ὁ 308
δ' οὐκ ἦν τὴν Ἀλεξάνδρου δύσνοιαν ἐξ ὧν ἔλεγεν ἀκηκοέναι διηγούμενος ἀπίθανος, ἀλλ' οὕτω διέθηκε τὸν βασιλέα περιάγων ἀεὶ τοῖς ῥήμασι καὶ παροξύνων, ὡς ἀμετάγνωστον ποιῆσαι τὸ μῖσος.

303 = bell. Iud. I 516.

PAMWELat Zonaras I p. 447.

1 ὑπεκρίνετο E 3 *ἑκάστῳ] ἐν ἑκάστου P κατὰ · τὰς, eras. σ P τὰς om. E 4 *ὑπέβαινεν W 5 οὗτος — 12 λέγων] *quapropter tractus alexander ut adulescens et dolens de his quae passus fuisset, narravit quam pater alienatus esset et mater sua ab eo interfecta perisset, antipatrum autem sibi praeposuisset et quemadmodum illa intolerabilia de eo patri dixisset et ad odium eum incitasset, ut nec in coniuiis eos nec in conuentu dignaretur* Lat οὗτος Ἀλέξανδρον παράγει] οὕτως ἀλέξανδρον παράγει P τὸν οὖν ἀλέξανδρον προσεκτήσατο AMW, i. marg. γρ (om M) οὗτος ἀλέξανδρον παράγει νέον ὄντα (post ὄντα ras. in A) AM 6 καὶ om. P μηδενὶ — 7 πεπεισμένον] μὴ ὡς πεπεισμένον μηδενὶ μὲν προσεκεῖνον δὲ μόνον ἀδεῶς πεπεισμένον P 8 *ὡς] οἷς coni. ἀλλοτριοῦται E *διηγῆτο W 10 δὲ] τε AME 11 ἤ] μηδὲ AMW 12 λέγων suspectum 13 *εὐρυκλῆς P 14 εἵνεκα A ἕνεκα σοῦ] *pro mea utilitate* Lat σοῦ] οὗ Hauerkamp αὐτοῦ Dindorf τοῦτ'] τοῦτον A¹ τοῦτο M et ex corr. A αὐτὸ PW δ' AM τιμώμενος] νικώμενος PW 16 τούτων] τοῦτ' P τοῦτο W 17 εἶναι] *inesse* Lat ἐνεῖναι coni. 18 ἐκ τούτων ὑπολαμβάνων tr. AM 19 *ὸ] τῷ coni. 21 ἀπίθανος] πιθανός P et ut uid. Lat 22 *ποιῆσαι] ἐμποιῆσαι AM *compleuit* Lat

309 ἐδήλωσεν δὲ καὶ πρὸς αὐτὸν τὸν καίσαρα· εὐθὺς γὰρ Εὐρυκλεῖ δι-
δόσιν πεντήκοντα τάλαντα δωρεάν. ὁ δὲ ταῦτα λαβὼν καὶ πρὸς
Ἀρχέλαον ἀναβὰς τὸν βασιλέα τῶν Καππαδόκων τὸν Ἀλέξανδρον
ἐτίμα καὶ χρήσιμος ἔλεγεν αὐτῷ πολλὰ πρὸς τὰς διαλλαγὰς τὰς
310 πρὸς τὸν πατέρα γεγενῆσθαι. χρηματισάμενος δὲ καὶ παρ' ἐκείνου πρὶν καταφωραθῆναι τῆς κακοηθείας ἀπῆλθεν. Εὐρυκλῆς μὲν οὖν οὐδὲν ἐν τῇ Λακεδαίμονι παυσάμενος εἶναι μοχθηρὸς ἐπὶ πολλοῖς ἀδικήμασιν ἀπεστερήθη τῆς πατρίδος.

311 2. Ὁ δὲ τῶν Ἰουδαίων βασιλεὺς οὐχ ὥσπερ πρότερον εἶχεν πρός τε τὸν Ἀλέξανδρον καὶ τὸν Ἀριστόβουλον ἀκούειν μόνον τὰς κατ' αὐτῶν διαβολάς, ἀλλ' ἤδη διὰ μίσους οἰκείου γεγενημένος αὐ-
312 τὸς εἰ καὶ μὴ λέγοι τις ἐξειργάζετο, παρατηρῶν ἕκαστα καὶ πυνθανόμενος καὶ πᾶσιν ἐνδιδοὺς τοῖς βουλομένοις, εἴ τις ἔχοι τι κατ' ἐκείνων εἰπεῖν, * Εὐάρατόν τε Κῶον Ἀλεξάνδρῳ συνειδέναι. καὶ τοῦτο μὲν οὖν καθ' ἡδονὴν τὸ παντὸν ἤδιστον Ἡρῴδῃ ἐλαμβανεν.
313 3. Ἐπιγίνεται δὲ κατὰ τῶν νεανίσκων μεῖζόν τι σκευωρουμένης ἀεὶ τῆς κατ' αὐτῶν διαβολῆς καὶ πᾶσιν, ὡς εἰπεῖν, ἄθλου τούτου προκειμένου λέγειν τι περὶ ἐκείνων δυσχερὲς πρὸς τῆς τοῦ
314 βασιλεύοντος εὐδόκει σωτηρίας. σωματοφύλακες ἦσαν Ἡρῴδῃ δύο κατ' ἰσχὺν καὶ μέγεθος τιμώμενοι Ἰούκουνδος καὶ Τύραννος. οὗτοι προσκροίσαντος αὐτοῖς τοῦ βασιλέως ἀπεωσμένοι περὶ Ἀλέξανδρον ἦσαν συνιπταζόμενοι καὶ κατὰ τὰ γυμνάσια τιμώμενοι καί τι χρυ-
315 σίον καὶ δωρεὰς ἄλλας ἔλαβον. εὐθὺς οὖν καὶ τούτους ὁ βασιλεὺς ἐν ὑποψίαις ἔχων ἐβασάνιζεν. οἱ δὲ διακαρτερήσαντες πολὺν χρόνον ὕστερον ἔλεγον, ὅτι πείθοι φονεύειν αὐτοὺς Ἡρῴδην Ἀλέξανδρος.

§ 309 = bell. Iud. I 530, § 313 = bell. Iud. I 527.

PAMWELat Zonaras I p. 448.

1 *εὐρυκλεῖ P 2 *πρὸς] πρὸσ τὸν PW 3 ἀναβὰς] διαβὰσ E καπαδοκῶν AMW 4 *πολλὰ] εἰσ πολλὰ PW 5 γενέσθαι E 6 εὐρυκλῆσ P 7 οὐδ' AM 8 τῆς] τῇ W τῆσ ἑαυτοῦ P 10 ἀκούων E 11 *ἀλλ' ἤδη] ἀλλ' ἡ P ἀλλ' ἤδη — 15 ἐλάμβανεν] *sed etsi nullus aliquid ei muntiasset ipse perscrutabatur licentiamque dedit uolentibus quiddam contra eos referre cum uero euaretum quendam licet uellet tamen non libenter accusantem audiuit, quia et ipsum ut conscium abhorrebat* Lat 12 *ἐξωργίζετο coni. περιτηρῶν E 14 *Εὐάρατον*] W *σνάρατον P *οὐάρατον AM *Εὐάρεστον* bell. Iud. 532 codd. meliores 15 μὲν οὖν i. ras. m. 2 A οὖν] *οὐ* coni. 16 *μεῖζον P *τι · | A *σκευωρουμένης] καιωρουμένησ, αι i. ras. A *σκαιωρουμένησ* MW 17 τοῦτον] τοῦ W, om. E 18 πρὸς] ὃ πρὸσ AM 19 *δοκεῖ* W 20 ἰουκοῦνδοσ M et ex corr. A *ἰούκανδοσ* E 21 περὶ] τοῖσ περὶ AMWE 22 τὰ om. AMWE 23 ἐλάμβανον AMWE ὁ — 24 ἔχων] ἐν ὑποψίαισ ὁ βασιλεὺσ ἔχων AM *ὁ βασιλεὺσ ἴχων ἐν ὑποψία* WE 25 *ὕστερον] *post deuicti* Lat *πίθοι P

ἐπεὶ περὶ κυνηγέσιον θηρίων διώκων προλάβοι· δυνατὸν γὰρ εἶναι λέγειν ὡς ἀπὸ τοῦ ἵππου κατενεχθεὶς ἐμπαρείη ταῖς αὐτοῦ λόγχαις· καὶ γὰρ πρότερον αὐτῷ τοιοῦτον γενέσθαι πάθος. ἐπέδειξαν δὲ 316
καὶ τὸ χρυσίον ἐν ἵπποις κατορωρυγμένον καὶ τὸν ἀρχικύνηγον ἐξήλεγχον, ὅτι καὶ λόγχας αὐτοῖς δοίη βασιλικὰς καὶ τοῖς Ἀλέξανδρον θεραπεύουσιν ὅπλα κελεύοντος ἐκείνου.

1. *Μετὰ τούτους ὁ φρούραρχος Ἀλεξανδρείου συλληφθεὶς* 317
ἐβασανίζετο· καὶ γὰρ ἐκεῖνος αἰτίαν εἶχεν δέξεσθαι τῇ φρουρᾷ καὶ παρέξειν χρήματα τοὺς νεανίσκους ἐπισχήσθαι τὰ κείμενα τῶν βασι-
λικῶν κατ' ἐκεῖνο τὸ φρούριον. αὐτὸς μὲν οὖν οὐδὲν ὡμολόγησεν, 318
υἱὸς δὲ αὐτοῦ παρελθὼν ταῦτ' ἔφη γενέσθαι, καὶ γράμματα ἐπέδωκεν ὡς εἰκάσαι τῆς Ἀλεξάνδρου χειρός· „τελέσαντες σὺν θεῷ εἰπεῖν ἃ προεθέμεθα πάντα ἥξομεν πρὸς ὑμᾶς· ἀλλὰ πειράθητε, καθὼς ὑπέσχησθε, δέξασθαι ἡμᾶς τῷ φρουρίῳ.“ μετὰ τοῦτο τὸ 319
γραμματεῖον ὁ μὲν Ἡρώδης οὐκ ἐνδοιασίμως εἶχεν περὶ τῆς τῶν παίδων εἰς αὐτὸν ἐπιβουλῆς, Ἀλέξανδρος δὲ Διόφαντον ἔφη τὸν γραμματέα μιμήσασθαι τὸν τύπον καὶ δι' Ἀντιπάτρου κακουργηθῆναι τὸ γραμματίδιον· ὁ γὰρ τοι Διόφαντος ἐδόκει τὰ τοιαῦτα δεινὸς ἐν ὑστέρῳ τε διελεγχθεὶς ἐπ' ἄλλοις οὕτως ἀπέθανεν.

5. *Τοὺς δὲ βασανισθέντας ὁ βασιλεὺς καὶ εἰς τὸ πλῆθος* 320
προήγαγεν ἐν Ἰεριχοῦντι κατηγοροῦντας τῶν παίδων· καὶ τούτους μὲν ἐκ χειρὸς οἱ πολλοὶ βάλλοντες ἀπέκτειναν. ὡρμημένων δὲ καὶ 321

§ 317 = bell. Iud. I 528.

PAMWELatZonaras I p. 448.

1 *ἐπεὶ*] ed. pr. *ἐπείτε* PW *ἐπὰν* AM *ἔπειτ'* E *περὶ*] *περί τι* A *ἐπί τι* M *εἰσ* E, om. W *θηρίον* E *προλάβοι*] *προσλάβοι* A *προσβάλη* M *προσβάλοι* WE, i. marg. *γρ προσβάλη* A *εἶναι*] *εἴη* WE 2 **ἀναπαρείη* P *ἀναπαρῆναι* W 3 **τοιοῦτο* AM *γεγενῆσθαι* WE 4 *τὸ χρυσίον*] *χρυσίον μὲν* W *χρυσίον* E *κατωρωρυγμένον* M *κατορυγμένον* E *ἀρχικυνηγὸν* PAME 5 **δώη* PA *δῴη* M 7 *ὁ φρούραρχος ἀλεξανδρίου* E *ἀλέξανδρος ὁ φρούραρχος* P *ὁ φρούραρχος Ἀλεξάνδρου* AMW *princeps custodiae alexandrii oppidi* Lat *συλληφθεὶς*] *ληφθεὶς* PWE 8 *ἐκεῖνος*] *κἀκεῖνος* E *εἶχεν*] *εἶχεν ὡς ἐπαγγειλάμενος* E *δέξεσθαι*] Hauerkamp *δέξασθαι* codd. E *τῷ φρουρίῳ* E 9 *τοῖσ νεανίσκοισ χρήματα* tr. WE **τὰ*] *τε τὰ* W 10 *ὡμολόγει* E 11 **δ'* AM *ταῦτα* WE 12 **ὡς*] iteratum in confinio paginarum M, om. W *φράζοντα* post *χειρός* add. E *σὺν θεῷ εἰπεῖν*] *cum dei auxilio* Lat *ἃ σὺν θεῷ εἰπεῖν* tr. E 13 *προυθέμεθα* E 14 *ὑπέσχεσθε* AMWE **ἡμᾶς* (*ἡ* i. ras. A) *δέξασθαι* tr. AM 15 *γραμμάτιον* (*ι* i. ras. A) AM *γράμμα* E *οὐκ*] *οὐκ ἔτι* AMWE **ἐνδυασίμωσ* P 17 **γραμματᾶτα* P 18 *τοι* om. AMWE 19 *τε*] *δὲ* PWE 21 *ἐν* om. PW **κατηγοροῦντας*] *filios et accusatores eorum* Lat *κατηγορῶν* coni. 22 *ἔκτειναν* WE **ὁρμημένων* P

τοὺς περὶ τὸν Ἀλέξανδρον ὁμοίως κτεῖναι. τοῦτο μὲν ὁ βασιλεὺς παρητήσατο διὰ Πτολεμαίου καὶ Φερώρα τὸ πλῆθος ἀναστείλας. ἦν δὲ φυλακὴ καὶ τήρησις αὐτῶν καὶ προσῆει μὲν οὐδείς, πάντα δ' ἐπεσκοπεῖτο τὰ γινόμενα καὶ λαλούμενα, καὶ τί γὰρ ἦ καταδίκων
322 εἶχον ἀδοξίαν καὶ δέος. ἕτερος δ' αὐτῶν Ἀριστόβουλος ἐκ βαρυθυμίας ἐπαγόμενος καὶ τὴν ἑαυτοῦ τιθίδα καὶ πενθερὰν συναγκεῖν αὐτῷ ταῖς συμφοραῖς καὶ μισεῖν τὸν τοιαῦτα πειθόμενον „οὐ γάρ, ἔφη, καὶ σοὶ κίνδυνος ἀπωλείας διαβεβλημένῃ Συλλαίῳ κατ' ἐλπίδα
323 γάμων ἅπαντα τἀνθάδε προμηνύειν;" τούτους ἐκείνη ταχὺ μάλα τἀδελφῷ προσφέρει τοὺς λόγους. ὁ δ' οὐκέτι κατασχὼν αὐτὸν δῆσαί τε κελεύει καὶ διασῄσαντας ἀπ' ἀλλήλων ὅσα κακῶς ἐποίησαν
324 ἐπὶ τῷ πατρὶ ταῦτα γραψαμένους ἀποφέρειν. οἱ δ' ἐπεὶ τοῦτο προσετέτακτο αὐτοῖς, ἐγγράφουσιν ἐπιβουλὴν μὲν οὔτε νοῆσαι κατὰ τοῦ γεγεννηκότος οὔτε συσκευάσασθαι, δρασμῷ δὲ ἐπιβαλέσθαι καὶ τοῦτο δι' ἀνάγκην ὑπόπτων καὶ δυσχερῶς ὄντος αὐτοῖς τοῦ βίου.
325 6. Κατὰ δὲ τὸν χρόνον ἥκοντος ἐκ Καππαδοκίας πρεσβευτοῦ παρὰ Ἀρχελάου Μήλα τινός, ὃς ἦν δυνάστης τῶν ἐκείνου, βουλόμενος Ἡρῴδης ἐνδείξασθαι τὴν δίσνοιαν Ἀρχελάου πρὸς αὐτὸν ἐκάλει τὸν Ἀλέξανδρον ὡς ἦν ἐν τοῖς δεσμοῖς καὶ πάλιν ἠρώτα
326 περὶ τῆς φυγῆς, ὅπου καὶ πῶς ἐγνώκασιν ἀποχωρεῖν. ὁ δὲ Ἀλέξανδρος πρὸς Ἀρχέλαον ἔφη, κἀκεῖθεν εἰς Ῥώμην ὁμολογήσαντα διαπέμψειν· ἄλλο δ' οὐδὲν οὔτ' ἄτοπον οὔτε δυσχερὲς ἐνθυμῆσθαι κατὰ τοῦ πατρὸς οὐδ' ὅσα συνεσκεύασται κακοηθείᾳ τῶν ἐναντίων
327 ἀληθὲς εἶναί τι τούτων. βούλεσθαι δ' ἂν ἔτι ζῆν καὶ τοὺς περὶ Τύραννον εἰς ἐξέτασιν ἀσφαλεστέραν, ἀλλὰ καὶ τούτους ἀπολέσθαι θᾶττον Ἀντιπάτρου τῷ πλήθει τοὺς ἰδίους ἐγκαθιστάντος φίλους.

§ 322 = bell. Iud. I 534.

PAMWELat Zonaras I p. 449.

1 τὸν om. AMWE 3 *προσεῖη P *οὐδεὶς] οὐδεὶσ ἔτι AM 4 δὲ AMWE *ἐπισκοπῆτο P 5 *ἕτερος] ἑαῦτοσ W ἕτερος Bekker *δὲ W ὁ ἀριστόβουλοσ E 6 ὑπαγόμενος] ἐπαγόμενοσ AMWE existimans Lat οἰόμενος Zon *τιτθίδα P τητθίδα W σαλώμην post πενθερὰν add. E 7 *τὸν] τὸν τὰ W 8 *διαβεβλημένῃ W συλλαίω E 9 *γάμου P 10 δὲ WE αὐτὸν PMWE 12 *γραψάμενοσ W ἀποφέρειν] κελσαρι ἀποφέρειν AME δὲ AMWE 13 γράφουσιν E οὔτ' ἐννοῆσαι E 14 *δρασμῷ δὲ ἐπιβαλέσθαι om. P *ἐπιβάλλεσθαι AM 15 *τοῦτον AM hanc (h. e. fugam) Lat *αὐτοῖς om. AM 16 *κατὰ — χρόνον] eodem tempore Lat δὲ] τοῦτον οὖν (οὖν s. M) AM τοῦτον WE ἐκ] ἀπὸ WE *τοῦ πρεσβευτοῦ P 17 *παρὰ ἀρχελάου suppl. m. 2 M *Μήλα τινός] μηλατῖνοσ P μιλατίνοσ, μι ex μη corr. A μῖλᾶ τινὸσ M mila nomine Lat Μήνα τινὸς coni. *ἐκείνη coni. 18 ἠρώδη E 19 *τὸν om. P ὡς] ὃσ E 21 *πρὸς] παρὰ AM κἀκεῖθεν] ἐκεῖσε Cocceji 22 ἄλλο δ'] AMLat Zon ἄλλ' PWE ἐνθυμεῖσθαι E 23 συνεσκεῦᾶσθαι P 24 δ' ἂν ἔτι ζῆν] δὲ ἀνετάζειν W

7. Τοιαῦτα λέγοντος ἐκέλευσεν ἅμα τόν τε Μήλαν καὶ τὸν 328
Ἀλέξανδρον ἄγειν ὡς Γλαφύραν τὴν Ἀρχελάου καὶ συνθάνεσθαι
καρ᾽ αὐτῆς, εἰ μηδὲν ἠγνόει τῶν εἰς ἐπιβουλὴν Ἡρῴδου γιγνομέ-
νων. ὡς δὲ ἦκον, εὐθὺς μὲν Γλαφύρα δεσμώτην ἰδιώτου τῶν Ἀλε- 329
ξάνδρου ἐπλήξε τὴν κεφαλὴν καὶ κατατιλιξαμένη μέγα καὶ σιμιαθὲς
ἀνήμωξεν. ἦν δὲ καὶ τοῦ νεανίσκου δάκρυα καὶ τῶν παρόντων
ὀδυνηρὰ τοῖς θεάσ, μέχρι πλείονος οὐδὲ ἐφ᾽ οἷς ἦκον εἶπεῖν ἢ παρέ-
τειν δυναμένων. ὑψὲ δὲ τοῦ Πτολεμαίου, τούτῳ γὰρ ἄγειν αὐτὸν 330
ἐπιτέτακτο, φράζειν κελεύοντος εἴ τι τῶν πραττομένων ἡ γυνὴ συν-
οίδειν αὐτῷ, „τί δ᾽ οὐκ ἄν, ἔφη, συνέγνω τῆς ψυχῆς ἐμοὶ συεργο-
μένη τελέον καὶ κοινωνοῦσα τέκνων;“ ἡ δὲ πρὸς ταῦτα μὲν ἀνεβόη- 331
σεν, ὡς συνειδείη μὲν οὐδὲν ἄτοπον, εἰ δὲ φέροι πρὸς τὴν σωτηρίαν
τὴν ἐκείνου τὸ καὶ καθ᾽ αὑτῆς τι ψεύσασθαι, πάνθ᾽ ὁμολογεῖν.
ὁ δὲ Ἀλέξανδρος „ἀσεβὲς μὲν οὐδέν, εἶπεν, οὐδ᾽ ὧν ὑπονοοῦσιν
οὓς ἥκιστα ἐχρῆν οὕτ᾽ αὐτὸς ἐνόησα σύ τε οὐδὲν οἶσθα, ἀλλ᾽ ὅτι 332
παρ᾽ Ἀρχέλαον ἀποχωρεῖν ἐγνώκειμεν κἀκεῖθεν εἰς Ῥώμην.“ ταῦτ᾽
ἐκείνης ὁμολογούσης ὁ μὲν Ἡρῴδης Ἀρχέλαον ἐξεληλέγχθαι τῆς
πρὸς αὐτὸν δυσνοίας ἐπολαβὼν δίδωσιν Ὀλύμπῳ καὶ Σιλουανίῳ
γράμματα πέμπουσι τὸν παράπλουν μὲν Ἐλαιούσης τῆς Κιλικίας προσ-
σχόντας Ἀρχελάῳ τε περὶ τούτων ἀποδοῦναι καὶ μεμψαμένους ὅτι
τῆς ἐπιβουλῆς ἐφάψαιτο τοῖς παισὶν ἐκεῖθεν εἰς Ῥώμην πλεῖν.
κἂν εἴρωσιν ἀνίσαντά τι Νικόλαον, ὡς μηκέτ᾽ αὐτῷ δυσχεραίνειν 333
Καίσαρα, διδόναι τὰς ἐπιστολὰς καὶ τοὺς ἐλέγχους τοὺς κατὰ τῶν

§ 332 = bell. Iud. I 535.

PAMWELat Zonoras I p. 449.

1 *μῆλον P *μίλαν (*ί* ex *ή* corr. A) AM *milam* Lat 2 *γλάφυραν AM *τὴν] τὸν P 3 *εἰς] εἰσ τὴν AM *γινομένων E 4 *γλάφυρα AM *ἡ γλαφύρα WE *εἰδοῦσα P 5 ἔπληξε] ἐπλήξατο AMWE *κατατιλιξαμένη] *stupefacta* Lat, om. E περιπαθὲς E *ἀνοίμωξεν P *ἀνώμοξεν MW 7 οὐδὲν E ἦκον] εἶχον W παρῆσαν E 8 τούτω, ω ex ου corr. M τοῦτο E ἄγειν om. WE αὐτῷ E 9 κελεύσαντος AMWE ἡ γυνὴ om. WE 10 τίσ WE *δὲ W τί δ᾽ — συνέγνω] *respondit quid meum haec ignoraret* Lat 11 κοινωνοῦσα, α i. ras. A *κοινωνούσης W δὲ, ε i. ras. A ταῦτα μὲν] ταῦτ᾽ AM ταῦτα E 12 *συνηδείη P 13 κατ᾽ αὐτῆς W καθ᾽ ἑαυτῆς E τι om. E πάντα WE 14 οὐδὲ WE 15 *οὔτ᾽] οὔθ᾽ P οὔτε AMW ἐνόησας AM ἐννοήσας W ἐνενόησεν E σύ τε] οὔτε AMW οὔτε σὺ E οὐδὲν om. E *οἶσθασ M et ex corr. A 16 ταῦτα κἀκείνησ AMWE et ut uid. Lat 17 ἐξελεληλέγχθαι P ἐξηλέγχθαι W ἐξηλέχθαι E 18 *ὑπολαβὼν] παραλαβὼν W 19 Ἐλαιούσι] Dindorf *ἐλεούσησ* PAM ἐλούσησ W Ἐλεούσι Hudson προσσχόντας] Zon *προσχόντεσ* codd. E 21 *ἐπιβουλῆς] ἐπιστολῆσ W ἐπιβολῆς coni. *συνεφάψαιτο coni. 22 *νικόλαον ἀνίσαντά τι tr. M μηκέτι WE 23 τοὺς — 56, 1 ἐπέστειλεν] *quae contra iuuenes constructa destinauerat* Lat τοὺς] om. WE οὗσ AM, fort. recte

334 νεανίσκων συνεσκευασμένως ἐπέστειλεν. Ἀρχέλαος μὲν οὖν ἀπε-
λογεῖτο δέξασθαι μὲν τοὺς νεανίσκους ὁμολογήσας διὰ τὸ συμφέ-
ρειν αὐτοῖς τε ἐκείνοις καὶ τῷ πατρὶ μὴ χαλεπώτερόν τι προστε-
θῆναι κατ' ὀργὴν ὧν ὑπόπτως ἔχοντες ἑστασίαζον· οὐ μὴν καὶ
πρὸς Καίσαρα πέμψειν οὐδ' ἄλλο τι κατὰ δύσνοιαν τὴν πρὸς ἐκεῖ- 5
νον ὁμολογῆσαι τοῖς νεανίσκοις.

335 S. Εἰς δὲ τὴν Ῥώμην ἀποκομισθέντες ἔσχον καιρὸν ἐπιδοῦναι
τὰ γράμματα τῷ Καίσαρα διηλλαγμένον εὑρεῖν Ἡρῴδῃ· τὰ γὰρ
336 περὶ τὴν Νικολάου πρεσβείαν ἀπέβη τοῦτον τὸν τρόπον· ὡς ἀν-
ῆλθεν εἰς τὴν Ῥώμην καὶ περὶ τὴν αἰτίαν ἐγένετο, πρῶτον μὲν οὐκ 10
ἐφ' οἷς ἐλήλυθει μόνον ἀλλὰ καὶ Συλλαίου κατηγορεῖν ἠξίου, καὶ
337 δῆλοι πρὸ τῆς ἐντυχίας ἦσαν ἀλλήλους πολεμοῦντες. οἱ δὲ Ἄραβες
ὑπονοήσαντες ἐξ αὐτοῦ καὶ τῷ Νικολάῳ προσελθόντες τὰς ἀδικίας
ἁπάσας ἐμήνυον καὶ τῶν Ὀβόδου ὡς διαφθαρέντων πάντων ἐμφανῆ
τεκμήρια παρέχοντες. ἦν γὰρ καὶ τῶν γραμμάτων αὐτοῦ ὃ κατὰ τὴν 15
338 ἀπόστασιν ἐφῳρημένοι διὰ τούτων ἤλεγχον. ὁ δὲ Νικόλαος εὐτυ-
χίαν τινὰ ταύτην ὁρῶν αὐτῷ προσγεγενημένην δι' αὐτῆς ἐπραγμα-
τεύετο τὸ μέλλον, ἐλείγων εἰς διαλλαγὰς ἐλθεῖν Ἡρῴδῃ Καίσαρα·
σαφῶς γὰρ ἠπίστατο βουλομένῳ μὲν ἀπολογεῖσθαι περὶ ὧν ἔπραξεν
οὐκ ἔσεσθαι παρρησίαν, ἐθέλοντι δὲ κατηγορεῖν Συλλαίου γενή- 20
339 σεσθαι καιρὸν ὑπὲρ Ἡρῴδου λέγειν. συνεστώτων οὖν ἐπ' ἀλλήλοις
καὶ δοθείσης ἡμέρας ὁ Νικόλαος παρόντων αὐτῷ τῶν Ἀρέτα πρέ-
σβεων τά τε ἄλλα κατηγόρει τοῦ Συλλαίου, τήν τε τοῦ βασιλέως

PAMWELatZonaras I p. 449.

1 *συνεσκευασμένος, ο* ex ω corr. A *κατεσκευασμένονς* WE *ἀπέστειλεν* MWE 2 **δέξεσθαι* coni. **διὰ τὸ συμφέρειν*] *quia prodesset* Lat *συμφέ-ρειν*] Bekker *συμφέρον* codd. E **τ'* AM *μὴ*] *μὴ καὶ* AME *προστεθῆ-ναι*] *προστεθῆ* E et Cocceji 5 *οὐδὲ* WE 7 **ἔσχον*] *ἔσχον τε* AMW **καιρὸν*] *καιρὸν καὶ* P *ἀποδοῦναι* E 8 *τῷ — Ἡρῴδῃ*] *quia caesarem placatum immenerunt* Lat *τῷ*] *ᾧ* P *καίσαρι* AMWE *εὑρόντες* AMWE i. marg. *XVIII* Lat 11 **ἐφ' οἷς*] *εὐθὺς* M *συλλαίου* E 12 **ἦσαν*] *ἦσ ἂν* (*ἦ* ex *ἦ* corr.) P *ἀλλήλοις* AME **οἱ δὲ Ἄραβες* om. WLat et ut uid. A¹ 13 *ὑπονοήσαντες*] *ὑπονοστήσαντες* AMWE *intellegentes* Lat litt. *οἱ δὲ ἄραβες ὑπονοσήσαν* in ras. angustius scriptae m. 2 A 14 *πάσας* AME *ἀπά-σης* W *ὀβάδου* AMW *πάντων*] *πλείστων* AMW *multos* Lat *ἐκφανῆ* AMW 15 *ἦν*] *ἐτύγχανον* M, i. marg. *ἐτύγχανον γὰρ καὶ τῶν γραμμάτων* A *ὃ*] om. AMW *ἃ* Hudson 16 *ἐφῃρημένοι* W *ἤλεγχον*, *ω* in *ο*, *ο* rursus in *ω* corr. W **εὐτυχίαν*] *ἐπιτυχίαν* W et i. marg. A 17 **τινὰ*] s. M, om. W *προσγενομένην* E *ἐπραγματεύσατο* E 18 **ἐλθεῖν εἰς διαλ-λαγὰς* tr. W *Καίσαρα*] *ποιῆσαι καίσαρα* AMWE 19 **ἀπολογήσασθαι* W 20 *συλλαίου* E 22 **ὁ* om. W *τῶν*] *καὶ τῶν* E 23 **κατηγόρουν* W (?) *συλλαίου* E

ἀπώλειαν λέγων καὶ πολλῶν Ἀράβων, χρήματά τε ὡς εἴη δεδανεισ- 340
μένος ἐπ' οὐδὲν ὑγιές, καὶ μοιχείας ἐξελέγχων οὐ τῶν ἐν Ἀραβίᾳ
μόνον ἀλλὰ καὶ τῶν ἐν Ῥώμῃ γυναικῶν· προσετίθει δὲ τὸ μέγιστον,
ὡς ἐξαπατήσειεν Καίσαρα μηδὲν ἀληθὲς διδάξας ὑπὲρ τῶν Ἡρῴδῃ
πεπραγμένων. ὡς δ' ἦκεν ἐπὶ τοῦτον τὸν τόπον, ὁ μὲν Καῖσαρ 341
ἐξεῖργεν αὐτὸν τοῦτο μόνον ἀξιῶν ὑπὲρ Ἡρῴδου λέγειν, εἰ μὴ στρα-
τιὰν ἤγαγεν εἰς Ἀραβίαν μηδὲ δισχιλίους πεντακοσίους ἀποκτείνειεν
τῶν ἐκεῖ μηδ' αἰχμαλώτους λάβοι τὴν χώραν διαρπάσας. πρὸς 342
ταῦτα ὁ Νικόλαος ὑπὲρ τούτων ἔφη καὶ μάλιστα διδάξειν, ὅτι μη-
δὲν ἢ τὰ πλεῖστά γε αὐτῶν οὐ γέγονεν, ὡς σὺ ἀκήκοας καὶ δίκαιον
ἦν ἐπ' αὐτοῖς χαλεπώτερον φέρειν. πρὸς δὲ τὸ παράδοξον Καί- 343
σαρος ἐνδόντος αὐτὸν ἀκροᾶσθαι, τὸ δάνειον εἰλῆφθαι τῶν πεντακοσίων
ταλάντων καὶ τὴν συγγραφήν, ἐν ᾗ καὶ τοῦτο ἦν προσγεγραμμένον
ἕξειν τῆς προθεσμίας παρελθούσης ῥύσια λαμβάνειν ἐξ ἁπάσης
τῆς χώρας. τὴν μὲν στρατείαν οὐ στρατείαν ἔλεγεν, ἀλλ' ἐπὶ δι-
καίαν τῶν ἰδίων ἀπαίτησιν χρημάτων· καὶ μηδὲ ταύτην ταχὺ μηδ' 344
ὡς ἐπέρρωτον αἱ συγγραφαί. πολλάκις μὲν ἐπὶ Σατορνῖνον ἐλθόντα
καὶ Ὀλόμνιον τοὺς τῆς Συρίας ἡγεμόνας, τελευταῖον δὲ ἐν Βηρυτῷ
τούτων ἑκατὸν Συλλαίου τὴν σὴν τύχην ἐπομόσαντος, ἧς μὴν ἐντὸς
ἡμερῶν τριάκοντα παρέξειν τὰ χρήματα καὶ τοὺς ἐκ τῆς ἀρχῆς τῆς
Ἡρῴδου πεφευγότας. ὧν οὐδὲν ποιήσαντος Συλλαίου πάλιν ἐπὶ 345
τοὺς ἡγεμόνας ἐλθεῖν Ἡρῴδην κἀκείνων ἐφέντων αὐτῷ λαμβάνειν
τὰ ῥύσια μόγις οὕτως ἐξελθεῖν σὺν τοῖς περὶ αὐτόν. ὁ μὲν δὴ 346
πόλεμος, ὡς οὗτοι γραφόντες ἔλεγον, καὶ τὰ τῆς ἐπιστρατείας
τοιαῦτα. καίτοι πῶς ἂν εἴη πόλεμος, ἐπιτρεψάντων μὲν τῶν σῶν
ἡγεμόνων, δεδωκυίας δὲ τῆς συνθήκης, ἠσεβημένον δὲ μετὰ τῶν ἄλλων

PAMWELat

2 *μοιχίας W *ἐν Ἀραβίᾳ] ἀράβων W 3 *μόνων PA¹ 4 ἐξαπατήσειεν] Naber ἐξαναστήσειε (-εν P) codd. E *acerbius incitaret* Lat 5 *δὲ W 6 *εἰ μὴ] ὡσ οὐ W 7 δισχιλίους καὶ πεντακοσίους AMWE ἀποκτείνειν W ἀπέκτεινε E 8 *μηδὲ W 10 σὺ] σύ γε AM σύ τε W 11 χαλεπώτερον ἐπ' αὐτοῖς tr. W 12 αὐτὸν PWE *εἰπὼν] εἶπεν P 13 *προγεγραμμένον P 15 *μὲν] μὲν οὖν AM στρατείαν] Dindorf στρατιὰν codd. E *militum* Lat οὐ στρατείαν] coni. οὐ στρατιὰν codd. E *non expeditionem* Lat οὐκ ἐπιστρατείαν Ernesti *ἐπὶ eicit Hudson *δικαίων ed. pr. 16 χρημάτων] τῶν χρημάτων E *ταύτη AMW *ταχὺ ταύτη tr. W *μηδὲ W 17 *ὡσ ἔπρεπον P *συγγραφαί] συγγραφὰ ποιήσασθαι Ἡρῴδην ἀλλὰ Bekker σατορνῖνον A¹ ἐλθόντος coni. 18 δ' E 19 τούτων] τοῦ τῶν M et ex corr. A τούτω E ἐναντία συλαίου E ἐπομόσαντος] ἐπονομάσαντοσ A¹E 20 ἐκ om. AME 21 συλαίου E 23 μόλισ AMWE *statim* Lat *δὴ] οὖν δὴ P 24 ἐπιστρατείασ, ει i. ras. A ἐπιστρατιᾶσ P ἐπιστρατίασ W στρατείασ E 26 *ἠσεβημένον, ου i. ras. M

347 θεῶν καὶ τοῦ σοῦ, Καῖσαρ, ὀνόματος; τὰ δὲ περὶ τοὺς αἰχμαλώ-
τους ἐξῆς ἤδη λεκτέον. λῃσταὶ τῶν τὸν Τράχωνα κατοικούντων
τετταράκοντα τὸ πρῶτον εἶτ' αὖθις πλείονες τὰς Ἡρῴδου κολάσεις
διαφεύγοντες ὁρμητήριον ἐποιήσαντο τὴν Ἀραβίαν. τούτους ὑπε-
δέξατο Σύλλαιος ἐπὶ πάντας ἀνθρώπους τρέφων καὶ χώραν ἔδωκε 5
348 νέμεσθαι καὶ τὰ κέρδη τῶν λῃστῶν αὐτὸς ἐλάμβανεν. ὡμολόγησε
δὲ καὶ τούτοις ἐπὶ τοῖς αὐτοῖς ὅρκοις ἀποδώσειν κατὰ τὴν αὐτὴν
τοῦ δανείου προθεσμίαν. καὶ δύναιτ' ἂν οὐκ ἐπιδεῖξαι κατὰ τὸ
παρὸν οὔτ' ἄλλον τινὰ τῆς Ἀράβων χώρας ἢ τούτους ἐξῃρημένους
349 οὔτε πάντας, ἀλλ' ὅσοι μὴ λαθεῖν ἴσχυσαν. οὕτως οὖν καὶ τοῦ 10
τῆς αἰχμαλωσίας ἐπιρρόνου συκοφαντήματος περιφυγόντος μέγιστον,
ὦ Καῖσαρ, κατάμαθε πλάσμα καὶ ψεῦσμα πρὸς τὴν σὴν ὀργὴν
350 αὐτῷ ποιῆσαι. φημὶ γὰρ ἐπελθοῦσιν ἡμῖν τῆς τῶν Ἀράβων διανο-
μέως καὶ τῶν περὶ Ἡρῴδην πεσόντος ἐνὸς καὶ δευτέρου. τότε μόλις
ἀμυνομένου Νάκεβον τὸν στρατηγὸν αὐτῶν καὶ περὶ πέντε καὶ εἴ- 15
κοσι τοὺς πάντας * ὧν ἕκαστον αὐτὸς εἰς ἑκατὸν ἀναφέρων δισ-
χιλίους καὶ πεντακοσίους τοὺς ἀπολωλότας ἔλεγεν."

351 9. *Ταῦτα μᾶλλον ἐκίνει τὸν Καίσαρα καὶ πρὸς τὸν Σύλλαιον
ἐπιστραφεὶς ὀργῆς μεστὸς ἀνέκρινεν. ὁπόσοι τεθνήκασιν Ἀράβων.
ἀπορουμένου δ' αὐτοῦ καὶ πεπλανῆσθαι λέγοντος αἵ τε συνῆξαι 20
τῶν δανείων ἀναγινώσκοντο καὶ τὰ τῶν ἡγεμόνων γράμματα πόλεις
352 τε ὅσαι τὰ λῃστήρια κατηγιῶντο, καὶ πέρας εἰς τοῦτο μετέστη Καῖ-
σαρ, ὡς τοῦ μὲν Συλλαίου καταγνῶναι θάνατον. Ἡρῴδῃ δὲ διαλ-
λάττεσθαι μετάνοιαν ἐφ' οἷς ἐκ διαβολῆς πικρότερον ἔγραψεν αὐτῷ
πεπονθώς, καί τι τοιοῦτον εἰπεῖν εἰς τὸν Σύλλαιον, ὡς ἀναγκάσειεν 25
353 αὐτὸν ψευδεῖ λόγῳ πρὸς ἄνδρα φίλον ἀγωνιοῦντα. τὸ δὲ αἴτιον
ὁ μὲν Σύλλαιος ἀνεπέμπετο τὰς δίκας καὶ τὰ χρέα τοῖς δεδανει-
κόσιν ἀποδώσων εἰθ' οὕτω κολασθησόμενος. Ἀρέτας δ' οὐκ εἰμι-

PAMWELat

2 *τῶν om. W 3 *τεσσαράκοντα W *εἶτα W 4 διαφεύγοντας E 5 συλλαῖος A[1] συλλαῖος E 6 *τῶν λῃστῶν] latrocinii Lat *λῃστῶν, λῃστ i. ras. M *αὐτὸς ἐλάμβανεν] cum eis partiebatur Lat 7 *ἀποδόσειν P 8 *τῷ δανείῳ coni. *δύναιτο W οὐκ om. E 9 οὔτ'] coni. οὐδ' PAM οὐκ E, om. W 10 οὔτε] coni. οὐδὲ codd. E τοῦ] τοὺς W 12 ψεῦσμα καὶ πλάσμα tr. AME et ut uid. Lat 13 αὐτὸ E *ποιηθέν] πεποιῆσθαι P *φημὶ om. Lat τῶν om. AMWE 14 πεσόντων AME 16 τοὺς] συνέβη πεσεῖν E prostrauit post *πάντας add. Lat ἕκαστος E 17 *καὶ om. W 18 συλλαῖον E 19 *τεθνήκασιν] τεθνήκασι τῶν W 20 *δὲ W 21 *τὰ om. AM 22 τὰ om. AMWE *μετέστη] κατέστη AMWE mutatus Lat 23 συλλαίου E 26 ψεύδει W 27 συλλαῖος E *χρεᾶ P *δεδανεικῶσιν P 28 *εἶτα W οὕτως AME *δὲ W

νὴς ἦν Καῖσαρ, ὅτι τὴν ἀρχὴν μὴ δι' ἐκείνου καθ' αὑτὸν δὲ ἔλαβεν. ἐγνώκει δὲ καὶ τὴν Ἀραβίαν Ἡρῴδῃ διδόναι, διεκώλυσεν δὲ τὰ παρ' ἐκείνου πεμφθέντα γράμματα. τοῖς γὰρ περὶ τὸν Ὄλυμπον καὶ 354
Οὐολόμνιον εὐμενῆ Καίσαρα γενθανομένοις εὐθὺς ἔδοξεν ἐξ ἐντολῆς Ἡρῴδου τὰ περὶ τῶν παίδων γράμματα καὶ τοὺς ἐλέγχους ἀναδιδόναι. Καῖσαρ δὲ ἀναγνοὺς τὸ μὲν ἀρχὴν ἄλλην προσθεῖναι γέ- 355
ροντι καὶ κακῶς πράττοντι τὰ περὶ τοὺς παῖδας οὐκ ᾠήθη καλῶς ἔχειν, δεξάμενος δὲ τοὺς παρὰ Ἀρέτα καὶ τοῦτο μόνον ἐπετιμήσας, ὡς προπετείᾳ χρήσαιτο τῷ μὴ παρ' αὐτοῦ τὴν βασιλείαν ἀναμεῖ-
ναι λαβεῖν, τά τε ἄλλα πρόσταιτο καὶ τὴν ἀρχὴν ἐβεβαίωσεν.

XI. 1. Ἡρῴδῃ δὲ γράφει διηλλαγμένος ἐπί τε τοῖς παισὶν 356
ἄχθεσθαι λέγων καὶ δίον, εἰ μὲν ἀνοσιώτερόν τι τετολμήκασιν, ἐπιξῆναι πατρῴους ὄντας· αὐτῷ γὰρ ἐφεῖναι ταύτην τὴν ἐξουσίαν· εἰ δὲ θρασμὸν ἐνόησαν, ἄλλως τοι θετέον μηδὲν ἀνήκεστον δια-
πράττεσθαι. συμβουλεύειν δὲ ἔχειν αὐτῷ συνέδριον ἀποδείξαντα 357
περὶ Βηρυτόν, ἐν ᾗ κατοικοῦσιν Ῥωμαῖοι, καὶ παραλαβόντα τοὺς τε ἡγεμόνας καὶ τὸν βασιλέα τῶν Καππαδόκων Ἀρχέλαον ὅσους τε τῶν ἄλλων οἴεται φιλίᾳ τε καὶ ἀξιώματι ἐπιφανεῖς μετὰ τῆς ἐκείνου γνώμης ὅ τι χρὴ διαλαμβάνειν. Καῖσαρ μὲν τοιαῦτα ἐπέστειλεν. 358
ὁ δὲ Ἡρῴδης τῶν γραμμάτων ὡς αὐτὸν ἀπενεχθέντων περιχαρὴς μὲν εὐθὺς ἐπὶ ταῖς διαλλαγαῖς ἐγένετο, περιχαρὴς δὲ καὶ τῷ πάντ' ἐξεῖναι κατὰ τῶν παίδων αὐτῷ. καί πως τὸ μὲν οὐκ εὖ πράττειν 359
ἐν τῷ προτέρῳ χαλεπὸν μὲν ἀλλ' οὔτε θρασὺν οὔτε προπετῆ πρὸς τὴν ἀπώλειαν τῶν τέκνων παρεῖχεν αὐτόν, ἐν δὲ τῷ τότε μεταβο-
λῆς ἀμείνονος καὶ παρρησίας ἐπιλαβόμενος τὸ μῖσος ἐκενοδόξει

§ 356 = bell. Iud. I 536.

PAMWELat Zonaras I p. 449.

1 ὁ *καίσαρ* E *μὴ* om. W *καθ' αὐτὸν*, *θ* i. ras. corr. P *δὲ* om. W 2 **δὲ*] *γὰρ* W 3 *Ὄλυμπον*] WLat *ὀλύμπιον* (*μ* ex *ν* corr. A) PAM 4 *οὐολούμνιον* AM 4 *πυθομένοις* AMWE 6 *προσθεῖναι*] *προσεῖναι* PW *προστιθέναι* AME 8 *τοὺς παρὰ Ἀρέτα*] *legatos aretae* Lat *παρὰ*] *περὶ* AMWE *ἀρέτα* A *ἀρέταν* MWE 9 **τῷ*] *τὸ* M 10 **τε*] *δὲ* PW **ἐβεβαιώσατο* W 11 i. marg. *XVIIII* Lat 13 *ἐπεξέναι*] E *ἐπεξεῖναι* codd. *πατρῴους*] Bekker *πατρολόας* P *πατρολῴας* AM *πατρολοίας* WE **γὰρ ἐφεῖναι*] *γράφει εἶναι* P *γραφῆναι* W *ἐριέναι* coni. *ταύτην*] *πᾶσαν* E 14 *ἐνενόησαν* WE 15 **συνεβούλευεν* P *ἔχειν* om. E **συνέδριον* P 17 *καππαδοκῶν* AMWE 18 *ἀξιώμασιν* AME **ἐπιφανεῖς*] *εἶναι ἐπιφανεῖς* W 19 **Καῖσαρ*] *καὶ Καῖσαρ* coni. *ἐπέστειλε* E 21 **τῷ*] *τὸ* PW *πάντα* AMWE 22 *καί πως* — 60, 1 *ἐξουσίαν* om. ELat *πως*] Dindorf *πῶς* codd. *οὐκ* om. W 23 *τῷ πρότερον* AMW *πρὸς*] *ὡς* P 25 *ἐκαινοδόξει* A¹W *ἐν ἄλλοις γρ ἐκαινοτόμει* i. marg. A *ἐκενοτόμει* i. marg. M

360 τὴν ἐξουσίαν. διέπεμπεν οὖν ὅσους ἐδόκει καλεῖν εἰς τὸ συνέδριον
Ἀρχελάου χωρίς· ἐκεῖνον δὲ δι' ἔχθος οὐκ ἠξίου παραγγέλλειν ἢ
καὶ τῇ προαιρέσει νομίζων ἐμποδὼν ἔσεσθαι.
361 2. Γενομένων δὲ ἐν Βηρυτῷ τῶν ἡγεμόνων καὶ τῶν ἄλλων
ὅσοις τῶν πόλεων ἐκάλεσεν, τοὺς μὲν παῖδας, οὐ γὰρ ἠξίου παρα-
γειν εἰς τὸ συνέδριον, ἐν κώμῃ τινὶ Σιδωνίων εἶχεν Παλαιστῶ κα-
λουμένῃ πλησίον τῆς πόλεως, ὡς ἔχειν εἰ κληθεῖεν παραστῆσαι.
362 μόνος δὲ καὶ κατ' αὐτὸν εἰσελθὼν ἑκατὸν καὶ πεντήκοντα συγκαθη-
μένων ἀνδρῶν κατηγόρει κατηγορίαν οὐκ ὀδυνηρὰν ὡς πρὸς ἀνάγκην
ὧν ἠτύχει, πλεῖστον δὲ ἀπεοικυῖαν ἧς πατὴρ ἐπὶ παισὶν εἶπεν·
363 βίαιος γὰρ ἦν καὶ περὶ τὴν ἀπόδειξιν τῆς αἰτίας ἐτετάρακτο καὶ
μέγιστα θυμοῦ καὶ ἀγριότητος ἐνεδίδου σημεῖα, τοὺς τε ἐλέγχους
οὐκ ἐκείνοις ἐπιτρέπων καταμαθεῖν, ἀλλὰ συνηγορίαν αὐτοῖς προ-
τιθεὶς πατρὶ κατὰ παίδων ἀσχήμονα, καὶ τὰ γραφέντα δι' αὐτῶν ἐκεί-
νων ἀναγινώσκων, ἐν οἷς ἐπιβουλὴ μὲν ἥ τις ἐπίνοια δυσσεβείας οὐκ
ἐγέγραπτο, μόνον δὲ ὡς φιγεῖν βουλεύοιντο καὶ λοιδορίαι τινὲς εἰς
364 αὐτὸν ὀνείδη περιέχουσαι διὰ τὴν δύσνοιαν. ἐφ' αἷς ἐκεῖνος ὡς
ἐγένετο μᾶλλόν τε ἐξεβόα καὶ τὸ λεῖρὸν εἰς ὁμολογίαν τῆς ἐπι-
βουλῆς δι' ἐκείνων ἠνάγκαζεν ἐπομνύμενος, ὡς ἥδιον ἂν στέροιτο
365 τοῦ ζῆν ἢ τοιούτων ἀκούειν λόγων. τὸ δὲ τελευταῖον εἶπεν, ὅτι
καὶ τῇ φύσει καὶ τῇ Καίσαρος δόσει τὴν ἐξουσίαν αὐτὸς ἔχοι,
προσέθηκεν αὐτῷ καὶ πάτριον νόμον κελεύειν, εἴ του κατηγορήσαν-
τες οἱ γονεῖς ἐπιθοῖεν τῇ κεφαλῇ τὰς χεῖρας, ἐπάναγκες εἶναι τοῖς
366 περιοῦσιν βάλλειν καὶ τοῦτον ἀποκτείνειν τὸν τρόπον. ὅπερ ἔτυ-
μος ὢν αὐτὸς ἐν τῇ πατρίδι καὶ τῇ βασιλείᾳ ποιεῖν ὅμως ἀναμεῖ-

§ 360 = bell. Iud. I 538.

PAMWELat Zonaras I p. 449.

1 *διέπεμπεν οὖν*] εὐθὺς οὖν *διέπεμπεν* AME *statim accersiit* Lat *καλῶν* coni. *συνέδριον* P 2 *δὲ*] *γὰρ* AMWE *δι' ἔχθραν* E *ἢ*] *εἰ* P 4 *τῶν*] *τῶν τε* AMWE 5 *τῶν*] *ἀπὸ τῶν* AMW 6 *συνέδριον* P *Παλαιστῶ*] PM *παλαιστῶι* A *παλαιτῶ* P teste Herchero et Hudsono *πλατάνῃ* W et i. marg. AM cum bell. Iud. *palestum* Lat 7 *εἶχεν* P 8 *καὶ* om. P *καθ' αὐτὸν* AMWE 10 *δ'* E *ἢ*] Ernesti *ἥ* PAME *εἰ* W *εἶποι ἄν* coni. 11 *ἐπίδειξιν* AMWE 13 *προστιθεὶς* W 17 *αἷς*] *οἷσ* E 18 *τε*] *δὲ* W 19 *ἴδιον* W *στεροῖτο* P 20 *τοῦ ζῆν*] *τῆσ ζωῆσ* W *λόγων, ν* i. ras. A 21 *δόσει*] *δώσει* W *δόξῃ* E et i. marg. AM *ἔχει* E 22 *προσέθηκε*] *προσέθηκε δὲ* AMW *αὐτῷ* om. AMW *καὶ πάτριον αὐτῶ* tr. E *πάτριον νόμον*] *πάτριον οὕτωσ ὁ νόμοσ* W *κελεύειν*] PLat *ὃσ ἐκέλευεν* AME *ἐκέλευσεν* W *εἰ τοῦ* W 23 *ἐπιθεῖεν* Dindorf *τῇ*] *ἐν τῇ* P 24 *καὶ τοσοῦτον ἀποκτέννειν* W

ναι τὴν ἐκείνων κρίσιν, ἦκεν μέντοι δικαστὰς μὲν οὐχ οὕτως ἐπὶ φανεροῖς οἷς ἐκ τῶν παίδων ἀλίσκοι πάθοι, συνοργισθῆναι δὲ καιρὸν ἔχοντας, ὡς οὐδενὶ καὶ τῶν πόρρω γεγονότων ἀμελῆσαι τοιαύτης ἐπιβουλῆς ἄξιον.

3. *Ταῦτα τοῦ βασιλέως εἰπόντος καὶ τῶν νεανίσκων οὐδὲ ἕως* 367
ἀναλογίας ταραχῆς ὑπομεμενηκότων οἱ κατὰ τὸ συνέδριον, ὡς ἰατρικῆς καὶ διαλλαγῶν χεῖρον ἔχοι. τὴν ἐξουσίαν ἐπιβαίνων αὐτῷ.
καὶ πρῶτον μὲν Σατορνῖνος ἀνὴρ ὑπατικὸς καὶ τῶν ἐπ' ἀξιώμασι 368
ἀπιόντων γνώμην ἀφοσιοῦται περιστάσει χρώμενος· ἔφη γὰρ κατα-
δικάζειν μὲν τῶν Ἡρῴδου παίδων, πεῖναν δ' οὐκ οἴεσθαι δικαιῶν αὐτὸς παῖδας ἔχων καὶ τοῦ πάθους μείζονος ὄντος, εἰ καὶ πάντα δι' αὐτοὺς δεδυστύχηκεν. μετ' ἐκεῖνον οἱ Σατορνίνου παῖδες, εἴ- 369
κοντο γὰρ αὐτῷ περισβεναὶ τρεῖς ὄντες, τὴν αὐτὴν γνώμην ἀπε-
φήναντο, Οὐολόμνιος δὲ ἄντικρυς ἔφη κολάζειν θανάτῳ τοὺς οὕτως ἀσεβήσαντας εἰς τὸν πατέρα. τὰ δ' αὐτὰ καὶ τῶν ἓξῆς οἱ πλείους,
ὥστε καὶ μηκέτι ἄλλο τι δοκεῖν ἢ καταδεδικάσθαι τὴν ἐπὶ θανάτῳ
τοὺς νεανίσκους. κἀκεῖθεν μὲν εὐθὺς Ἡρῴδης ἦκεν ἄγων αὐτοὺς 370
εἰς Τύρον, καὶ τοῦ τε Νικολάου πλεύσαντος ὡς αὐτὸν ἐκ τῆς Ῥώμης ἐπυνθάνετο προδιηγησάμενος τὰ ἐν Βηρυτῷ, ἥντιν' ἔχοιεν γνώ-
μην περὶ τῶν παίδων αὐτοῦ καὶ οἱ ἐν Ῥώμῃ αὐτοῦ φίλοι, κἀκεῖνος 371
εἶπεν, ὅτι δοκοῖ μὲν ἁσφαλῆ εἶναι τὰ ἐκείνοις περὶ οἷς ἐγνωσμένα.
χρῆναι μέντοι αὐτοὺς καθειρξάντα δεσμώτας φυλάττειν. καὶ εἰ μὲν 372
ἕτερός σοι δοκοίη κολάζειν αὐτούς, μὴ φαίνοιτο ὀργῇ τὸ πλεῖον ἢ γνώμῃ κεχρῆσθαι, εἰ δὲ τἀναντία ἀπολύειν, μὴ ἀνεπανόρθωτον εἴη σοι τὸ ἁμάρτημα. ταῦτα δοκεῖ καὶ ἐν Ῥώμῃ τοῖς πλείστοις τῶν

§ 367 = bell. Iud. I 540.

PAMWELatZonaras I p. 450.

2 *καιρὸν*] *καὶ καιρὸν* W 5 *οὐδὲ*] *οὐδ'* E, om. Lat *ἕως*] *ὡσ τῆσ* AM *ἕωσ τῆσ* WE 6 **συνέδριον* P 7 **χεῖρον* W *ἔχοιεν* AMWE 8 i. marg. XV Lat *πρῶτος* AMWE *σατονρνίνος* E 9 *ἀηδεστάτη*] *ἀδημονεστάτη* AME *ἀδημονεστάτην* W *mitem* Lat 10 **δὲ* W **οὐχ* P **οὐκ — δικαιοῦν*] *non iustum arbitror* Lat **δίκαιον* ed. Geneu. 12 **δεδυστύχηκε* W *σατορνίνου* E 13 **τρεῖσ ὄντεσ περσβευταί* tr. W 15 **δὲ* W 16 **ὥστε* — 17 *ἦκεν*] *ut cum nihil ambiguum esset quominus intellegeretur morte damnatos adulescentes statim herodes — pervenit* Lat *καὶ* om. AMWE **μηκέτι* in *μηκέτ'* corr. P 17 *εὐθὺς* om. E 18 *τε*] *γε* AMWE 19 **προσδιηγησάμενοσ* P *ἥντινα* MWE et ex corr. A 20 **ἐν*] *ἐν τῇ* W 21 **δοκεῖν* P **εἶναι*] *μοι εἶναι* W 22 *καθειρξάντασ* A¹W 23 **ἑτέρωσ*] *ἕτερόν* A¹W et ut uid. Lat **δοκοίει* P **φαίνοιτο* P **πλείονον* P *πλέον* W 24 *μὴ*] *μὲν μὴ* AMW *ἀνεπανόρθωτον*] AMLat *ἐπανόρθωτον* PWE 25 **σοι* s. M *ταῦτα*] *τὰ αὐτὰ δὲ* AMWE *δοκεῖν* AME

σῶν φίλων." καὶ ὃς σιωπήσας ἐν πολλῇ ἐγένετο συννοίᾳ κἀκεῖνον ἐκέλευσεν συμπλεῖν αὐτῷ.

373 4. Ὡς δ' ἦλθεν εἰς Καισάρειαν γίνεται λόγος οὐκ ἦν εὐθὺς ἅπασιν τῶν παίδων καὶ μετέωρος ἡ βασιλεία, ποῖ ποτε χωρήσειεν
374 τὰ καθ' αὐτοὺς ἐκδεχομένων· δεινὸν γὰρ ἐπῆλθε πάντας δέος ἐκ παλαιοῦ καταστασιαζομένους εἰς αὐτὸ τὸ πέρας ἐλθεῖν, καὶ τοῖς μὲν πάθεσιν ἐδυσχέραινον, οὐκ ἦν δ' οὔτε εἰπεῖν τι προτετὲς οὔτ' ἄλλου λέγοντος ἀκούειν ἀκίνδυνον, ἀλλ' ἐγκεκλεισμένοι τὸν ἕλεον
375 ὀδυνηροῖς μὲν ἀναύδοις δὲ τὴν ὑπερβολὴν τοῦ πάθους ἔφερον. εἷς δὲ αὐτῶν πάλαι στρατιώτης ὄνομα Τίρων, υἱοῦ αὐτῷ καθ' ἡλικίαν ὄντος Ἀλεξάνδρῳ φίλου, πάνθ' ὅσα καὶ τοῖς ἄλλοις ὑποδυόμενος δι' ἡσυχίας ἦν, αὐτὸς ὑπ' ἐλευθερώτητος ἐξελάλει καὶ βοῶν ἠναγ-
376 κάζετο πολλάκις ἐν τοῖς πλήθεσιν ἀπαρακαλύπτως λέγων, ὡς ἀπόλοιτο μὲν ἡ ἀλήθεια, τὸ δὲ δίκαιον ἐκ τῶν ἀνθρώπων ἀνῃρημένων εἴη, κρατοῖεν δὲ τὰ ψεύσματα καὶ ἡ κακοήθεια καὶ τοσοῦτο νέφος ἐπάγοι τοῖς πράγμασιν, ὡς μηδὲ τὰ μέγιστα τῶν ἀνθρωπίνων πα-
377 θῶν ὁρᾶσθαι τοῖς ἁμαρτάνουσιν. τοιοῦτος ὢν ἐδόκει μὲν οὐκ ἀκινδύνως παρρησιάζεσθαι, τὸ δ' ἔλογον ἐκίνει πάντας οὐκ ἀνάν-
378 δρως αὐτοῦ πρὸς τὸν καιρὸν ἱσταμένου. διὸ καὶ πάνθ' ἅπερ αὐτὸς ἕκαστος εἴποιεν ἡδέως ἤκουον ὑπ' ἐκείνου λεγόμενα καὶ τὸ καθ' αὑτοὺς ἀσφαλὲς ἐν τῷ σιγᾶν προορώμενοι τὴν ἐκείνου παρρησίαν ὅμως ἀπεδέχοντο· τὸ γὰρ προσδοκώμενον πάθος βδιάζετο πάνθ' ὁντινοῦν ὑπὲρ αὐτοῦ λαλεῖν.

379 5. Ὁ δὲ καὶ πρὸς τὸν βασιλέα μετὰ πάσης παρρησίας ὡσάμενος μόνος μόνῳ λέγειν ἠξίου, καὶ συγχωρήσαντος „οὐ δυναμένου

§ 373 = bell. Iud. I 543.

PAMWELat Zonaras I p. 451.

1 σῶν om. E *ὅς] ὡσ P *ἐγένετο om. W *ἐννοία P *κἀκεῖνω AM 3 δὲ AMWE ἦλθεν] ἦκεν W ἦλθον E Καισάρειαν — ἦν] καισάρειαν γίνεται λόγος ὃς ἦν (litt. ρει suppl., αν — ἦν i. ras. circiter 14 litt. m. 2 A) AM *γίνεται fort. olim ad εἰς Καισάρειαν et Herodem spectabat οὐκ ἦν om. WE 5 αὐτοὺς] ἐκείνονσ AME *δέος om. AMW 6 αὐτὸ, o i. ras. A *αὐτὸ τὸ] τὸ αὐτὸ W 7 δὲ AMWE *οὔτε] οὐδὲ PW οὔτ'] οὔτε AMWE 8 ἐγκεκλημένοι E 10 *αὐτῷ AMW *ὀνόματι W τείρων AM τήρων WE *tyro* Latini cod. et edd. hic et infra, quod olim *tiro* fuisse uid. *αὐτῷ] αὐτοῦ PW *ἡλικίασ W 11 *ἀλεξάνδρου PM¹W *πάντα W 12 *ὑπ'] ὑπ' P 14 *τὸ δέ — 15 κακοήθεια om. W 15 τοσοῦτον AMW 16 ἐπάγει W ἀνθρωπείων AM 17 *οὐκ ἀκινδύνως] οὐκ κακείνω P οὐκ ἐκείνω W 18 *δὲ W *ἐκείνει P 19 *πάντα W 20 εἴποιεν ἕκαστοσ tr. WE εἶπειν Dindorf εἴποι ἂν coni. ἤκουεν PWE *τοῦ — 21 ἀσφαλοῦς coni.: sed cf. Thuc. I 17 23 πάντα ὁντινοῦν W 25 οὐ δυνάμενος] ὀδυνώμενοσ W

εἶπεν, ὦ βασιλεῦ, διακαρτερεῖν ἐπὶ τοιούτῳ πάθει τὴν τοιαύτην παρρησίαν, ἀναγκαίαν δὲ σοὶ καὶ συμφέρουσαν, εἰ λάβοις τι χρήσιμον ἐξ αὐτῆς, προύκρινα τῆς ἐμῆς ἀσφαλείας. ποῖ ποτε 380 οἴχονταί σου καὶ πεπτώκασιν ἐκ τῆς ψυχῆς αἱ φρένες; ποῖ δὲ καὶ ὁ περιττὸς ἐκεῖνος νοῦς, ᾧ πολλὰ καὶ μεγάλα κατώρθους; τίς δὲ ἡ τῶν φίλων καὶ συγγενῶν ἐρημία; κρίνω δὲ οὐδὲ παρόντας αὐτοὺς 381 συγγενεῖς εἶναι ἢ φίλους, οἳ περιορῶσι τοιοῦτο μῦσος ἐπὶ τῇ μακριζομένῃ ποτὲ βασιλείᾳ. σὺ δ' οὐ σκέψει τί τὸ πραττόμενόν ἐστιν; δύο νεανίσκους ἐκ βασιλίδος γυναικὸς γενομένους εἰς πᾶσαν 382 ἀρετὴν ἄκρους ἀναιρήσεις σεαυτὸν ἐν γήρᾳ καταλιπὼν ἐφ' ἑνὶ παιδὶ κακῶς οἰκονομήσαντι τὴν εἰς αὐτὸν ἐλπίδα καὶ συγγενέσιν, ὧν αὐτὸς τοσαυτάκις ἤδη κατέγνωκας θάνατον; οὐκ ἐννοεῖς, ὅτι καὶ τῶν 383 ὄχλων ἡ σιωπὴ τὴν αμοιγίαν ὅμως ὁρᾷ καὶ μισεῖ τὸ πάθος, ἥ τε στρατιὰ πᾶσα καὶ ταύτης οἱ πρωτεύοντες ἔλεον μὲν τῶν ἀτυχούντων, μῖσος δὲ τῶν ταῦτα διαπραττομένων ἐσχήκασιν;" ἤκουεν τού- 384 των ὁ βασιλεὺς ἐν ἀρχῇ μὲν οὐ παντάπασιν ἀγνωμόνως, ἀλλὰ τί δεῖ καὶ λέγειν, διεκίνησεν αὐτὸν ἀψαμένου τοῦ Τίρωνος ἐναργῶς τοῦ τε πάθους καὶ τῆς περὶ τοὺς οἰκείους ἀπιστίας. αὖθις δὲ ὁ 385 μὲν ἐπαίδευσε κατὰ μικρὸν ἀμύρῳ καὶ στρατιωτικῇ χρώμενος παρρησίᾳ· τὸ γὰρ ἀπαίδευτον ὑπερξέπιπτε τοῦ καιροῦ, παραχῆς δὲ Ἡρῴδης ἐνεπίμπλατο, καὶ μᾶλλον ὀνειδίζεσθαι δοκῶν ἢ πρὸς τὸ 386 συμφέρον ἀκούειν τῶν λόγων, ἐπειδὴ καὶ τοὺς διακειμένους στρατιώτας καὶ τοὺς ἀγανακτοῦντας ἡγεμόνας ἐπύθετο, προστάττει τῷ

§ 379 = bell. Iud. I 545.

PAMWELatZonaras I p. 451.

1 ὦ om. W *διακαρτέρει* W 2 *λάβοι* W 4 **σχοντό* W *σου*] *σοι* E *καὶ* (post δὲ) om. AME 5 **κατόρθους* P *κατώρθωσας* ed. pr. 7 *εἶναι συγγενεῖς* tr. AMWE **τοιοῦτον μῖσος* W 8 **ποτὲ*] *τότε* P **δὲ* W *σκέψῃ* AMWE *τὸ*] PZon, om. AMWE 9 *δύο*] *εἰ δύο* E *γυναικὸς*] *σοὶ γυναικὸς* AMELat *γενομένους*] PA¹E *γεννωμένους* M et ex corr. A *γεγεννημένους* W 10 **ἄκρους* W **ἀναιρήσεις*] *εἰ ἀναιρήσεισ* (*εἰ* suppl. A) AM **καταλειπὼν* P 11 **συγγενέσιν ὧν*] *συγγενεσίων* P 12 *ἤδη τοσαυτάκισ* tr. WE *κατέγνωσ* WE *ἐννοεῖς*] coni. *ἐννοήσοι* P *ἐνθυμήσεισ* AMWE *cogitas* Lat 13 *αμοιγίαν*] *ἀμαρτίαν* AMWE *crudelitatem* Lat *ἀλογίαν* Zedler **ὅμως*] *ἄλλοσ* P 14 **προτεύοντεσ* P 16 **οὐ*] *οὖν* M 17 *αὐτὸν*] *ἑαυτὸν* WE *τείρωνοσ* AM *τήρωνοσ* WE *tyronis* Lat, uide ad § 375

20 *ὑπερεξέπιπτε* AME *ἐξέπιπτεν* W 21 *ἐνεπίμπλαστο* E¹ 22 **συμφέρειν* M **ἐπειδὴ*] *ἐπεὶ δὲ* M et i. marg. A *ἐπεὶ* W **διακειμένους*] *κακῶς διακειμένους* uel simile desiderat Ernesti 23 *τῷ* — 64, 1 *ἁπάντων* corrupta *τῷ τε ὀνόματι*] *τῶν τε ὀνομαστὶ* AMW *τούσ τε ὀνομαστὶ* E *τῷ τε*] *μετὰ τῶν* Cocceji

τε ὀνόματι δηλωθέντων ἁπάντων καὶ τὸν Τίρωνα δήσαντας ἔχειν ἐν φυλακῇ.

387 6. *Τούτου γενηθέντος ἐπιτίθεται τῷ καιρῷ καὶ Τρύφων τις κουρεὺς τοῦ βασιλέως, ὃς ἔφη προσελθὼν ὡς πείθοι πολλάκις αὐτὸν ὁ Τίρων, ὁπόταν θεραπεύῃ βασιλέως ξυρῷ τὸν λαιμὸν ἀποτέμνειν· ἔσεσθαι γὰρ ἐν πρώτοις περὶ Ἀλέξανδρον καὶ μεγάλας*
388 *λήψεσθαι δωρεάς. ταῦτ' εἰπόντα συλλαμβάνειν κελεύει, καὶ μετὰ ταῦτα βάσανος ἦν τοῦ τε Τίρωνος καὶ τοῦ παιδὸς αὐτοῦ καὶ τοῦ*
389 *κουρέως. διακαρτεροῦντός τε τοῦ Τίρωνος ὁρῶν ὁ νεανίσκος τὸν πατέρα χαλεπῶς μὲν ἤδη διακείμενον, ἔχοντα δὲ οὐδεμίαν ἐλπίδα σωτηρίας αὐτῷ τε τὸ μέλλον ἐκ τῆς περὶ τὸν πάσχοντα δυσχερείας προῦπτον, ἔφη μηνύσειν τῷ βασιλεῖ τὴν ἀλήθειαν, εἰ παραιτήσεται διὰ τοῦ φράσαι τῆς βασάνου καὶ τῆς αἰκίας αὐτόν τε καὶ τὸν*
390 *πατέρα. ὄντος δὲ πίστιν ἐπὶ τούτοις ἔλεγεν ὡς εἴη τις συνθήκη ἐπιθέσθαι δι' αὐτοχειρίας βασιλεῖ τὸν Τίρωνα. προσελθεῖν γὰρ εὔπορον εἶναι μόνον μόνῳ καὶ δράσαντα παθεῖν τι τῶν εἰκότων*
391 *οὐκ ἀγεννὲς Ἀλεξάνδρῳ χαριζόμενον. ταῦτα μὲν οὖν ἐκεῖνος εἰπὼν ἐξαιρεῖται τὸν πατέρα τῆς ἀνάγκης, ἄδηλον εἴτε τὴν ἀλήθειαν ἐκβιασθεὶς φράζειν, εἴτε κἂν παραγραφὴν νοήσας τινὰ ταύτην τῶν κακῶν αὐτῷ καὶ τῷ γεγεννηκότι.*

392 7. *Ὁ δὲ Ἡρώδης οὐδ' εἴ τι πρότερον ἦν αὐτῷ ἐνδοιάσιμον περὶ τὴν τεκνοκτονίαν τούτῳ τόσον ἢ χώραν ἐν τῇ ψυχῇ καταλελοιπώς, ἀλλὰ πᾶν ἐξηρημένης τὸ διενεγκόμενον αὐτῇ μετανοίαν ἀμείνονος λογισμοῦ παρασχεῖν ἔσπευσεν ἤδη τέλος ἐπιθεῖναι τῇ πρᾶ-*

§ 387 = bell. Iud. I 547.

PAMWELat Zonaras I p. 451.

1 *δηλωθέντας* E *ἁπάντων*] om. E *ἁπάντας* ed. pr. *τείρωνα* AM *τήρωνα* WE **δήσαντεσ* W 3 **τούτου*] *τοῦ* P 5 **αὐτὸν* om. W *τείρων* AM *τήρων* WE *ὁπόταν θεραπευθῇ βασιλεὺς* coni. *ὁπόταν — ἀποτέμνειν*] *ut regem tondens guttur eius inciderem* Lat *θεραπεύοι* PAE *βασιλέως*] *βασιλέα* AM *τὸν βασιλέα* WE *ξυρῷ*] *ξυρῶν* P *ξυρῶ αὐτοῦ* E **λεμὸν* P *ἀποτεμεῖν* AMWE 6 *πρώτοις*] *πρώτοισ τοῖσ* WE 7 *ταῦτα* AMWE 8 *τε* om. WE *τείρωνοσ* AM *τήρωνοσ* WE 9 *τε*] *δὲ* AME *τείρωνοσ* (*εἰ* ex corr. M) AM *τήρωνοσ* WE 10 *δ'* AME 11 *αὐτῷ* (*-τῶι* A) A[1]E *αὐτό* W **τὸ*] *τε* P **μέλλον* ex *μένον* corr. A 12 **τῷ βασιλεῖ*] *τὸν βασιλέα* W 13 *τόν τε πατέρα καὶ αὐτὸν* tr. E 14 *συνθήκη τισ* tr. AMWE 15 *τείρωνα* AM *τήρωνα* WE 17 *οὖν* om. AMWE 18 **ἐκβισθεὶσ* P 20 **αὐτῶι* A 21 **οὐδὲ* W **εἴ τι*] *εἰ τὸ* P *εἰσ τὸ* W *ἐνδοιάσιμον ἦν αὐτῷ* tr. AMWE 22 **καταλελοιπὼσ ἐν τῇ ψυχῇ* tr. W 23 *τὸ διενέγκαν* PW *μετάνοιαν*] *ὑπόνοιαν* P 24 **ἔσπευδεν* M

ρέσει. καὶ προαγαγὼν εἰς ἐκκλησίαν τριακοσίους τε τῶν ἡγεμόνων 393
τοὺς ἐν αἰτίᾳ γενομένους καὶ τὸν Τίρωνα σὺν τῷ παιδὶ καὶ τῷ
πρὸ ἐκείνου διελέγχοντι κουρεῖ κατηγορίαν ἁπάντων αὐτῶν ἐποιή-
σατο. κἀκείνους μὲν τὸ πλῆθος ἀεὶ τοῖς παρατυχοῦσιν βάλλοντες 394
ἀπέκτειναν. Ἀλέξανδρος δὲ καὶ Ἀριστόβουλος ἀχθέντες εἰς Σε-
βαστὴν ἐπιτάξαντος τοῦ πατρὸς στραγγάλῃ κτείνονται. τὰ δὲ σώ-
ματα νύκτωρ εἰς Ἀλεξάνδρειαν ἀπήχθετο τοῦ τε μητροπάτορος ἔχει
καὶ τῶν τελείστων αὐτοῖς προγόνων κειμένων.

8. Ἴσως μὲν οὖν οὐκ ἄλογον ἑνίοις καταφαίνεται τρεφόμενον 395
ἐκ πολλοῦ τὸ μῖσος οὕτως αὐξηθῆναι καὶ περαιτέρω προελθὸν ἀπο-
νικῆσαι τὴν φύσιν. ἐπίστασις δὲ γένοιτ' ἂν εἰκότως, εἴτε εἰς τοὺς
νεανίσκους ἀνοιστέον τὴν τοιαύτην αἰτίαν πρὸς αἰτίαν ἐνάγοντας
τὸν πατέρα καὶ χρόνῳ παρασκευάσαντας ὑπὸ καλεπότητος ἀνήκε-
στον αὐτοῖς, εἴτε καὶ πρὸς αὐτὸν ἐκεῖνον, ἀπαθῆ καὶ περιττὸν ὄντα 396
περὶ τὴν ἐπιθυμίαν τῆς ἀρχῆς καὶ τῆς ἄλλης εὐδοξίας, ὡς μηδένα
οἴεσθαι παραλειπτέον ἐφ' ᾧ πᾶν τὸ βουλόμενον ἀνίκητον ἔχειν.
ἢ καὶ τὴν τύχην παντὸς εὐγνώμονος λογισμοῦ μείζω τὴν δύναμιν 397
ἐσχηκέναι. ὅθεν καὶ πειθόμεθα τὰς ἀνθρωπίνας πράξεις ὑπ' ἐκεί-
νης προκαθωσιῶσθαι τῇ τοῦ γενέσθαι πάντως ἀνάγκῃ καὶ καλοῦ-
μεν αὐτὴν εἱμαρμένην, ὡς οὐδενὸς ὄντος, ὃ μὴ δι' αὐτὴν γίνεται.
τοῦτον μὲν οὖν τὸν λόγον ὡς μείζω πρὸς ἐκεῖνον ἀρκέσει κινεῖν 398
ἡμῖν τι αὐτοῖς ἀποδιδόντας τι καὶ τὰς διαφορὰς τῶν ἐπιτηδευμά-
των οὐκ ἀνυπευθύνους ποιοῦντας, ἃ πρὸ ἡμῶν ἤδη πεφιλοσόφηται
καὶ τῷ νόμῳ. τῶν δὲ ἄλλων δύο τὸν μὲν ἀπὸ τῶν παίδων μέμ- 399
ψαιτ' ἄν τις αἰτίαν ὑπό τε αὐθαδείας νεωτερικῆς καὶ βασιλικῆς
οἰήσεως, ὅτι καὶ διαβολῶν ἠνείχοντο κατὰ τοῦ πατρὸς καὶ τῶν

PAMWELat Zonaras I p. 452.

1 *προάγων P τε] eras. A om. ME 2 τείρωνα AM τήρωνα WE 3 πρὸ ἐκείνου] ἐκείνονς E αὐτῶν om. E ἐποιεῖτο E 4 ἀεὶ om. E 5 *Σεβαστὴν] caesaream Lat 7 *ἀλεξάνδριον M et ex corr. A 8 *κειμένων] finis libri XVI; §§ 395—404 desunt ELat 10 περαιτέρω P προελθὼν W 11 γένοιτο W εἰς om. W 12 πρὸς αἰτίαν] πρὸσ αἴτιον ὀργῆς AMW πρὸσ ὁτιοῦν ὀργῆς Cocceji πρὸς ἄκρον ὀργῆς Ernesti ἐνάγοντας] ἀγαγόντας AM ἀναγαγόντας W 16 παραλειπτέον] coni. παραληπτέον codd. ἀκίνητον W 17 ἢ om. W τύχην] ψυχὴν P 19 προκαθωσιῶσθαι P προσκαθωσιῶσθαι W τῆσ W γενήσεσθαι coni. ἀνάγκησ W καλοῦμεν] καλουμένην W 20 γίγνεται W 21 μείζω] νομίζω T. Terry apud Hudson κινεῖν] κρίνειν T. Terry 22 τε] δὲ W ἀποδίδοντά ed. pr. διαφθορὰς T. Terry 23 ἀνευθύνους M ἀνευθύνους W 24 τὸν] coni. τῶν P τὴν AMW μέμψαιτ'] μέμψεται W 25 ὑπό] ἀπό P αὐθαδίας P

πραττομένων αὐτῷ περὶ τὸν βίον οὐκ εὐμενεῖς ἦσαν ἐξετασταί, καὶ κακοήθεις μὲν ὑπονοεῖν, ἀκριτεῖς δὲ λέγειν, εὑάλωται δὲ δι' ἀμ-
400 φότερα τοῖς ἐπιτιμῶσιν αὐτοὺς καὶ πρὸς χάριν καταμηνύουσιν. ὃ μέντοι πατὴρ οὐδ' ἐντροπῆς ἄξιος ἔοικεν φαίνεσθαι τοῦ περὶ ἐκείνους ἀσεβήματος. ὃς οὔτε πίστιν ἐπιβουλῆς ἐναργῆ λαβὼν οὔτε παρασκευὴν ἐπιχειρήσεως ἐλέγχειν ἔχων ἐτόλμησεν ἀποκτεῖναι τοὺς ἐξ αὐτοῦ φύντας, ἀρίστους μὲν τὰ σώματα καὶ περιπόθητους πᾶσιν τοῖς ἀλλοτρίοις, οὐκ ἀποδέοντας δὲ ἐν τοῖς ἐπιτηδεύμασιν, εἴ
401 που θηρᾶν ἢ γυμνάζεσθαι τὰ πολέμων ἢ λέγειν ὑπὲρ τῶν ἐμπε-
σόντων ἔδει. τούτων γὰρ ἁπάντων μετεῖχον. Ἀλέξανδρος δὲ καὶ μᾶλλον ὁ πρεσβύτερος· ἤρκει γάρ, εἰ καὶ κατέγνω, καὶ ζῶντας ὅμως ἐν δεσμοῖς ἢ ξενιτεύοντας αὐτὸ τῆς ἀρχῆς ἔχειν μεγάλην ἀσφάλειαν
402 αὐτῷ περιβεβλημένῳ τὴν Ῥωμαίων δύναμιν, δι' ἣν οὐδὲν οὐδ' ἐξ ἐφόδου καὶ βίᾳ παθεῖν ἐδύνατο. τὸ δ' ἀποκτεῖναι ταχὺ καὶ πρὸς ἡδονὴν τοῦ νικῶντος αὐτὸν πάθους ἀσεβείας τεκμήριον ἀν-
403 τετιμήτου * καὶ τῆς ἡλικίας οὔσης ἐν γήρᾳ τοσοῦτον ἐξημαρτεν. ἥ γε μὴν παρολκὴ καὶ τὸ χρονίζον οὐκ ἂν αὐτῷ συγγνώμην τινὰ φέροι· ταχὺ μὲν γὰρ ἐπλαγέντα καὶ κεκινημένον χωρῆσαι πρός τι τῶν ἀτόπων, εἰ καὶ δυσχερές, ἀλλ' ἀεὶ συμβαίνον, ἐν ἐτιστάσει δὲ καὶ μήκει πολλάκις μὲν ὁρμηθέντα πολλάκις δὲ μελλήσαντα τὸ
404 τελειταῖον ὑποστῆναι καὶ διαιράσασθαι, φονώσης καὶ δυσμετακι-
νήτου ψυχῆς ἀπὸ τῶν χειρόνων. ἐδήλωσεν δὲ καὶ τοῖς αὖθις οὐκ ἀπυσχόμενος αὐδὲ τῶν περιλοιπων ὅσους ἐδόκει φιλτάτους, ἐφ' οἷς τὸ μὲν δίκαιον ἔλαττον ἐποίει συμπαθεῖσθαι τοὺς ἀπολλυμένους, τὸ δ' ὠμὸν ὅμοιον ἦν τὸ μηδὲ ἐκείνων φεισάμενον. διέξιμεν δὲ ὑπὲρ αὐτῶν ἑξῆς ἀφηγούμενοι.

PAMW

1 περί] κατὰ W 4 οὐδὲ W ἔοικεν ἄξιος tr. W ἔοικεν om. M τοῦ] ἐκ τοῦ coni. 8 εἴ] ἤ P 9 πολέμων] πόλεων P πολέμου ed. pr. 10 Ἀλέξανδρος — 16 ἐν γήρᾳ om. P 11 κατέγνω καὶ] κατέγνωκαι A¹ κατέγνωκε M et ex corr. A 13 οὐδ'] coni. οὔτ' AM οὔτε W 14 βίᾳ W δὲ W 15 αὐτὸν] αὐτὴν W 16 καὶ] εἰ coni. οὔσης] ἔτι οὔσης W ἐν] σὺν W post ἐν ras. 2—3 litt. A 17 ἥ γε μὴν] εἴ γε μὴ ἡ P 17 συγγνώμην οὐκ ἂν αὐτῷ tr. W 18 καὶ om. P 19 ἀλλὰ W 20 μήκει om. ed. pr. μελήσαντα M τὸ] om. M ras. 2—3 litt. A 21 τελευταῖον, τε i. ras man. recent. A ὑποστῆναι] δὲ ὑποστῆναι W 24 συμπαθεῖσθαι] συμπαθεῖσ τε W 25 δὲ W τὸ] τῷ AM φεισάμενον] coni. φεισαμένων P φεισαμένῳ AMW διέξιμεν P

Subscriptiones: φλαυίου ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας τομος ις P φλαυίου ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας ις AM τέλος φλαβίου ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας τοῦ ις' λόγου W

XVII.

Τάδε ἔνεστιν ἐν τῇ ἑπτακαιδεκάτῃ τῶν Ἰωσήπου ἱστοριῶν τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς Ἀντίπατρος ἐμισήθη ὑπὸ παντὸς τοῦ ἔθνους διὰ τὴν ἀναίρεσιν τῶν ἀδελφῶν αὐτοῦ καὶ ὡς διὰ ταῦτα ἐθεράπευεν τοὺς ἐν Ῥώμῃ πολλοῖς χρήμασιν καὶ τὸν πεπιστευμένον τὴν Συρίαν Σατορνῖνον καὶ τοὺς σὺν αὐτῷ ἡγεμόνας.

Ὡς Ἡρῴδης ὁ βασιλεὺς ἰδὼν τὴν Τραχωνῖτιν χώραν μὴ δυναμένην εὐκατοίκητον διὰ τὰς ἐπιδρομὰς τῶν Ἀράβων, Ζάμαριν Ἰουδαῖον ἐκ Βαβυλῶνος ἐπαχωρήσαντα καὶ ἐν Ἀντιοχείᾳ διατρίβοντα μεταπεμψάμενος ἐγκατῴκισεν αὐτῇ, καὶ ἐχρῆτο αὐτῷ προβλήματι πρὸς τοὺς Ἄραβας.

Ὡς Ἡρῴδου τοὺς Ἀλεξάνδρου καὶ Ἀριστοβούλου τῶν υἱῶν αὐτοῦ παῖδες ἀρουσαμένου καὶ τὰς Φερώρα θυγατέρας μνηστεύσαντος αὐτοῖς, Ἀντίπατρος ἔπεισεν τὸν πατέρα τὴν μνηστείαν εἰς τοὺς παῖδας μεταθέσθαι τοὺς αὑτοῦ. καὶ ὡς ἐθεράπευσεν Ἀντίπατρος τοὺς περὶ Φερώραν βουλόμενος ἤδη δι' αὐτῶν ἐπιβουλεῦσαι τῷ πατρί.

ὡς γνοῦσα ἡ ἀδελφὴ τοῦ βασιλέως Σαλώμη κρυφαίως ἀπήγγειλεν τῷ ἀδελφῷ.

ὡς Ἡρῴδης παρήγγειλεν Ἀντιπάτρῳ μὴ φοιτᾶν πρὸς Φερώραν μηδὲ ἀσπάζεσθαι μηδὲν ἀπαγγέλλειν αὐτῷ. ὁ δὲ φανερῶς μὲν οὐδὲν ἐποίει, ἀλλὰ κρυπτῶς, καὶ ταῦτα δὲ οὐκ ἐλάνθανεν τὸν Ἡρῴδην.

ὡς Ἀντίπατρος ἔγραψεν τοῖς ἐν Ῥώμῃ φίλοις παρακαλῶν αὐτοὺς χρῆσθαι τῷ πατρὶ αὐτοῦ πείθοντας, ἵνα πέμψῃ αὐτὸν πρὸς Καίσαρα μετὰ πολλῶν χρημάτων, καὶ πεισθεὶς Ἡρῴδης ἐξέπεμψεν τὸν υἱόν.

PAMWLat

1 τῇ] τῷ AM ιζ' AMW Ἰωσήπου] om. M ἰωσή · που A 2 ἀρχαιολογίας] ἀρχαιολογίαι κεφάλαια P singulis capp. ascripsit α'—κ' W, I—XVIIII Lat 4 διὰ τοῦτο A ἐθεράπευεν W 5 σατο · ρνῖνον A 7 τραχωνίτην A¹W 10 ἐγκατώκησεν PA¹MW 12 ὡς Ἡρώδου — 15 αὐτοῦ priori capiti adiungit Lat τοὺς] τοῦ PMW 15 ἐθεράπευεν AM 17 ὡς] καὶ ὡς AMWLat antecedenti capiti adiungentes κρυφαίως P 18 τῷ ἀδελφῷ — 19 παρήγγειλεν om. P 19 ὡς] καὶ ὡς W παρήγγελλεν W 20 ἀπαγγέλλειν] παραγγέλλειν AM 22 ἔγραψε W 24 ἠρωίδης A

ὡς Ἀντίπατρος ἔπεισεν Φερώραν, ἵνα ἀνέλῃ τὸν πατέρα αὐτοῦ Ἡρῴδην φαρμάκῳ διὰς αὐτὸς τὸ φάρμακον τῷ Φερώρᾳ. καὶ ὡς ὁ βασιλεὺς Ἡρῴδης περιγγειλεν τῷ ἀδελφῷ αὐτοῦ Φερώρᾳ ἐκβαλεῖν τὴν γυναῖκα αὐτοῦ ἡ ἀναχωρῆσαι ἐκ τῆς βασιλείας. ὁ δὲ ἀμύνως ἤκουσεν καὶ ἀνεχώρησεν εἰς τὴν ἰδίαν τετραρχίαν κἀκεῖ μετ' οὐ πολὺ 5
τελευτᾷ.

κατηγορία τῆς γυναικὸς Φερώρα ὑπὸ τῶν ἀδελφῶν Φερώρα ὡς ἀναιρεθέντος φαρμάκῳ. καὶ ὡς Ἡρῴδης ἐκζητήσας εὗρε τὸ φάρμακον κατεσκευασμένον ἐπ' αὐτῷ ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀντιπάτρου, καὶ βασανίσας ἔγνω τὰς Ἀντιπάτρου ἐπιβουλάς. 10

κατάπλους Ἀντιπάτρου ἐκ Ῥώμης πρὸς τὸν πατέρα. καὶ ὡς κατηγορηθεὶς ὑπὸ Νικολάου τοῦ Δαμασκηνοῦ καὶ κατεγνωσθεὶς θάνατον ὑπὸ τοῦ πατρὸς καὶ ὑπὸ Κοντιλλίου Οὐάρου τοῦ τότε πιστευμένου τὴν Συρίαν τόθη μίχρι τῆς ἐσομένης διαγνώσεως ὑπὸ Καίσαρος. 15

προβολὴ σημαθεῖσα ὑπὸ Ἡρῴδου πρὸς Καίσαρα περὶ Ἀντιπάτρου. καὶ ὡς Καῖσαρ ἀκούσας τὰς κατηγορίας κατέγνω αὐτοῦ θάνατον.

περὶ τῆς Ἡρῴδου νόσου καὶ στάσεως τῶν Ἰουδαίων δι' αὐτήν, καὶ κόλασις τῶν στασιαστῶν.

ὡς δέξαντος Ἀντιπάτρου Ἡρῴδην τετελευτηκέναι Ἀντίπατρος διαλεχθεὶς τῷ σωματοφύλακι περὶ ἀφέσεως, καὶ διὰ τεῦτα Ἀντιπάτρου 20
ἀναίρεσις.

Ἡρῴδου τελευτὴ καὶ διαθήκη τοῦ αὐτοῦ πρὸς Καίσαρα καὶ μερισμὸς πρὸς τοὺς τρεῖς υἱοὺς αὐτοῦ. καὶ ὡς Ἀρχέλαον βασιλέα ποιεῖ τῆς Ἰουδαίας.

ἐπιστολὴ Ἡρῴδου πρὸς τὸν στρατὸν καὶ ἑκάστῳ αὐτῶν δωρεὰ 25
καὶ παράκλησις πίστεως πρὸς τὸν υἱὸν αὐτοῦ Ἀρχέλαον.

ταφὴ Ἡρῴδου ἐν Ἡρωδίῳ τῷ φρουρίῳ. καὶ ὡς ὁ λαὸς ἐστασίασαν πρὸς τὸν υἱὸν αὐτοῦ Ἀρχέλαον ἐν τῇ ἑορτῇ.

ὡς Ἀρχέλαος τρισχιλίους αὐτῶν ἀνεῖλεν, αὐτὸς δὲ ἔπλευσε πρὸς 30
Καίσαρα οὐκ ἐῶν τῷ ἀδελφῷ αὐτοῦ Ἡρῴδῃ εἰς Ῥώμην πωτίσας τὴν βασιλείαν αὐτοῦ τῷ ἀδελφῷ Φιλίππῳ.

ὡς Σαβῖνος ὁ ἐν τῇ Συρίᾳ Καίσαρος ἐπίτροπος ἀνέβη εἰς Ἱερο-

PAMWLat

2 *φαρμάκῳ — τῷ Φερώρᾳ* om. Lat *τῷ*] *ἐν τῷ* (*ἐν* deletum) M *ὡς* s. M 7 *κατηγορία* — 8 *φαρμάκῳ* priori capiti adiungit A *ἀδελφῶν*] *ἀπελευθέρων* ed. pr. *φερώρᾳ* W 8 *καὶ ὡς*] PLat *ὡσ* AM nouum cap. indicantes *εὗρε τὸ*] *εὕρατο* P 9 *ἐπ' αὐτὸν* AM 13 *κοντιλλίου* AW *κοινιτιλλίου*, *κ* i. ras. M *quintillo* Lat *τότε ἐμπεπιστευμένον* AM 16 *ἀκούσας* om. M 17 *αὐτήν*] *αὐτόν* PW 18 *στασιασάντων* A 19 *qualiter antipater putans herodem defunctum locutus fuerit* Lat *δόξαντος ἡρώδην τετελευτηκέναι ἀντιπάτρου διαλεχθεὶη* AM 20 *σωματοφύλακι*] *custodi carceris* Lat *διὰ τοῦτο* AM *propter haec* Lat *ἀντιπάτρου* in ras. W 22 *herodis mors* post u. 24 tr. addito numero *XIII* Lat *καὶ διαθήκη*] *διαθήκη* nouum cap. indicantes AM *τοῦ αὐτοῦ*] *ἡρώδου* AMW 23 *τρεῖς*] *γ'* A 25 *τοῦ ἡρώδου* M 25 *ἑκάστου* AM 26 *Ἀρχέλαον* om. Lat 29 *ἔπλευσεν* W 30 *Ἡρῴδῃ* om. W 31 *τῷ ἀδελφῷ αὐτοῦ* tr. M

σύλημα βίᾳ αὐτῶν τὰ Ἡρῴδου χρήματα καὶ φρούρια παρὰ τῶν Ἀρχελάου ἐπιμελητῶν.

ὡς ἔπεισαν οἱ τοῦ Ἀρχελάου ἐπιμεληταὶ τὸν λαὸν χωρεῖν ἐπὶ ὅπλα καὶ πολιορκῆσαι τὸν Σαβῖνον καὶ τὸν στρατὸν ἐν τῇ Ἀντωνίᾳ. καὶ ὡς ταῦτα ἀκούσας ὁ Οὔαρος μετὰ μεγάλης δυνάμεως ἀνέβη εἰς Ἱεροσόλυμα καὶ ῥυσάμενος τὸν Σαβῖνον ἐκ τῆς πολιορκίας τοὺς αἰτίους τῆς στάσεως ἐκόλασεν καὶ καλῶς διαθεὶς τὰ ἐν τῇ Ἰουδαίᾳ ἔγραψε Καίσαρι δηλῶν αὐτῷ τὰ πραχθέντα.

ὡς Καῖσαρ τὰς Ἡρῴδου διαθήκας βεβαίας ἐποιήσατο φιλέρως τοῖς υἱοῖς αὐτοῦ τὴν διαδοχήν. καὶ ὡς κατηγορεῖται Ἀρχέλαος ὑπὸ τῶν συγγενῶν αὐτοῦ ἐπὶ Καίσαρος καὶ νικήσας ἔλαβεν τὴν βασιλείαν, καὶ βασιλεύσας μοχθηρῶς ὑπεκστὰς πάλιν κατηγορηθεὶς ἐξορίσθη εἰς Βίενναν, τὴν δὲ βασιλείαν αὐτοῦ μετέθηκεν Καῖσαρ εἰς ἐπαρχίαν.

περιέχει ἡ βίβλος χρόνον ἐτῶν ιδ'.

I. 1. *Ἀντιπάτρῳ δὲ ἀραμένῳ τοὺς ἀδελφοὺς ἀσεβείᾳ τε τῇ* 1
ἑαυτάρχῃ καὶ ἀλαστορίᾳ τῇ ἐπ' αὐτοῖς τὸν πατέρα περιβλεπτότατα οὖσι κατὰ γνώμας ἡ ἐλπὶς τοῦ αὐθις βίου ἦν· ἀναλλαγεὶς γὰρ φόβου τοῦ ἐπὶ τῇ ἀρχῇ διὰ τὸ τῶν ἀδελφῶν μὴ ἐπικοινωνῆσον, ἐργωδέστερον καὶ ἄπορον αὐτῷ εὕρισκεν τὸ τῆς βασιλείας περιγενέσθαι· τοσόνδ' ἐφέν τῷ ἤθνει μῖσος πρὸς αὐτόν. ὄντος δὲ αὐτῷ 2
καὶ τοῖδε χαλεποῦ πλείονος παρελθεῖν τὸ στρατιωτικὸν ἀλλοτρίως ἔχον τῇ γνώμῃ πρὸς αὐτόν, εἰς οὓς τὰ κάντα ἦν τοῖς βασιλεῦσιν ἀναλείμενα τοῦ οἰκείου ἀσφαλοῦς, ὁπότε τύχοι τὸ ἔθνος νεωτέρων ὀριγνώμενον πραγμάτων· τοσόνδε κίνδυνον ἐμηχανήσατο αὐτῷ ὁ ὄλεθρος τῶν ἀδελφῶν. οὐ μὴν ἀλλὰ καὶ συνῆρχέν γε τῷ παρὼν λογος 3

§ 1 = bell. Iud. I 552.

PAMWELat Zonaras I p. 452.

3 *τοῦ Ἀρχελάου* om. AMWLat 4 *τὸν στρατὸν*] *romanum exercitum* Lat 5 *καὶ ὡς* nouum cap. indicat P 8 *αὐτῷ τὰ πραχθέντα* om. AMW *τὰ πραχθέντα*] *cuncta* Lat 10 *διαδοχήν*] *testamentum* Lat *καὶ ὡς* nouum cap. indicant codd. 11 *καὶ* om. W 13 post *ἐπαρχίαν* addit: *κ' ἡρώδης γεντᾶ ἀλέξανδρον ἀριστόβουλον ἀντίπατρον ἀρχέλαον φίλιππον* W 14 *περιέχει — ιδ'* i. marg. rubro scriptum W *ἡ βίβλος*] *ὁ παρὼν λογος* W *ιδ'*] *δεκατεσσάρων* P

in P post argumenta (fol. 286) excidit folium *φλαυίου ἰωσήπου ἰώσηπου* A) *ἰουδαϊκῆς ἀρχαιολογίας λόγος ιζ'* praemittunt AME 16 *ἀλαστορίᾳ τῇ*] *ἀλαστορκῶ* W 17 **κατὰ γνώμας*] *κατὰ γνώμην* W *pro uoto* Lat 19 **ἐργωδεστέραν*, i. marg. *γρ ἐργωδέστερον* A *ἐργοδέστερον* W *αὐτῷ* ex corr. A *εὕρισκε τὸ* E *εὑρίσκετο* W **τὴν βασιλείαν παραγενέσθαι* W 20 **ἐφύει* W *αὐτῷ*] *αὐτοῦ* W 23 *ὁπότε*] *et maxime quotiens* Lat 25 *γε*] *τε* W

δὲν ἄλλο ἦ ὡς βασιλεὺς ὢν καὶ ἐπιστεύετο παρ' αὐτῷ μειζόνως. ἐξ ὧν ἀπολωλέναι καλῶς εἶχεν εὐνοίας βεβαιώματα εὑρημένος. ὡς ἐπ' ἀσφαλείᾳ σωτηρίας τῆς Ἡρώδου τοὺς ἀδελφοὺς ἐνδεδειχώς, ἀλλ' οὐκ ἔχθρᾳ τῇ πρὸς ἐκείνους καὶ πρὸ αὐτῶν πρὸς τὸν πατέρα
4 τοιαῖδε αὐτὸν περιεσπένδον ἀραί. ἅτερ δὴ πάντα μιχαναὶ τῆς 5
ἐπὶ τὸν Ἡρώδην ὁδοῦ ἵσταντο Ἀντιπάτρῳ, ἐρημοῦντι αὐτὸν μὲν κατηγόρων ἐφ' οἷς πράττειν διενοεῖτο, Ἡρώδην δὲ καταφυγῆς οἵ βοηθοῖεν αὐτῷ τοῦ Ἀντιπάτρου φανερῶς πολεμίου καταστάντος·
5 ὥστε μίσει μὲν τῷ πρὸς τὸν πατέρα ἔπρασσεν τὴν ἐπιβουλὴν τῶν
ἀδελφῶν, τὸ δὲ ἤπτειο μειζόνως τοῦ ἐγχειρῶν μὴ ἀφίεσθαι τῆς 10
πράξεως· ἀποθνήσκοντος μὲν γὰρ Ἡρώδου, βεβαίως αὐτῷ περιγενομένης τῆς ἀρχῆς, ἐξικνουμένου δὲ εἰς τὸ πλέον ἔτι ζῆν, κινδύνων ἀντιπεριστάντων ἐξαγγέλτου γενομένης τῆς πράξεως, ἧς συνθέτης
6 γεγονὼς πολέμιον ἠνάγκαζε τὸν πατέρα καταστῆναι. καὶ διὰ τοῦ
χαρίζεσθαι πολυτελὴς ἦν τοὺς περὶ τὸν πατέρα, κέρδεσι μεγάλοις 15
ἐκπλήσσων τὸ τῶν ἀνθρώπων μῖσος πρὸς αὐτὸν καὶ μάλιστα τοὺς ἐπὶ Ῥώμης φίλους πομπαῖς μεγάλων δωρεῶν ἔθνους καθιστάμενος,
7 πρὸ πάντων δὲ Σατορνῖνον τὸν τῆς Συρίας ἐπιμελητήν. ὑπάξεσθαί
τε ἦν ἐλπὶς αὐτῷ καὶ τὸν Σατορνίνου ἀδελφὸν μεγέθει δώρων. ἃ ἐδίδου, καὶ τὴν ἀδελφὴν τοῦ βασιλέως ἀνδρὶ πρώτῳ τῶν περὶ τὸν 20

§ 6 = bell. Iud. I 554.

AMWELat Zonaras I p. 452.

1 *ὡς om. W 5 *τοιαῖδε — ἀραί*] *talibus enim cum maliloquiis induxerat* Lat, corruptela aperta est, fort. aliquid excidit *τοιαῖδε*] *τότε δὲ* W *περιεσπένδον*] M περισπένδον, ο ex ω corr. A *περιέσπενδον* W et i. marg. AM *περιέσπεν* coni. *ἀραί*, *αἱ* ex ᾱ corr. A 6 *ἠρωίδην* hic et u. 7 A *αὐτὸν* M et ex corr. A 7 *Ἡρώδην — αὐτῷ*] *herodes autem omni refugio nudaretur non habens qui sibi auxiliarentur* Lat *δὲ*] *δὲ αὖ* W *οἵ*] *εἰ* W *οἱ βοηθεῖεν*] *ἢ βοηθείας* Hudson 8 *βοηθεῖεν* W 9 *τῷ*] *το* W *ἔπραττε* W 10 *τὸ δὲ — 14 καταστῆναι*] *pulsabat autem eum amplius, ut ab incepto non desisteret, quod cernebat moriente quidem herode certo sibi principatum esse uenturum, prolixius autem uiuente patre multa sibi surrectura pericula, si eius factio proderetur, cuius existebat ipse compositor et quae, si palam fieret, hostem illi patrem compellebat existere* Lat *τὸ*] *τότε* W *ἐγχειρεῖν* ex *ἐγχειρῶν* corr. W *ἐκ χειρῶν* Cocceji *ἀφίεσθαι*] *ἀφέξεσθαι* W 11 *γὰρ* om. Dindorf 12 *ἔτι ζῆν*] *ἐπιζῆν* W 13 *ἀντιπεριστάντων*] *ἂν περιστάντων* W 14 *καὶ διὰ τοῦ — 16 αὐτὸν*] *propter quod ad donandum erat largus et affluus etiam eos, qui circa patrem erant lucris pulsabat ingentibus, ut aduersus eum hominum odia concitarent* Lat *τοῦ*] *τοῦτο* ed. pr. 15 *τοὺς*] *τοῖς* Cocceji 17 *καθισταμένους* W 18 *σατουρνῖνον* A¹ *ὑπάξεσθαι*] i. marg. A *ὑποδέξασθαι* AMW 19 *σατουρνίνου* A¹

Ἡρῴδην συνοικοῦσαν τῷ αὐτῷ τρόπῳ χρώμενος. ψευσάμενός τε φιλίαν πρὸς τοὺς ὁμιλοῦντας δεινότατός τις ἦν περιστεῦσθαι καὶ μῖσος ἀράμενος ἐφ' οὕστινας ἐπιχειρῆσαι συνετώτατος. οὐ μὴν ἥμαια γε τὴν τηθίδα προκαταγνοήκειαν ἐκ πλείονος αὐτὸν καὶ μηκέθ' οἵαν οὖσαν παραλογισθῆναι καὶ διὰ τὸ ἤδη παρασκευῇ τῇ πάσῃ ἀντιτετάχθαι αὐτοῦ πρὸς τὸ κακότροπον. καίτοι θυγατρὶ αὐτῆς συνῴκει θεῖος πρὸς μητρὸς Ἀντιπάτρου προνοίᾳ τῇ ἐκείνου καὶ διατραξει παραλαβὼν τὴν χώραν πρότερον Ἀριστοβούλῳ γεγαμημένην· τὴν δὲ ἑτέραν ὁ ἐκ τοῦ ἀνδρὸς αὐτῆς Καλλέα παῖς γυναῖκα εἶχεν. ἀλλ' οὐδὲν ἦλπιζεν τῷ μὴ κατανοεῖσθαι πονηρὸν ὄντα ἢν ἡ ἐπιγαμία τεῖχος, ὥσπερ οὐδ' ἡ πρότερον συγγένεια πρὸς τὸ οὐ μισηθῆναι. τὴν δὲ Σαλώμην Ἡρῴδης ἐσπουδακυῖαν Συλλαίῳ τῷ Ἄραβι γαμηθῆναι κατ' ἐρωτικὴν ἐπιθυμίαν βιάζεται τῷ Ἀλεξᾷ συνοικεῖν συμπρασσούσης αὐτῷ Ἰουλίας καὶ πειθούσης τὴν Σαλώμην μὴ ἀνήσασθαι τὸν γάμον, μὴ καὶ ἔχθρα καθίσταιτο αὐτοῖς προϊόντως ὁμωμοκότος Ἡρῴδου μὴ ἂν γνώσεσθαι Σαλώμῃ μὴ ὑποδεξαμένῃ τὸν Ἀλεξᾶ γάμον. καὶ ἐπείθετο Καίσαρός τε οὔσῃ γυναικὶ τῇ Ἰουλίᾳ καὶ ἄλλως συμβουλευούσῃ πάνυ συμφέροντα. ἐν τούτῳ δὲ καὶ τὴν Ἀρχελάου θυγατέρα τοῦ βασιλέως Ἡρῴδης ὡς τὸν αὐτῆς πατέρα ἐξέπεμψεν Ἀλεξάνδρῳ συνῳκισμένην ἐκ τῶν αὐτοῦ τὴν προῖκα ἀποδούς, ὥστε ἀμφισβήτημα αὐτοῖς μηδὲν εἶναι.

2. Ἀνέτρεφεν δὲ αὐτὸς τῶν παίδων τὰ τέκνα πάνυ ἐπιμελῶς· ἦσαν γὰρ τῷ μὲν Ἀλεξάνδρῳ ἐκ Γλαφύρας ἄρσενες δύο, Ἀριστοβούλῳ δὲ ἐκ Βερενίκης τῆς Σαλώμης θυγατρὸς ἄρσενές τε τρεῖς καὶ θήλειαι δύο. καί ποτε παρόντων αὐτῷ τῶν φίλων παραστη-

§ 7 = bell. Iud. I 553; § 12 = bell. Iud. I 552.

PAMWELatZonaras I p. 452

1 τῷ αὐτῷ] *suo* Lat 2 τις om. W καὶ μῖσος — 3 συνετώτατος] *et ad odium dissimulandum nalde credibilis et ad celandum semetipsum satis astutissimus* Lat 4 τηθίδα W *nutricem* Lat 5 μηκέτ' W. καὶ om. Dindorf 6 ἀντιτετάχθαι] ἀντιτεχνάσθαι W ‖ καίτοι incip. fol. 287 P 7 θεῖος πρὸς om. PLat 8 παραλαβὼν] λαβὼν W κόριν P 9 δὲ] γὰρ AMWLat ὁ om. W καλλία PM καλλαία W *calleas* Lat 10 ἐπεὶ τῶν P 11 ἦν om. W ἐπιγαμεῖα W 12 *ἡρώιδησ A *ἐσπουδακῦαν P συλαίω E *sylaco* Lat 13 *ἄραβει P βιάζει E 14 *σὺνπρασσούσησ P Ἰουλίας] *Ioulias* τῆσ καίσαροσ γυναικὸσ E *τὴν σαλώμην ex τῆσ σαλώμησ corr. P 15 *μὴ i. ras. M *ἐχθρὰ PW 16 προύπτως] προῦπτοσ WE *maturius* Lat *ἀποδεξαμένῃ Ernesti 19 ἡρωίδησ A 20 τὸν ἑαυτῆς E αὐτοῦ M et ex corr. A 21 ἀμφισβήτιμα P 22 i. marg. *II* Lat *αὐτὸς] αὐτοῖσ W 23 *ἄρσενεσ, i. marg. γρ ἄρσενεσ M 24 βερνίκησ WE *bernice* Lat 25 *θήλειαι P

σάμενος τὰ παιδάρια καὶ τῶν υἱέων ἀνακλαίσας τὴν τύχην ἤχθετο μηδὲν τοιόνδε παισὶν τοῖς ἐκείνων συνελθεῖν. αἰξηθέντας δὲ ἀρετῇ καὶ συμφορᾷ τοῦ δικαίου τὰς τροφὰς ἀμείψασθαι, ἃς τοιοῖτο.
14 ἐγεγύητό τε εἰς γάμον, ὁπότε ἀφικοίατο εἰς ὥραν τὴν ἐπ' αὐτῷ, τῷ μὲν πρεσβυτέρῳ τῶν Ἀλεξάνδρου παίδων Φερώρου θυγατέρα, τῷ δὲ Ἀριστοβούλου τὴν Ἀντιπάτρου, καὶ θυγατέρα τὴν Ἀριστοβούλου ἐπωνόμαζε παιδὶ τῷ Ἀντιπάτρου, τὴν δὲ ἑτέραν τῶν Ἀριστοβούλου θυγατέρων Ἡρῳδῃ παιδὶ τῷ αὐτοῦ· γίνεται δὲ τῷ βασιλεῖ οὗτος ἐκ τῆς τοῦ ἀρχιερέως θυγατρός· παίριον γὰρ πλείοσιν
15 ἐν ταὐτῷ ἡμῖν συνοικεῖν. ἔπρασσε δὲ τὰς μνηστείας τῶν παίδων ὁ βασιλεὺς ἐλέῳ τῶν ὀρφανῶν εἰς εὔνοιαν αὐτῶν διὰ τὴν ἐπιχαιρίαν
16 τὸν Ἀντίπατρον προκαλούμενος. Ἀντίπατρος δὲ γνώμῃ τῇ πρὸς τοὺς ἀδελφοὺς πολιτεύειν οὐκ ἐνέλειπεν καὶ πρὸς τοὺς παῖδας αὐτοῖς γεγονότας, ἥ τε τοῦ πατρὸς σπουδὴ περὶ αὐτοὺς ἠρέθιζεν αὐτὸν μείζονας ἔσεσθαι τῶν ἀδελφῶν προσδεχόμενον, καὶ μάλιστα
ὁπότε ἀνδρωθείεν. Ἀρχελάου προσληψομένου τοῖς θυγατριδοῖς βασιλέως ἀνδρὸς καὶ Φερώρου τῷ λήψομένῳ τὴν θυγατέρα· τετράρ-
17 χης δὲ καὶ οὗτος ἦν. ἐπήγειρε δ' αὐτὸν καὶ τὸ πᾶν πλῆθος ἐλέῳ μὲν τὰ πρὸς τοὺς ὀρφανοὺς χρώμενον, μίσει δὲ πρὸς αὐτὸν τὰ πάντα ἐξαγαγεῖν οὐκ ἀπηλλαγμένον κακοτροπίᾳ τῇ ἐπὶ τοῖς ἀδελ-
φοῖς. ἐμηχανᾶτο οὖν διάλυσιν τῶν τῷ πατρὶ ἐγνωσμένων, ἐν δεινῷ
18 τιθέμενος προσλήψει τοσῇδε αὐτοὺς ὁμιλῆσαι δυνάμεως. καὶ μετέπιπτεν Ἡρῴδης ἔχων δεῖσει τῇ Ἀντιπάτρου, ὥστε αὐτὸν μὲν τὴν Ἀριστοβούλου θυγατέρα γαμεῖν καὶ τὴν Φερώρου τὸν υἱὸν αὐ-

§ 13 = bell. Iud. I 556.

PAMWELat Zonaras I p. 453.

2 *συνελθεῖν, συν i. ras. M 3 καὶ συμφορᾷ τοῦ δικαίου om. Lat συμφορᾷ] συμπεριφορᾷ coni. 4 ἐγεγγύητο A ἐγεγγύηντο M ἐγγεγγύητο WE ἀφίκοιντο WE 6 *τῷ δὲ — θυγατέρα om. W 7 *ἐπονόμαζε P ἐπωνόμαζε, ω ex αρ corr. uid. W 8 αὐτοῦ AMWE 9 *οὗτος om. W πλείοσιν ἐν ταὐτῷ ἡμῖν] πλείοσιν ἐν τούτῳ ἡμῖν PAM ἐν ταὐτῷ πλείοσιν ἡμῖν W ἡμῖν πλείοσιν ἐν ταὐτῷ E 10 ἐν ταὐτῷ] simul Lat *ἔπραττε M 12 *προσκαλούμενος W *γνώμην τὴν M et ex corr. A 13 πολιτεύειν] i. marg. γρ (om. M) τολιπεύειν AM *ἐνέλειπεν P ἔλιπεν W *καὶ] καὶ τὰ coni. *τοὺς om. AMW αὐτοῖς] τοὺς αὐτοῖς E 15 μείζονας] Henn. μείζονα PAM μείζονος W eos maiores ac meliores Lat 16 προσληψομένου] προσδεχομένου AMW 17 τῷ ληψομένῳ] τῷ νῦν ληψομένῳ W 18 δὲ W 19 μίσει — 20 ἀδελφοῖς] aduersus eum autem odium in omnibus gerebat, propter quod clara erat tantae in fratres iniquitatis astutia Lat πρὸς] τῷ πρὸς AMW 20 κακοτροπίαν τῆς W 22 προσλήψει — δυνάμεως] si tanta contra se talium adunaretur potentia Lat 23 *ἠρώιδησ A 24 *θυγατέρα ἀριστοβούλου tr. W

τοῦ. καὶ τὰ μὲν τῶν ὁμολογιῶν τοῦ γάμου τοῦτον κινεῖται τὸν τρόπον ἄκοντος τοῦ βασιλέως.

3. Ἡρῴδῃ δὲ τῷ βασιλεῖ κατὰ τοῦτον τὸν χρόνον συνῴκουν 19 ἐννέα γυναῖκες, ἥ τε Ἀντιπάτρου μήτηρ καὶ ἡ Θυγάτηρ τοῦ ἀρχιερέως, ἐξ ἧς δὴ καὶ ὁμώνυμος αὐτῷ παῖς γεγόνει· ἦν δὲ καὶ ἀδελφοῦ παῖς αὐτῷ μία γεγαμημένη καὶ ἀνεψιὰ σὺν αὐτῇ. καὶ ταῖσδε μὲν τέκνον οὐδὲν ἐφύη. ἦν δ' ἐν ταῖς γυναιξὶν κἀκ τοῦ Σαμαρέων 20 ἔθνους μία καὶ παῖδες αὐτῆς Ἀντίπας καὶ Ἀρχέλαος καὶ Θυγάτηρ Ὀλυμπιάς. καὶ ταύτην μὲν ὕστερον Ἰούστος γαμεῖ βασιλέως ἀδελφιδοῦς ὤν, Ἀρχέλαος δὲ καὶ Ἀντίπας ἐπὶ Ῥώμης παρά τινι ἰδίᾳ τροφὰς εἶχον. Κλεοπάτρα δὲ Ἱεροσολυμίτις γεγάμητο αὐτῷ 21 καὶ παῖδες ἐξ αὐτῆς Ἡρῴδης τε ἐγεγόνεισαν καὶ Φίλιππος, ὃς καὶ αὐτὸς ἐν Ῥώμῃ τροφὰς εἶχεν. καὶ Παλλὰς δὲ ἐν ταῖς γαμεταῖς Φασαήλου τετιμημένη παῖδα αὐτῷ, πρός γε μὴν ταύταις Φαῖδρα καὶ Ἐλπίς, ἐξ ὧν Θυγατέρες δύο ἦσαν Ῥοξάνη καὶ Σαλώμη. τὰς 22 δὲ πρεσβυτέρας αὐτοῦ Θυγατέρας ὁμοιωτρίας τῶν περὶ Ἀλέξανδρον, ὧν περιεώρα Φερώρας τὸν γάμον, συνῴκουν ἡ μὲν Ἀντιπάτρῳ τοῦ βασιλέως ἀδελφῇ παιδὶ ὄντι, Φασαήλῳ δὲ ἡ ἑτέρα· καὶ οὗτος Ἡρῴδου ἀδελφοῦ παῖς ἐγεγόνει. καὶ τοῦτο μὲν Ἡρῴδου τὸ γένος ἦν.

II. 1. Τότε δὲ βουλόμενος πρὸς Τραχωνίτας ἀσφαλὲς εἶναι 23 κώμην πόλεως μέγεθος οὐκ ἀποδέουσαν ἔγνω Ἰουδαίων κτίσαι ἐν μέσῳ. δυσέμβολόν τε ποιεῖν τὴν αὐτοῦ καὶ τοῖς πολεμίοις ἐξ ἐγγίονος ὁρμώμενος ἐκ τοῦ ὀξέος κακουργεῖν. καὶ ἐπιστάμενος ἄνδρα 24

§ 19 = bell. Iud. I 562.

PAMWELat

1 *κινεῖται*] *gerebantur* Lat *γίνεται* E 2 *ἄκοντος*] *εἴκοντος* Naber 5 **δὴ* om. W *ἐγεγόνει* AMWE 6 **αὐτῇ*] *αὐταῖσ* W 7 **δ' ἐν*] *δὲν* A^1 *δὲ* M et ex corr. A 8 **αὐτῇ* W **Ἀντίπας*] *antipatras* cod. Ambros. Lat; item u. 10 9 **ἰοseppus* Lat 10 *ἐπὶ *Ῥώμης* om. AMWE 11 **ἰδίῳ*] *ἰδιώτῃ* ed. pr. *familiarem* Lat *Ἰουδαίῳ* coni. *Κλεοπάτρα*] *καὶ κλεοπάτρα* E **δὲ*] *τε* W **ἱεροσολυμείτισ* P *γεγαμείτο* P *ἐγεγάμητο* E 12 *τε* om. E 13 *δὲ*] *δὲ ἦν* AMWE et ut uid. Lat 14 *faselum* Lat **αὐτῶ παῖδα* tr. W **μὴν* om. W **φαιδρὰ* P 15 *Ἐλπίς*] *ἐλπὶσ ἦσαν* AMWE et ut uid. Lat *helpis* Lat **Ῥωξάνη*] *rexama* Lat **τὰς* — 16 *Θυγατέρας*] *filiae autem maiores* Lat 17 *συνῴκουν ἡ μὲν*] *γρ* (om. M) *συνῴκισε τῇ μὲν* i. marg. AM *συνῴκισεν τῷ μὲν* W *συνῴκισε τὴν μὲν* E *coniunctae erant una quidem* Lat 18 **ἀδελφῇ* P **faselo* Lat *τὴν ἑτέραν* WE 19 **Ἡρῴδου τὸ γένος ἦν*] *ex dispositione factum erat herodis* Lat 20 *τραχωνίτιν* E 21 **ἔγνω* om. W **Ἰουδαίων*] *iudaeis* Lat **ἐμμέσω* P 22 *καὶ* om. E *καὶ τοῖς* — 23 *κακουργεῖν* om. Lat *ἐξ ἐγγίονος*] *ἐξέγγιον ὅσ* P *ἐξ ἐγγίονος* — 23 *ἐπιστάμενος* om. E 23 *ὁρμώμενος* — *ἐπιστάμενος* om. W uerbis *ὁρμώμενος* — *καὶ* notas '' apposuit m. 1 aut 2 expungendi causa ut uid. A, expunxit M *ἐκ*] *ἐμβαλὼν ἐκ* AM *ὀξέος*] Dindorf *ὀξέωσ* codd. *ἐπιστάμενος*] *ἐπιστάμενοσ οὖν* AM *ἄνδρα*] *ἄνδρα οὖν* WE

Ἰουδαῖον ἐκ τῆς Βαβυλωνίας σὺν πεντακοσίοις ἱπποτοξόταις πᾶσι καὶ συγγενῶν πλήθει εἰς ἑκατὸν ἀνδρῶν τὸν Εὐφράτην διαβεβηκότα κατὰ τύχας ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ τῆς Συρίας διαιτᾶσθαι Σατορνίνου τοῦ τότε στρατηγοῦντος εἰς ἐνοίκησιν αὐτῷ δεδωκότος
25 χωρίον. Οὐλαθὰ ὄνομα αὐτῷ, μετεπέμπετο τοῦτον σὺν τῷ πλήθει 5
τῶν ἑπομένων. παρέξειν ὑπισχνούμενος γῆν ἐν τοπαρχίᾳ τῇ λεγομένῃ
Βαταναίᾳ, ὡρίζετο δὲ αὕτη τῇ Τραχωνίτιδι, βουλόμενος πρόβλημα
τὴν κατοίκησιν αὐτοῦ κτᾶσθαι, ἀτελῆ τε τὴν χώραν ἐπηγγέλλετο
καὶ αὐτοὺς εἰσφορῶν ἀπηλλαγμένους ἅπασῶν. αἳ εἰωθυῖαι ἐγκατοι-
κεῖν τὴν γῆν ἄπρακτον παρασχόμενος. 10
26 2. Τούτοις πεισθεὶς ὁ Βαβυλώνιος ἀφικνεῖται καὶ λαβὼν τὴν
γῆν φρούρια ᾠκοδομήσατο καὶ κώμην, Βαρθύραν ὄνομα αὐτῇ θέμε-
νος. πρόβλημά τε ἦν οὗτος ὁ ἀνὴρ καὶ τοῖς ἐγχωρίοις τὰ πρὸς
τοὺς Τραχωνίτας καὶ Ἰουδαίων τοῖς ἐκ Βαβυλῶνος ἀφικνουμένοις
κατὰ θυσίαν ἐπὶ Ἱεροσολύμων τοῦ μὴ λῃστείαις ὑπὸ τῶν Τραχω- 15
27 νιτῶν κακουργεῖσθαι, πολλοί τε ὡς αὐτὸν ἀφίκοντο καὶ ἁπανται-
χόθεν, οἷς τὰ Ἰουδαίων θεραπεύεται πάτρια. καὶ ἐγένετο ἡ χώρα
σφόδρα πολυάνθρωπος ἀδείᾳ τοῦ ἐπὶ πᾶσιν ἀτελοῦς. ἃ παρέμεινεν
αὐτοῖς Ἡρώδου ζῶντος. Φίλιππος δὲ υἱὸς ἐκείνου παραλαβὼν τὴν
28 ἀρχὴν ὀλίγα τε καὶ ἐπ' ὀλίγοις αὐτοὺς ἐπράξατο. Ἀγρίππας μέν- 20
τοι γε ὁ μέγας καὶ ὁ παῖς αὐτοῦ καὶ ὁμώνυμος καὶ πάνυ ἐξετρύ-
χωσαν αὐτούς, οὐ μέντοι τὰ τῆς ἐλευθερίας κινεῖν ἠθέλησαν. παρ'
ὧν Ῥωμαῖοι δεξάμενοι τὴν ἀρχὴν τοῦ μὲν ἐλευθέρου καὶ αὐτοὶ τη-

---

PAMWELat

1 mirum est Babylonii nomen hic non extare σὺν] σὺν ἱππεῦσι (εῦσι i. ras. maiore M) AMELat ἱππεῦσι W σὺν — πᾶσι] *cum equitibus quingentis et sagittariis plurimis* Lat 2 *πλήθη M 3 *τῇ] τὴν W *διαιτᾶσθαι] *διαιτας* AMW 4 *σατορνίνου PA[1] 5 Οὐλαθὰ] οὐλαθὰ W i. marg. γρ (om. M) οὐάλαθα AM *balatha* (*palata* cod. Amb.) Lat, cf. XV 10, 3 6 τοπαρχίᾳ] τῇ ἐπαρχία E 7 βοταναίᾳ E *ὡρίζετο — Τραχωνίτιδι] *determinauerat enim eum in tracomitide constituendum* Lat αὕτη] E αὐτῷ P et ut uid. Lat αὐτὴν, ἣν i. ras. corr. A αὐτὴ MW 8 *κτᾶσθαι] καταθέσθαι M *ἀτελῆ — 10 παρασχόμενος] *promittebat itaque illam regionem sine tributis esse daturum, et liberos fore ab omnibus quae moris erant illius regionis habitatoribus exhibere, immunemque eius terram et nullis inlationibus obnoxiam praebiturum* Lat *ἐπήγγελτο AM 9 ἁπασῶν ἃ εἰωθυῖαι om. E *ἐγκατοικεῖν antea lacuna indicata Dindorf 11 *πισθεὶς W 12 *Βαρθύραν*] *βάθυραν* AM *βαθυρὰν* WE *bathyra* (*bethira* cod. Amb.) Lat 14 *τοῖς] τοὺς W 15 διὰ θυσίαν WE 16 *καὶ i. ras. M 18 *παρέμενεν* WE 19 υἱὸς] *δεύτερος* AMWE, *γρ υἱὸς ἐκείνου* i. marg. A *γρ υἱὸς* i. marg. M *filius* Lat 20 ἐπ' ὀλίγοις AMWE *parvo tempore* Lat αὐτοὺς] E *αὐτοῖς* codd. 21 *καὶ (post αὐτοί) eiic Cocceji

ροῦσιν τὴν ἀξίωσιν, ἐπιβολαῖς δὲ τῶν φύρων εἰς τὸ πάμπαν ἐπίεσαν αὐτούς. καὶ τάδε μὲν ἡ καιρὸς ἀκριβώσομαι προϊόντος τοῦ λόγου.

3. Τελευτᾷ δὲ Ζάμαρις ὁ Βαβυλώνιος, ὃς ἐπὶ κτήσει τῆσδε 29
τῆς χώρας Ἡρώδῃ προσποιεῖται, ζήσας τε μετὰ ἀρετῆς καὶ παῖδας
λειπόμενος ἀγαθούς, Ἰάκειμον μέν, ὃς ἀνδρείᾳ γενόμενος ἐπιφανὴς
ἱππεύειν συνεκρότησε τὸ ὑφ' αὑτῷ Βαβυλώνιον, καὶ ἴλῃ τῶνδε τῶν
ἀνδρῶν ἐδορυφόρει τοῖσδε τοῖς βασιλεῦσι. καὶ Ἰάκειμος δὲ ἐτ γηρᾳ 30
τελευτῶν Φίλιππον τὸν υἱὸν κατέλιπεν ἄνδρα κατὰ χεῖρας ἀγαθὸν
καὶ τὰ ἄλλα ἀρετῇ χρήσθαι παρ' ὁντινοῦν ἀξιόλογον. διόπερ φιλίᾳ
τε πιστῇ καὶ εὔνοια ἀσφαλεῖ αὐτῷ πρὸς Ἀγρίππαν γίνεται τὸν
βασιλέα, στρατιάν τε ὑπόσην ὁ βασιλεὺς ἔτριφεν οὗτος ἀσκῶν διε-
τέλει καὶ ὅπῃ ἐξοδεύειν δεήσειεν ἡγούμενος.

4. Ἡρώδου δ' ἐν οἷς εἶπον ὄντος ἀφεώρα τὰ πάντα πράγματα 32
εἰς Ἀντίπατρον, καθ' οὓς ὠφελήσειεν κυρῶν οὐκ ἀπήλλακτο ἐξου-
σίας ἐπικεχωρηκότος τε τοῦ πατρὸς ἐλπίδι εὐνοίας καὶ πίστεως.
καὶ περαιτέρω πᾶσθαι τὴν ἐπ' αὐτοῖς ἐξουσίαν τολμηρὸς καθι-
στάμενος διὰ τὸ ἄδηλος τῷ πατρὶ εἶναι κακοήθειαν καθ' οἵας εἶ-
πεσεν πίστεως. ἦν τε πᾶσιν φοβερὸς οὐχ οὕτως ἰσχύι τῆς ἐξου- 33
Ἡρῴδῃ. ἐγὼ ἔργον ποιουμένη μηδέν σε λανθάνειν τῶν κατὰ σοῦ γινομένων, εὑροῦσα ἐπιστολὴν Σαλώμης πρὸς τὴν ἐμὴν κυρίαν κατὰ σοῦ γεγραμμένην ἐκινδύνευς ἐμαυτῇ σοὶ δὲ ὠφελίμως ἐξεγραψάμην καὶ ἀντίστιλά σοι. ταύτην δὲ ἐκείνη ἔγραψεν χαμασθαι θέλουσα Σιλλαίῳ. καταῴχισον οὖν τὴν ἐπιστολήν, ἵνα μὴ κἀγὼ τῷ ζῆν κινδυνεύσω." πρὸς δὲ αὐτὸν ἐγέγραπτο Ἀντίπατρον διασαφούσης, 140
ὅτι διαπονουμένη κελεύοιμι τῷ ἑκείνου αὐτῇ τε γράψειν πρὸς Ἡρῴδην, ὡς Σαλώμης ἐπιβούλου αὐτῷ πράσσειν ἐπιγομένης τὰ πάντα, καὶ ἀντίγραφον τῆς ὡς πρὸς δέσποιναν τὴν αὐτῆς πεμφθείσης ἐπιστολῆς ἐπὶ Σαλώμης ἀποπέμψειν αὐτῷ. ἦν δὲ ἡ Ἀχιὴ Ἰουδαία 141
μὲν τὸ γένος, ἐδούλευε δὲ Ἰουλίᾳ τῇ Καίσαρος γυναικὶ καὶ ἔπρασσε ταῦτα φιλίᾳ τῇ Ἀντιπάτρου ὠνηθεῖσα ὑπ' αὐτοῦ μεγάλῃ δόσει χρημάτων συγκακουργεῖν κατά τε τοῦ πατρὸς καὶ κατὰ τῆς τῆθίδος.

8. Ἡρῴδης δὲ ἐκπλαγεὶς μεγέθει τῆς Ἀντιπάτρου κακίας ὥρ- 142
μισεν μὲν καὶ παραχρῆμα αὐτὸν ἀνελεῖν ὡς κίνδυνον μεγάλων γεγονότα τραυμάτων καὶ μὴ μόνον αὐτῷ ἀλλὰ καὶ τῇ ἀδελφῇ ἐπιβεβουλευκότα καὶ τοῦ Καίσαρος διεφθαρκότα τὴν οἰκίαν. ἐξώτρυνεν δ' αὐτὸν καὶ ἡ Σαλώμη στερνοτυπουμένη καὶ κτείνειν αὐτὴν κελεύουσα, εἴ τινος ἐπὶ τοιοῖσδε πίστεως αἰτίαν ἀξιόχρεων οἷά τε παρασχεῖν γένοιτο. Ἡρῴδης δὲ μεταπέμψας ἀνέκρινεν τὸν υἱὸν κε- 143
λεύων εἴ τι ἀντειπεῖν ἔχοι λέγειν μηδὲν ὑπιδόμενον. ἐπεὶ δὲ ἀχανὴς ἦν, ἤρετο αὐτόν, ἐπειδὴ τὰ πάντα πανταχοῦ πεφώραται πονηρὸς

§ 137 = bell. Iud. I 643.

PAMELatZonaras I 460.

2 τῇ] τῆσ E 3 *ἔγραψα] ἔπεμψα Bekker οἷδα E * τιμωρήσατο AM 6 ὑπηγορευμένα P ὑπαγορευόμενα AM ὑπαγορευομένη ed. pr. 7 αὐτῆς] aemes Lat 11 *ἐπέστειλά P δ' E συλλαίῳ (συλλαίῳ E) θέλουσα tr. AME 12 *κἀγὼ A τῷ] τὸ (ex τω corr. A) AME 13 τὸν ἀντίπατρον E 14 *γράψειε P 15 αὐτῷ] αὐτῆ E *ἐπιγομένης P 17 ὑπὸ] coni. ἀπὸ codd. E ἀπὸ σαλώμης ἐπιστολῆσ tr. E αὐτῷ] E αὐτῆ codd., om. Lat 20 *σὺνκακουργεῖν P τε] E γε codd. *κατὰ τῆς om. P (solum κατὰ om. teste Herchero) 25 *δὲ AM 26 ἐπὶ τοῖσδε E *ἀξιόχρεον P 28 *ἀντιπεῖν P ὑπιδόμενον] Dindorf ὑπειδόμενον codd. E 29 τὰ πάντα om. AME τὰ πάντα πανταχοῦ] omnino Lat

ὤν. τοὺς γοῦν συγκακουργήσαντας αὐτῷ τὰ πράγματα μὴ μέλλῆσαι
144 κατειπεῖν. ὁ δὲ Ἀντιφίλῳ τὴν πάντων αἰτίαν ἀνετίθει, ἕτερον δ' οὐδένα προυτίθει. Ἡρῴδης δὲ περιαλγῶν ὥρμησεν μὲν πέμπειν ἐπὶ Ῥώμης τὸν υἱὸν ὡς Καίσαρα λόγον ὑφέξοντα τῶν ἐπὶ τοῖσδε
145 βουλευμάτων, ἔπειτα δείσας, μὴ καὶ βοηθείᾳ φίλων εὑρίσκοιτο τοῦ κινδύνου διαφυγάς, αὐτὸν μὲν δέσμιον ὡς καὶ πρότερον ἐφύλασσεν, αὖθις δὲ πρέσβεις ἐξέπεμπε καὶ γράμματα ἐπὶ κατηγορίᾳ τοῦ υἱέος ὁπόσα τε Ἀκμὴ συγκακουργήσειεν αὐτῷ καὶ ἀντίγραφα τῶν ἐπι-
146 στολῶν. VI. 1. Καὶ οἱ μὲν πρέσβεις ἐπὶ τῆς Ῥώμης ἠπείγοντο ὁπόσα τε ἀναχρινομένους δείσοι λέγειν προσεκδιδαχθέντες καὶ τὰ γράμματα φέροντες· εἰς νόσον δὲ ὁ βασιλεὺς ἐμπεσὼν διαθήκας γράφει τῷ νεωτάτῳ τῶν υἱῶν τὴν βασιλείαν διδοὺς μίσει τῷ τε πρὸς τὸν Ἀρχέλαον καὶ Φίλιππον ἐκ τῶν Ἀντιπάτρου διαβολῶν. Καίσαρί τε
147 ταλάντων χιλίων καὶ γυναικὶ Ἰουλίᾳ τῇ Καίσαρος καὶ τέκνοις καὶ φίλοις καὶ ἀπελευθέροις Καίσαρος πεντακοσίων. ἔνεμε δὲ καὶ τοῖς υἱέσιν χρήματα καὶ προσόδους καὶ ἀγροὺς καὶ υἱέσι τοῖς ἐκείνων, Σαλώμην δὲ ἐπὶ μέγα ἐπλούτιζεν τὴν ἀδελφὴν εὖνουν τε αὐτῷ ἐπὶ πᾶσιν διαμεμενηκυῖαν καὶ μηδαμῶθι θρασυνομένην κα-
148 κουργεῖν. ἀπεγνωκὼς δὲ περιοίσειν. καὶ γὰρ περὶ ἕνος ἑβδομηκοστὸν ἦν. ἐξηγρίωσεν ἀκράτῳ τῇ ὀργῇ καὶ πικρίᾳ εἰς πάντα χρώμενος· αὐτοὶ δὲ ἦν δόξα τοῦ καταφρονεῖσθαι καὶ ἡδονῇ τὰς τύχας αὐτοῖ τὸ ἔθνος φέρειν· ἄλλως τ' ἐπειδή τινες τῶν δημοτικωτέρων ἀνθρώπων καὶ ἐπανέστησαν αὐτῷ διὰ τοιαύτην αἰτίαν.
149 2. Ἦν Ἰούδας ὁ Σαριφαίου καὶ Ματθίας ὁ Μεργαλώθου Ἰουδαίων λογιώτατοι καὶ παρ' οὔστινας ἐξηγηταὶ τῶν πατρίων νόμων,

§ 144 = bell. Iud. I 644.

PAMELatZonaras I p. 461.

1 *συγκακουργήσαντας] κακουργήσαντας P μέλλῆσαι E 2 *ἀνειπεῖν P *δ'] δὲ M et ex corr. A 3 *προσετίθει coni. 5 βεβουλευμένων E *βοήθια P τῶν φίλων AME εὑρίσκοι τῶν κινδύνων E 6 *διαφυγῶν AM διαφυγὴν Ernesti 7 *πρεσβείας P ἐξέπεμψε E υἱέωσ ME 8 *συνκακουργήσειεν P 10 i. marg. ἡ E τὴν ῥώμην E 11 προσεκδιδαχθέντες Hudson 12 εἰς] i. marg. Λ Lat 13 τῷ πρός τε tr. E 14 *τε — 15 χιλίων καὶ i. ras. angustiore m. 2 A τε] τε χρήματα AM 15 *mille talenta Lat 17 *καὶ υἱέσει P 18 δὲ] τε AME 19 αὐτῷ ἐπὶ πᾶσιν] ἐν πᾶσι πρὸσ αὐτὸν AME 20 *ἑβδομηκοστὸν P 21 ἐξηγρίωται A ἐξηγρίωται M ἐξηγρίωτο E *πάντας Hudson 23 τ'] τε AM, om. E 24 *καὶ om. M 25 Iudas arifaei Lat Σαριφαίου] φαρισαίου E i. marg. σαπφωραίου (πφ i. ras. A) AM ex bell. Iud. Μεργαλώθου] μαργαλώθου AME μαργάλου bell. Iud. et i. marg. AM meglothi cod. ALat 26 *οὐστινασοῦν Dindorf τῶν πατρίων ἐξηγηταὶ tr. AME

ἄνδρες καὶ δήμῳ προσφιλεῖς διὰ παιδείαν τοῦ νεωτέρου· ὁσημέραι γὰρ διημέρευον αὐτοῖς πάντες οἷς προσκοίησις ἀρετῆς ἐπετετήδευτο. οἵ τε πυνθανόμενοι τοῦ βασιλέως τὴν νόσον θεραπεύειν 150
ἄπορον οὖσαν ἐξῆραν τὸ νεώτερον, ὥστε ὁπόσα παρὰ νόμον τοῦ πατρίου κατεσκεύαστο ἔργα ὑπὸ τοῦ βασιλέως ταῦτα καθελόντες εὐσεβείας ἀγωνίσματα παρὰ τῶν νόμων φέρεσθαι· καὶ γὰρ δὴ διὰ τὴν τόλμαν αὐτῶν παρ' ὃ διηγόρευεν ὁ νόμος τῆς ποιήσεως τά τε ἄλλα αὐτῷ συντυχεῖν, οἷς παρὰ τὸ εἰωθὸς τοῦ ἀνθρώπου διετρίβη, καὶ δὴ καὶ τὴν νόσον. ἦν γὰρ τῷ Ἡρῴδῃ τινὰ πραγματευθέντα 151
παρὰ τὸν νόμον, ἃ δὴ ἐπεκάλουν οἱ περὶ τὸν Ἰούδαν καὶ Ματθίαν. κατεσκευάκει δὲ ὁ βασιλεὺς ὑπὲρ τοῦ μεγάλου πυλῶνος τοῦ ναοῦ ἀνάθημα καὶ λίαν πολυτελές, ἀετὸν χρύσεον μέγαν· κωλύει δὲ ὁ νόμος εἰκόνων τε ἀναστάσεις ἐπινοεῖν καί τινων ζῴων ἀναθέσεις ἐπιτηδεύεσθαι τοῖς βιοῦν κατ' αὐτὸν προῳρημένοις. ὥστε ἐκέλευον 152
οἱ σοφισταὶ τὸν ἀετὸν κατασπᾶν· καὶ γὰρ εἴ τις γένοιτο κίνδυνος τῷ εἰς θάνατον ἀνακειμένῳ, πολὺ τῆς ἐν τῷ ζῆν ἡδονῆς λυσιτελεστέραν φαίνεσθαι τὴν προστιθεμένην ἀρετὴν ὑπ' αὐτοῦ τοῖς ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τοῦ πατρίου μελλήσουσι τελευτᾶν διὰ τὸ ἀίδιον τοῦ ἐπαινεῖσθαι φήμην κατασκευασαμένους ἔν τε τοῖς νῦν ἐπαινεῖσθαι καὶ τοῖς ἐσομένοις ἀειμνημόνευτον καταλείπειν τὸν βίον. καίτοι γε καὶ τοῖς ἀκινδύνως διαιτωμένοις ἄφυκτον εἶναι 153
τὴν συμφοράν, ὥστε καλῶς ἔχειν τοῖς ἀρετῆς ὀριγνωμένοις τὸ κατεψηφισμένον αὐτοῦ μετ' ἐπαίνων καὶ τιμῶν δεχομένοις ἀπέναι τοῦ

§ 152 = bell. Iud. I 649.

PAMELatZonaras I. p. 461.

1 τῶν νεωτέρων E *ὅσ' ἡμέραι ex corr. A 2 *ἐπετετήδευτο] ἐπετήδευτο P ἐπετηδεύετο M ἐπιτετήδευτο coni. 3 οἵ τε] *isti igitur* Lat οὗτοι coni. τε] om. E τότε Dindorf 4 νόμον τοῦ πατρίου] τὸν νόμον τὸν πάτριον AME *paternam legem* Lat 5 καθελόντες A καθελόντεσ M καθελόντασ E 6 litt. ρὰ τῶν νό i. ras. m. 2 A τὸν νόμον M 7 αὐτῶν] αὐτοῦ M et ex corr. A *eius* Lat παρ' ἃ ed. pr. ὁ νόμος] ἑνὸς P 8 αὐτῶν P παρὰ — ἀνθρώπου] *praeter humanum morem* Lat διετρίβη] i. marg. γρ (om. M) *συνέβη* AM *fuerat conuersatus* Lat 10 ἐπεκάλουν M *ματθαῖον AM 11 *κατεσκεύακει, ει i. ras. A δὲ] om. M γὰρ E *τοῦ πυλῶνος τοῦ μεγάλου AM 12 *καὶ om. AM μέγα E 13 *τε om. M *τινων] τινῶων P 14 *ὥστε ἐξεκέλευον P 15 τις] τισ ἂν AME 16 τῷ — ἀνακειμένῳ] *mortalibus* Lat τῶν et ἀνακειμένων ex cod. Voss. Hauerkamp 17 προτεθειμένην AME 18 μέλλουσι E ἀείδιον P 20 καταλειπεῖν P καταλιπεῖν AM τὸν βίον] τὸ κλέος AM 21 καὶ om. AM 23 αὐτοῦ] αὐτῶν ed. pr.

154 *βίον. φέρειν γὰρ κούφισιν πολλὴν τὸ ἐπὶ καλοῖς ἔργοις ὧν μνη-*
στῆρα τὸν κίνδυνον εἶναι τελευτᾶν, καὶ ἅμα υἱέσι τῶν αὐτῶν καὶ
ὁπόσοι τοῦ συγγενοῦς καταλείποιντο ἄνδρες γυναῖκες καὶ τοῖσδε
περιποιῆσαι ὄφελος εὐκλείᾳ τῇ ἀπ' αὐτῶν.

155 3. *Καὶ οἱ μὲν τοιούτοις λόγοις ἐξῆραν τοὺς νέους. ἀφικνεῖ-* 5
ται δὲ λόγος εἰς αὐτοὺς τεθνάναι φράζων τὸν βασιλέα καὶ συνέ-
πραττε τοῖς σοφισταῖς. καὶ μέσης ἡμέρας ἀνελθόντες κατέσπων
τε καὶ πελέκεσιν ἐξέκοψαν τὸν ἀετὸν πολλῶν ἐν τῷ ἱερῷ διατρι-
156 *βόντων. καὶ ὁ στρατηγὸς τοῦ βασιλέως, ἀγγέλλεται γὰρ ἡ ἐπιχεί-*
ρησις πρὸς αὐτόν, ἀπὸ μείζονος διανοίας ἢ ἐπράσσετο ἐπολαφὼν 10
ἄνεισι χεῖρα πολλὴν ἀγόμενος, ὁπόσοι ἀνθέξοιεν τῷ πλήθει τῶν
πειρωμένων καθαιρεῖν τὸ ἀνάθημα, ἐπιτρεσών τε μὴ προσδεχομέ-
νοις, ἀλλ' ὁπόσα ὄχλος φιλεῖ ὀξὺ μᾶλλον ἁμαθεῖ ἢ προνοίᾳ ἁπαρα-
λεῖ τετολμηκότας, ἀσυντάκτοις τε καὶ μηδὲν τοῦ ὀνήσοντος προ-
157 *ανεσκοπημένοις, τῶν τε νέων οὐκ ἐλάσσους τεσσαράκοντα ἀνδρῶν,* 15
οἳ θάρσει ἕμενον ἐπιόντα ἐς φυγὴν τοῦ λοιποῦ πλήθους καταστάν-
τος. λαμβάνει καὶ τοὺς εἰσηγητὰς τοῦ τολμήματος Ἰούδαν καὶ Μα-
σθίαν ἄδοξον ἡγουμένους ὑπολαμβάνειν τὴν ἔφοδον αὐτοῦ. καὶ ἀνήγαγεν
158 *ἐπὶ τὸν βασιλέα. ἐρομένου δὲ ἐπεὶ ἀφίκοντο ἐπ' αὐτὸν τοῦ βασι-* 20
λέως, εἰ τολμήσειαν αὐτοῦ τὸ ἀνάθημα καθελεῖν, „ἀλλὰ καὶ πεφρό-
νηταί γε ἡμῖν τὰ φρονηθέντα καὶ πέπρακται τὰ πεπραγμένα μετ'
ἀρετῆς ἀνδράσι προεπωδεστάτης· τοῦ τε γὰρ θείου τῇ ἀξιώσει βε-
159 *βοήθηται ὑφ' ἡμῶν καὶ τοῦ νόμου ἠκρόατο τὸ σῶφρον, θαυμαστόν*
τε οὐδέν, εἰ τῶν σῶν δογμάτων ἀξιωτέρους τετηρῆσθαι ἡγησάμεθα
νόμους, οὓς Μωσῆς ὑπαγορεύσει καὶ διδαχῇ τοῦ θεοῦ γραψάμενος

§ 158 = bell. Iud. I 650.

PAMELatZonaras I p. 462.

1 *φέρει* P *κούφησιν* P *ὧν — 2 εἶναι*] *quae non nisi meditatione periculi conquiruntur* Lat *μνησήρια* AM 2 *υἱέσι* P *τῶν*] *τοῖς* ed. pr. 3 *καταλείποντο* sic P *ἄνδρες ἢ γυναῖκες* AM 8 *ἐξέκοψαν*] *ἐξῆραν* P *ἐξέκοπτον* E et bell. Iud. 10 **ἦ*] *ἡ* AM 11 **ἄνεισι*] *ἀνεισ* P *ἐπαγόμενος* E *ἀνθέξειεν* M 12 *πειρομένων* P 13 *ἀσφαλῆ* P 14 *τετολμηκότας*] *τετολμηκόσι* ed. pr. *congregata* (*turba*) Lat **ὀνείσαντος* P 16 *θράσει* E *εἰσ* AME 17 **ματθαῖον* P 18 *ἀνήγαγον* E 19 *ἐπὶ*] *εἰσ* M 20 **εἰ*] *cur* Lat *τί* Bekker **πεφρόντισται* Naber 21 **τὰ φρονησθέντα* Naber *μετὰ* E 22 *ἀξιώσει βεβοήθηται*] *ἀξιώσει πεπιστευμένα βεβοήθηται* (litt. *ει* — *βεβοήθηται* i. ras. angustius scripta m. 2 A, *βε* s. M) AM 23 *ἠκρόατο*] *ἠκροάτο* P *ἠκρόατα* coni. *ἠκρόατο τὸ σῶφρον*] *τῇ ἀκροάσει πεφροντίσμεθα*, i. marg. *γρ πεφροντισμένα* A *τῇ ἀκροάσει πεφροντισμένα* M 24 *τε*] *δὲ* E **τηρεῖσθαι* Bekker *ἡγήμεθα* AME 25 *τοὺς νόμους* E *μωϋσῆς* AMELat **ὑπηγορεύσει* P **διδαχεῖ* P

κατέλιπεν. ἡδονῇ τε τὸν θάνατον οἴσομεν καὶ τιμωρίαν ἥντινα ἐπιβάλοις διὰ τὸ μὴ ἐπ' ἀδίκοις ἔργοις, ἀλλὰ φιλίᾳ τοῦ εὐσεβοῦς μέλλειν συνέσεσθαι τὸ ἐφαμιλλῆσον αὐτοῦ." καὶ οἱ μὲν ταῦτα πάν- 160
τες ἔλεγον οὐδὲν ἐλλιπεστέρᾳ τῇ τόλμῃ τοῦ λόγου χρώμενοι, ἢ θαρσήσαντες τὸ ἔργον πράττειν οὐκ ἀπετρέποντο. βασιλεὺς δὲ αὐτοὺς καταδήσας μετέπεμπεν εἰς Ἱεριχοῦντα Ἰουδαίων τοὺς ἐν τέλει, καὶ 161
παραγενομένων ἐξεκλησίασεν εἰς τὸ αὐτὸ θέατρον ἐπὶ κλινιδίου κείμενος ἀδυναμίᾳ τοῦ σπᾶσθαι, γνωεῖστων τε ἐφόσον εἶτινες ἦσαν ἐπ' αὐτοὺς γεγονῶσι ἀνηριθμεῖτο, καὶ τοῦ ναοῦ τὴν κατασκευὴν 162
ὡς μεγάλοις τέλεσι τοῖς αὐτοῦ γένοιτο μὴ δυνηθέντων ἔτεσιν ἑκατὸν εἰκοσιπέντε τῶν Ἀσαμωναίου ἐν οἷς ἐβασίλευον τοιόνδε τι ἐπὶ τιμῇ πρᾶξαι τοῦ θεοῦ, κοσμῆσαι δὲ καὶ ἀναθήμασιν ἀξιολόγοις. ἀνθ' ὧν ἐλπίδα μὲν αὐτῷ γενέσθαι κἂν μεθὸ θάνοι κατα- 163
λελεῖψεσθαι μνήμην τε αὐτοῦ καὶ εὔκλειαν. κατερρόα τε ἤδη, διότι μηδὲ ζῶντα ὑβρίζειν ἀτύσχοιντο εἰς αὐτόν, ἀλλ' ἡμέρας τε καὶ ἐν ὄψει τῆς πληθύος ἔφρει χρωμένους ἅψασθαι τῶν ὑπ' αὐτοῦ ἀνακειμένων καὶ καθαίρεσιν ὑβρίζοντάς τε ποιεῖσθαι, λόγῳ μὲν εἰς αὐτόν, ἀληθείαν δὲ εἴ τις ἐξετάζοι τοῦ γεγονότος ἱεροσυλοῦντας.
4. Οἱ δὲ διὰ τὴν ὠμότητα αὐτοῦ, μὴ δὴ καὶ κατ' αὐτῶν 164
ἐξαγριώσας εἰσπράττοιτο τιμωρίαν, οὔτε γνώμῃ ἔφασαν αὐτὰ πεπρᾶχθαι τῇ αὐτῶν, φαίνεσθαί τε αὐτοῖς οὐκ ἀπηλλαγμένα κολά-

§ 164 = bell. Iud. I 653.

PAMELatZonaras 1 p. 462.

1 *κατέλειπεν P *οἴσομεν] οισόμενος P 2 ἐπιβάλλοις E 3 μέλλει AM συνήσεσθαι P συνέσεσθαι M ἐφαμιλῆσον] coni. ἐφαμιλῆσαν AM ἐπομιλῆσαν P 4 ἐλλιπεστέραι, ι i. ras., αι ex αν corr. A ἐλλειπεστέρα P τοῦ λόγου τῇ τόλμῃ tr. M ᾖ] ἢ Bekker 5 *βασιλεὺς — 6 τέλει] *rex autem vinculis eos constringi praecipiens euocauit ex hierichunte iudaeorum principes* Lat *δὲ] τε P 6 μετέπεμπεν] ἐξέπεμπεν AM ἐξέπεμψεν E Ἰουδαίων] καλέσας ἰουδαίων AM καὶ καλέσας ἰουδαίους (ἰουδαίων Zon.) E 7 ἐξεκλησίασεν — θέατρον] *consessus omnium congregatur* Lat ἐξεκκλησιάσας AM ἐκκλησιάσας E τὸ αὐτὸ θέατρον] το ἀμφιθέατρον Naber; sed fort. αὐτὸ spurium S *γνωεῖστων — 9 ἀνηριθμεῖτο] *enumerabat igitur praesumptiones seditiosorum iuuenum, in quibus sacpius fuerant depraehensi* Lat γνωεῖστων] ει ex ι corr. P τῶν ἀγωνιστῶν AM τῶν εὐποιῶν E τῶν ἀγωνιῶν Hudson τε ἐφόσον om. E *αἵτινες] δήτινες (δή i. ras., δ ex α aut ο corr. A) AM *ἦσαν, ᾖ i. ras. A 10 *ἔτεσιν om. i. marg. suppl. M 11 *εἰκοπέντε P ἀσσαμωναίου E *ἐβασίλευον om. M 13 κἂν] καὶ E *καταλελῆψεσθαι P 14 τε] δὲ ME ἤδη om. E 15 *μήτε P 17 *καθαίρεσιν] καθαιρήσειν P ὑβρίζοντάς τε ποιεῖσθαι] ποιήσασθαι ὑβρίζοντας E ὑβρίζοντας πεποιῆσθαι Bekker 18 ἀληθειαν] Hudson ἀληθείᾳ codd. E ἐξετάζει τὸ γεγονὸς E 20 *εἰσπράττετο M *ἔφασαν] ἔπραξαν M

σεως αὐτὰ εἶναι. ὁ δὲ τοῖς μὲν ἄλλοις πραϋτέρως ἔσχεν, Ματθίαν δὲ τὸν ἀρχιερέα παύσας ἱερᾶσθαι ὡς αἴτιον τοῦ μέρους τούτων γεγονότα καθίστα Ἰωάζαρον ἀρχιερέα, ἀδελφὸν γυναικὸς τῆς
165 αὐτοῦ. ἐπὶ δὲ τοῦ Μαθθίου τούτου ἱερωμένου συμβαίνει καὶ ἕτερον ἀρχιερέα καταστῆναι πρὸς μίαν ἡμέραν, ἣν Ἰουδαῖοι νηστείαν 5
166 ἄγουσιν. αἰτία δ' ἐστὶν ἥδε· ὁ Ματθίας ἱερώμενος ἐν νυκτὶ τῇ πρὸ ταύτης εἰς ἡμέραν, ᾗ ἡ νηστεία ἐνίστατο, ἔδοξεν ἐν ὀνείρατι ὁμιληκέναι [γυναικί], καὶ διὰ τόδε οὐ δυναμένου ἱερουργεῖν Ἰώσηπος
167 ὁ τοῦ Ἐλλήμου συνιεράσατο αὐτῷ συγγενὴς ὤν. Ἡρῴδης δὲ τόν τε Ματθίαν ἐπεπαύκει τῆς ἀρχιερωσύνης καὶ τὸν ἕτερον Ματθίαν, 10
ὃς ἐγγέγρεκει τὴν στάσιν, καὶ ἄνδρας ἐκ τῶν ἑταίρων αὐτοῦ ἔκαυσεν ζῶντας. καὶ ἡ σελήνη δὲ τῇ αὐτῇ νυκτὶ ἐξέλιπεν.

168 5. Ἡρῴδῃ δὲ μειζόνως ἡ νόσος ἐνεπικραίνετο δίκην ὧν παρανομήσειεν ἐκτρασσομένου τοῦ θεοῦ· πῦρ μὲν γὰρ μακαλὸν ἦν οἷς ἐδόκει πολλὴν ἀποσημαῖνον τοῖς ἐπαφωμένοις τὴν φλόγωσιν ὁπόσην τοῖς 15
169 ἐντὸς προσετίθει τὴν κάκωσιν. ἐπιθυμία δὲ δεινὴ τοῦ δέξασθαί τι ἀπ' αὐτοῦ, οὐ γὰρ ἦν μὴ οὐχ ὑπουργεῖν, καὶ ἕλκωσις τῶν τε ἐντέρων καὶ μάλιστα τοῦ κόλου δεινὰ ἀληθόνες. καὶ φλέγμα ὑγρὸν περὶ τοὺς πόδας καὶ διαγές· παραπλησία δὲ καὶ περὶ τὸ ἦτρον κάκωσις ἦν, ναὶ μὴν καὶ τοῦ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα, 20
πνεύματός τε ὀρθία ἔντασις καὶ αὐτὴ λίαν ἀηδὴς ἀχθηδόνι τε τῆς ἀποφορᾶς καὶ τῷ πυκνῷ τοῦ ἄσθματος, ἐσπασμένος τε περὶ

§ 168 = bell. Iud. I 656.

PAMELat Zonaras I p. 462, Eusebius hist. eccl. I S. 5.

1 *πραοτέρως* AME 2 **τὸ μέρος* Bekker **τούτων* ex *τοῦτον* corr. P 3 *καθιστὰ* P *καθιστᾶ* E **ἰώζαρον* AM *azarum* Lat 4 *ματθίου* AME 6 **δὲ* AM **ἱερωμένο · σ,* eras. *υ* A 7 *ᾗ* om. E **ὠμειληκέναι* P 8 **γυναικί* om. P 9 *ἐλλήμου* P *ἐλήμου* M *ἐλλίμου* E *elimi* Lat 10 **ἀρχιερωσύνης*] *ἱερωσύνῃσ* M 11 **ἑτέρων* P 12 *ζώους*] *ζῶντασ* (*ντασ* i. ras. A) AME **ἐξέλειπεν* P 13 *Ἡρῴδῃ*] incip. Eusebius **δὲ*] *τε* P *vero* Lat **ἐνεπικράνετο* P **παρηνόμησεν* aut *παρενόμησεν* Eusebii codd. quidam 14 *οὐχ ὧδε*] P Eus. *οὐ* AM *οὐδὲ* E *non tantum* Lat 15 **ὁπόσην*] *ὅσην* Eus 16 *ἐπιθυμία* — 17 *ὑπουργεῖν*] *auiditas quoque inexplebilis semper inerat cibi nec tamen satietas rapidis* (*rapidinis* cod. A) *incitata faucibus ualebat implere* (om. A) *ingluiem* (*ingluies* A) Lat *δέξασθαι*] *ὀδάξασθαι* Naber 17 *τι*] *καὶ*, i. marg. *γρ δέξασθαί τι ἀπ' αὐτοῦ* A *ἀπ' αὐτοῦ* om. Eusebii codd. plurimi *οὐ γὰρ*] *οὐδὲ* Eusebii codd. plurimi *ἑλκώσεισ* E *τε τῶν* tr. E 18 **ἐντέρων, ντ* i. ras. A *κώλου* EEus **φλέγμα*] *humor* Lat 19 **περὶ*] *ἢ περὶ* Eus **τὸ* om. P 20 **ναὶ*] *καὶ* Stephanus apud Euseb. et Nicephorus **σκώλικασ* P 21 *ἔνστασισ* P *ἔνστασισ* s. m. 2 E *αὐτὴ*] *αὕτη* AME **ἀχθηδόνει* P 22 *πνκνῷ* E **ἐσπασμένος*] *σπασμόσ* E et i. marg. AM et Eusebii codd. quidam *contractus* Lat

πᾶν ἦν μέρος ἰσχὺν οὐχ ὑπομενητὴν προστιθέμενος. ἐλέγετο οὖν 170
ὑπὸ τῶν θειαζόντων καὶ οἷς ταῦτα πρωτοφθέγγεσθαι σοφίᾳ πρόκειται, κοινὴν τοῦ πολλοῦ δυσσεβοῦς ταύτην ὁ θεὸς εἰσπράσσεσθαι παρὰ τοῦ βασιλέως. καίπερ δὲ μειζόνως ἢ ἀντίσχοι ἄν τις ταλαι- 171
πωρούμενος ἐν ἐλπίδι τοῦ ἀνασῳαλοῦντος ἦν, ἰαρούς τε μεταπέμπεται καὶ ὁπόσα ἀρωγὰ ὑπαγορεύειαν χρῆσθαι μὴ ἀποτετραμμένος, ποταμόν τε περάσας Ἰορδάνην θερμοῖς τοῖς κατὰ Καλλιρρόην αὐτὸν παρεδίδου, ὅπερ αὖν τῇ ἐς πάντα ἀρετῇ καὶ πότιμά ἐστιν· ἔξεισιν δὲ τὸ ὕδωρ τοῦτο εἰς λίμνην τὴν ἀσφαλτοφόρον λεγομένην. κἀνταῦθα τοῖς ἰατροῖς δοκῆσαν ὥστε ἀναθάλπειν αὐτόν, καθεθεὶς 172
εἰς πύελον πλέων ἐλαίου δόξαν μεταστάσεως ἐνεποίησεν αὐτοῖς. τῶν δὲ οἰκετῶν οἰμωγῇ χρωμένων περιενεγκών καὶ μηδ' ἥντινα ἀμφὶ τοῦ σωθησομένου ἐλπίδα ἔχων τοῖς στρατιώταις ἀνὰ πεντήκοντα δραχμὰς ἑκάστῳ κελεύει νεμηθῆναι· πολλὰ δὲ καὶ τοῖς ἡγε- 173
μόσιν αὐτῶν καὶ φίλοις τοῖς αὐτοῦ ἐδωρεῖτο. καὶ παρῆν αὖθις ἐπὶ Ἱεριχοῦντος μέλαινά τε αὐτὸν ἥρει χολὴ ἐπὶ πᾶσιν ἐξαγριαίνουσα, ὥστε δὴ τελευτῶν πρᾶξιν τοιάνδε ἐπινοεῖ· ἀρικομένων 174
προστάγματι τῷ αὐτοῦ Ἰουδαίων ἀνδρῶν παντὸς τοῦ ἔθνους ὁτουοῦν ἀξιολόγων· πολλοὶ δὲ ἐγένοντο ὡς τοῦ παντὸς ἔθνους κατα-
κεκλημένου καὶ πάντων ἀκροασαμένων τοῦ διατάγματος, εἰς γὰρ θάνατον ἦν ἀνακείμενα τοῖς ἀλογήσασι τῶν ἐπιστολῶν ἐμμαινομένου πᾶσιν τοῦ βασιλέως ὁμοίως τοῖς τε ἀναιτίοις καὶ παρεσχηκόσιν αἰτίαν· συγκλείσας αὐτοὺς πάντας ἐν τῷ ἱπποδρόμῳ τήν τε 175

§ 170 = bell. Iud. I 656.

PAMELat Zonaras I p. 463, Eusebius hist. eccl. I 8. 7.

1 *μέρος*] *μέλος* E et Eusebii codd. quidam *membra* Lat *ὑπομονητὴν* E et Eusebii codd. quidam *προστιθέμενον* E **οὖν*] *γοῦν* Eus 2 **προύκειτο* Eusebii codd. plurimi 3 **δυσσεβοῦς*] *καὶ δυσσεβοῦς* Eusebii codd. maior pars **εἰσπράζασθαι* M *εἰσπράττεσθαι* Eus 4 *βασιλέως*] fin. Eus **καίπερ — ἦν*] *ipse tamen multum spe salutis instabat* Lat *καίπερ*] *ὁ δὲ καίπερ* E *δὲ*] *δὴ* PME 5 *ἀνασῳαλοῦντος*] *ἀνασῳῆλαι* AME 6 *μὴ ἀποτετραμμένος*] *καὶ ἀποτετραμμένος μὴ ἀναινόμενος* E 7 *καλλιρόην* P *καλλιρόην* A *καλλιρόαν* E *callioram* Lat *αὐτὸν* AE 10 *αὐτὸν* PM *καθεσθεὶς* AME *missus* Lat 11 **πτέλον* P **πλέον* P **ἐλαίου πλέων* tr. AM 12 **μηδ' ἥντινα, δ' ἣν* i. ras. ex *δεν* corr. P 13 **ἀνὰ*] *κατὰ* P 14 **δραχμὰς*] *dragmas auri* Lat **κελεύειν* PA 15 *αὐτῶν*] *αὐτοῦ* E **αὐτοῦ* M 16 **χολὴ αὐτὸν ἥρει* tr. AM 17 *δὴ*] *ἤδη* E fort. recte **ἐπινοεῖν* A^1M 18 *παντὸς τοῦ ἔθνους* suspecta, om. ut uid. Lat *παντὸς*] *τῶν παντὸς* E **ὅποι ποτὲ* AM *ex locis omnibus* Lat *ὁπούποτε* ed. pr. 19 **κατακεκλημένους* P 21 **ἀλογήσασι*] *ἀλογήμασι* A *ἀλγήμασι* M 23 **συγκλήσας* A

ἀδελφὴν αὐτοῦ Σαλώμην καὶ τὸν ἄνδρα αὐτῆς Ἀλεξᾶν μεταπέμψας
τεθνήξεσθαι μὲν οὐ πόρρω ἔλεγεν ἐπὶ τοσόνδε τῶν ἀγχιβόρων
αὐτὸν περιεπουσῶν· καὶ τόδε μὲν οἰστόν τε καὶ πᾶσι φίλον παρ-
αινγκάνειν. τὸ δὲ ὀλοφυρμῶν τε ἄπορον καὶ πένθους ἐνδεᾶ ὁποῖον
176 ἐπὶ βασιλεῖ πράσσοιτο ἂν μάλιστα αὐτῷ λυπηρὸν εἶναι· οὐ γὰρ 5
ἀποσκολιὸν τὴν Ἰουδαίων διάνοιαν, ὡς εἰκὸς αὐτοῖς καὶ πάνυ
κεχαρισμένος ὁ θάνατος αὐτοῦ διὰ τὸ καὶ ζῶντος ἐπὶ ἀποστάσει
177 ἐπείγεσθαι καὶ ὕβρει τῶν ὑπ' αὐτοῦ προτιθεμένων· ἔργον δ' ἄρα
ἐκείνων εἶναι κούφισίν τινα αὐτῷ ψηφίσασθαι τοῦ ἐπὶ τοιοῖσδε
ἀλγεινοῦ· τὰ αὐτὰ γὰρ δὴ φρονῆσαι δόξῃ τῇ αὐτοῦ μὴ ἀπειπαμέ- 10
νων μέγαν τε αὐτοῦ τὸν ἐπιτάφιον γενέσθαι καὶ ὁποίοις οὐδ' ἄλλοις
βασιλεῦσιν καὶ πένθος διὰ τοῦ ἔθνους ἅπαντος ἐκ ψυχῆς ὀλοφυρ-
178 μένων ἐπὶ παιδιᾷ καὶ γέλωτι αὐτοῦ. ἐπὰν οὖν θεάσωνται τὴν
ψυχὴν ἀφέντα αὐτόν, περιστήσαντας τῷ ἐκτοδρόμῳ τὸ στρατιω-
τικὸν ἀγνοοῦν ἔτι τὸν θάνατον αὐτοῦ, μὴ γὰρ πρότερον εἰς τοὺς 15
πολλοὺς ἐξενεγκεῖν ἢ τάδε πρᾶξαι κελεύειν, ἀκοντίσαι τοὺς ἐγκα-
θειργμένους, καὶ πάντας τοῦτον ἀνελόντας τὸν τρόπον διχόθεν
αὐτὸν οὐχ ἁμαρτήσαντας τοῦ εὐφρανοῦντος, κυρώσει τε ὧν ἐπι-
στείλειεν αὐτοῖς μέλλων τελευτᾶν καὶ τῷ πένθει ἀξιολόγῳ τετιμῆ-
179 σθαι. καὶ ὁ μὲν μετὰ δακρύων ποτνιώμενος καὶ τοῦ συγγενοῦς 20
τὴν εὔνοιαν καὶ πίστιν τοῦ θείου προσκαλῶν ἐπέσκηπτε μὴ ἠτι-
μῶσθαι ἀξιῶν, κἀκεῖνοι ὡμολόγουν οὐ παραβήσεσθαι.
180 6. Κατανοήσειεν δ' ἄν τις τὴν διάνοιαν τοῦ ἀνθρώπου καὶ

§ 175 = bell. Iud. I 659.

PAMELatZonaras I p. 463.

3 *περιεχουσῶν* AME 4 *τὸ δὲ* om. AME *τε*] *δὲ* E *καὶ*] *κα* P **ἄπειρον* cd. pr. 5 *μάλιστα*] *ὃ μάλιστα* E 6 *ἀποσκοπουῦν*] PA¹ *ἄπο σκοποῦ* M et ex corr. A *εὐκτὸς*] *ἐκτὸς* P *γρ εὐκταῖος* i. marg. AM S *δὲ* E 9 *αὐτῷ*] *αὐτοῖς* E 10 **ἀλγηνοῦ* P **τὰ αὐτὰ* — 13 *αὐτοῦ*] *proinde petere se ab illis, quod eos sciret contra eius gloriam in nullo uenturos, ut agerent qualiter eius exequiae honorabiles super ceteros reges et luctus amplior ageretur. quod futurum dicebat si peregissent, ut iudaei ex animo in eius morte deplorare lamentarique cogerentur* Lat *γὰρ*] *δεῖ* (i. ras. A) AM *δὴ*] *δεῖ* E *δόξῃ*] *καὶ δόξῃ* E **αὐτοῦ* M 11 *μέγαν τε*] *τε μέγαν* P *μέγαν* A¹E *γενήσεσθαι* E, recte nisi *ἂν* excidisse mauis 12 *ὀλοφυρομένων* E 13 **παιδὶ* P **θεάσονται* P 14 **στρατιωτικὸν*] *ἀξιωματικὸν* P 16 *πράξειν* PE *ἐγκαθειργμένους* P *καθειργμένους* E 17 **καὶ πάντας* — 18 *εὐφρανοῦντος*] *et ita cunctis intereuntibus duo commoda prouentura* Lat 18 *οὐκαμαρτήσαντας* P *ἁμαρτῆσαι* E *ἁμαρτήσοντας* Dindorf *ἁμαρτήσεσθαι* Bekker **ἐπιστέλλειεν* AM 20 *τοῦσ συγγενοῦσ* A 23 *κατανοήσειε* AM *κατενόησεν* P *κατανοήσειεν δ' ἂν τις*] *sed ego comperior* Lat

διὰ τὰ πρότερα ἤρεσκεν ὡς ὑπὸ τοῦ φιλοζωεῖν πράξειε τὰ εἰς τοὺς συγγενεῖς πεπραγμένα, ἐκ γοῦν τῶν ἄρτι ἐπιστολῶν οὐδὲν ἀνθρώπειον εἰσφερομένην, εἴγε καὶ ἀπιὼν τοῦ βίου πρόνοιαν εἶχεν, 181
ὡς ἐν πίνθει καὶ ἑρμαίᾳ τῶν φιλτάτων τὸ πᾶν κατασιήσειεν ἔθνος. ἵνα ἀπὸ ἑκάστου οἴκου κιλεύων μεταχειρίσαι μηδὲν ἄδικον μήτε εἰς αὐτὸν διδρακότας μήτε ἐφ' ἑτέροις ἐγκλήμασιν κατηγορίας αὐτῶν γενομένης, εἰωθότων οἷς τρυφοποίησις ἀρετῆς καὶ πρὸς τοὺς δίκῃ ἐχθροὺς γεγονότας ἐν τοιοῖσδε καιροῖς τὰ μίση κατατίθεσθαι.

VII. 1. *Ταῦτα δὲ ἐπιστέλλοντος αὐτοῦ πρὸς τοὺς συγγενεῖς* 182
γράμματα παρῆν ὑπὸ τῶν εἰς Ῥώμην πρέσβεων ἀπεσταλμένων πρὸς Καίσαρα. καὶ ἀναγνωσθέντων τὸ κεφάλαιον ἦν, ὡς τῆς τε Ἀκμῆς ὀργῇ τῇ Καίσαρος ἀνῃρημένης ἐφ' οἷς Ἀντιπάτρῳ συγκακουργήσειεν, αὐτόν τε Ἀντίπατρον ὡς ἐπὶ γνώμῃ τῇ ἐκείνου ποιοῖτο ὡς πατρὸς καὶ βασιλέως, εἴτε φυγάδα ἐλαύνειν ἐθελήσειεν, εἴτε 183
καὶ κτιννύειν. τούτων ἀκροώμενος Ἡρῴδης βραχὺ μὲν ἀνήνεγκεν ἡδονῇ τῶν γεγραμμένων θανάτῳ τε τῆς Ἀκμῆς ἑταιρόμενος καὶ ἐξουσίᾳ τῆς ἐπὶ τῷ παιδὶ τιμωρίας, περιουσῶν δὲ εἰς μέγα τῶν ἀληθόνων παρίετο τεταλαιπωρημένος σιτίων· καὶ ἤτησε μᾶλλον καὶ μαχαίριον· ἦν γὰρ ἐν ἔθει καὶ πρότερον αὐτῷ περιλέψαντι
αὐτὸ δι' αὐτοῦ καὶ κατ' ὀλίγον τεμόντι ἐσθίειν. λαβὼν δὲ καὶ 184
περισκεψάμενος γνώμῃ εἶχεν παίσων ἑαυτόν, κἂν ἐπεπράχει μὴ φθάσαντος αὐτοῦ καταλαβεῖν τὴν δεξιὰν Ἀχιάβου· ἀνεψιὸς ἦν αὐτοῦ. καὶ μέγα ἀνακραγόντος οἰμωγή τε αὖθις ἀνὰ τὸ βασίλειον ἦν καὶ θόρυβος μέγας ὡς οἰχομένου τοῦ βασιλέως. καὶ ὁ Ἀντι- 185

§ 182 = bell. Iud. I 661.

PAMELat Zonaras I p. 464.

1 *πράξειεν* P *τὰ* om. P 2 *ἐπιστολῶν*] *ἐντολῶν* AM *ἀνθρώπιον* P 3 *εἰσφερομένην* Hudson 5 *μεταχειρισαι* A^1 7 *εἰωθότων* — 8 *κατατίθεσθαι* om. Lat 8 *δίκῃ*] *ἐν δίκῃ* AM *μίσει* P 9 i. marg. *θ'* E 12 **συνκακουργήσειεν* P 14 **ὡς* — *βασιλέως*] *ipsum enim et patrem esse et regem* Lat **ὡς*] *καὶ γὰρ ὡσ* P *θελήσειεν* E 15 **ἐκτιννύειν* M *μὲν*] *μέν τι* E 16 *γεγραμμένων*] *πεπραγμένων* E 17 **ἐξουσίασ* P **προϊουσῶν* Dindorf 18 **παρίετο* — *σιτίων*] *interitui propinquabat, et quamquam in multo defectu contineretur adpetebat tamen cibum* Lat *ἐνδελῇ τροφῆς καὶ βηχὶ σπασμώδει διετείνετο* bell. Iud. **παρίετο*] *παρεῖτο* M et i. marg. A **σιτίων*] *εἰτιῶν* P 19 **αὐτῷ*] *αὐτῶν* P *περιβλέψαντι* P *περιγλύψαντι* E *accurans* Lat 20 **αὐτῷ* M **αὐτοῦ* A *καὶ* om. E *τέμνοντι* AME **δὲ*] *ergo* Lat, om. P fort. recte 21 **περιλεψάμενοσ* AM **παίσων*] *ὡς παίσων* ed. pr. 22 *ἀνεψιὸς*] *ὃσ ἀνεψιὸσ* AM *ἀνεψιὸσ δ'* E *nepos autem* Lat **αὐτῷ* M 23 **αὖθις*] *εὐθὺς* Bekker 24 **καὶ*] i. marg. *XI* Lat **ὁ* om. ed. pr.

πατρος, πιστεύει γὰρ τέλος ἀληθῶς τὸν πατέρα ἔχειν, θάρσει τε ἐχρῆτο ἐπὶ τοῖς λόγοις ὅλος ὡς ἤδη τῶν δεσμῶν ἀφησόμενος καὶ τὴν βασιλείαν ἀκοντὶ δεξόμενος εἰς χεῖρας, καὶ τῷ εἱρκτοφύλακι περὶ ἀφέσεως ἦν αὐτοῦ διάλογος μεγάλα ἐπισχυομένου εἰς τὸ παρὸν καὶ ταὖθις, ὡς ἂν περὶ τοιῶνδε τοῦ ἀγῶνος ἐνεστηκότος. 5
186 ὁ δὲ οὐ μόνον ἀπειθὴς ἦν πράσσειν ἐφ' οἷς ἠξίου Ἀντίπατρος, ἀλλὰ καὶ τῷ βασιλεῖ ἀποσημαίνει διάνοιαν τὴν ἐκείνου πολλῇ καὶ
187 προσεισφορᾷ παρ' αὐτοῦ χρώμενος. ὁ δὲ Ἡρῴδης καὶ πρότερον οὐχ ἡσσώμενος οὐδ' εὐνοίᾳ τοῦ υἱέος ἐπὶ ἔγκοπτε τοῦ εἱρκτοφύλακος ταῦτα εἰρηκότος, ἀνεβόησέν τε ἀναπτύξας τὴν κεφαλὴν καὶ 10
περ ἐν τῷ ἱστάτῳ ὢν καὶ ἐπὶ τὸν ἀγκῶνα περιάρας ἑαυτὸν κελεύει πέμπας τινὰ τῶν δορυφόρων μηδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὀξέος κτείνασιν αὐτὸν ἐν Ὑρκανίᾳ ταφὰς ἀσήμους ποιεῖσθαι.

188 VIII. 1. Τὰς δὲ διαθήκας αὖθις μετέγραφεν μεταβολῆς αὐτῷ περὶ τὴν διάνοιαν γενομένης, Ἀντίπαν μέν, ᾧ τὴν βασιλείαν κατα- 15
λελοίπει, τετράρχην καθιστὰς Γαλιλαίας τε καὶ Περαίας, Ἀρχελάῳ
189 δὲ τὴν βασιλείαν χαριζόμενος, τὴν δὲ Γαυλανῖτιν καὶ Τραχωνῖτιν καὶ Βαταναίαν καὶ Πανιάδα Φιλίππῳ παιδὶ μὲν τῷ αὐτοῦ Ἀρχελάου δὲ ἀδελφῷ γνησίῳ τετραρχίαν εἶναι. Ἰάμνειαν δὲ καὶ Ἄζωτον καὶ Φασαηλίδα Σαλώμῃ τῇ ἀδελφῇ κατανέμει καὶ ἀργυρίου ἐπισή- 20
190 μων μυριάδας πεντήκοντα. προσένοσε δὲ καὶ τῶν λοιπῶν, ὁπόσοι συγγενεῖς ἦσαν αὐτῷ, χρημάτων τε δόσεσι καὶ προσόδων ἀναφοραῖς ἑκάστους ἐν εὐπορίᾳ καθιστάμενος. Καίσαρι δὲ ἀργυρίου μὲν ἐπισήμου μυριάδας χιλίας, χωρὶς δὲ σκεύη τὰ μὲν χρυσοῦ τὰ δ' ἀργύρου καὶ ἐσθῆτα πάνυ πολλοῦ τέλους, Ἰουλίᾳ δὲ τῇ Καίσαρος γυ- 25

§ 185 = bell. Iud. I 663; § 188 = bell. Iud. I 668; § 190 = bell. Iud. I 646.

PAMELat Zonaras I p. 464.

2 ὅλος om. E ἀφησόμενος] ἀφεμένος AME *liberatus* Lat 3 δεξόμενος] ed. pr. δεξόμενος PA δεξόμενος ME et i. marg. A (*tamquam*) *percepturi* Lat 5 *ταὖθις ὡς] ταὐτίσωσ P τὸ αὖθις ὡσ AME *τοιόνδε PA¹ 7 *ἀποσημαίνειν M πολλὰ — S χρώμενος] *et quae ab eo munera spondebantur* Lat πολλῇ καὶ προσεισφορᾷ] coni. πολλὰ καὶ προσίσφορα P πολλαῖσ καὶ προσεισφοραῖσ AM 8 αὐτοῦ PM 9 ησώμενοσ P οὐδ' om. AM

10 ἀναπτυψάμενος s. m. 2 E 11 ἐπὶ] περὶ E *κελεύει] κελεύει τε P 12 τινὰσ E *δξέωσ PA¹ 13 κτείναντασ E 14 i. marg. *XII* Lat μεταγράφει E 15 *Ἀντίπαν] *antipatrum* Lat μὲν] μὲν οὖν E *κατα-λελοίποι P 17 δὲ] τε E γαυλανίτην A¹ γαυλανίτιν E 18 *bataniam Lat πανεάδα E 19 *ἰάμνιαν A¹ 20 *φασηλίδα P *faselidan* Lat ἀδελφῇ] ἀδελφῇ αὐτοῦ AME 22 δόσει E 23 εὐπορίασ E 25 πολλοῦ τέλους] πολυτελῆ AME *practiosa* Lat

ναὶ καί τισιν ἑτέροις πεντακοσίας μυριάδας. ταῦτα πράξας ἡμέρᾳ 191
πέμπτῃ μεθ' ὃ Ἀντίπατρον κτείνει τὸν υἱὸν τελευτᾷ, βασιλεύσας
μὲν ὃ μὲν ἀπέλιπεν Ἀντίγονον ἔτη τέσσαρα καὶ τριάκοντα, μεθ'
ὃ δὲ ὑπὸ Ῥωμαίων ἀπεδείκτο ἑπτὰ καὶ τριάκοντα, ἀνὴρ ὡμὸς
εἰς πάντας ὁμοίως καὶ ὀργῆς μὲν ἥσσων κρείσσων δὲ τοῦ δικαίου,
τύχῃ δὲ εἰ καί τις ἕτερος κεχρημένος εὐμενεῖ. ἔκ τε γὰρ ἰδιώτου 192
βασιλεὺς καταστὰς καὶ κινδύνοις περιστοιχιζόμενος μυρίοις πάντων
ποιεῖται διάδρασιν καὶ τοῦ ζῆν ἐπὶ μήκιστον ἐξίκετο. ὁπόσα δὲ
τὰ κατ' οἶκον περὶ υἱεῖς τοὺς αὐτοῦ, ὅσα μὲν γνώμῃ τῇ ἐκείνου
καὶ πάνυ δεξιᾷ κεχρημένος διὰ τὸ κρίνας ἐχθροὺς κρατεῖν οὐκ ὑστε-
ρῆσαι, δοκεῖν δ' ἐμοὶ καὶ πάνυ δυστυχής.

2. Σαλώμη δὲ καὶ Ἀλεξᾶς πρὶν ἐκπυστον γενέσθαι τὸν θά- 193
νατον τοῦ βασιλέως τοὺς ἐπὶ τὸν ἱππόδρομον κατακεκλημένους
ἐκπέμπονται ἐπὶ τὰ αὐτῶν, φάμενοι βασιλέα κελεύειν ἀπιοῦσιν
αὐτοὺς ἐπὶ τοὺς ἀγροὺς νέμεσθαι τὰ οἰκεῖα, πράσσεταί τε αὐτοῖς
ἥδε εὐεργεσία μεγίστη εἰς τὸ ἔθνος. ἐφανεροῦτο δ' ἤδη ὁ θάνα- 194
τος τοῦ βασιλέως, καὶ Σαλώμη καὶ Ἀλεξᾶς συναγαγόντες τὸ στρα-
τιωτικὸν εἰς τὸ ἀμφιθέατρον τὸ ἐν Ἱεριχοῦντι πρῶτον μὲν ἐπιστο-
λὴν ἀνέγνωσαν πρὸς τοὺς στρατιώτας γεγραμμένην ἐπὶ πίστεως
εὐχαριστίᾳ καὶ εὐνοίας τῆς εἰς αὐτὸν καὶ παρακλήσει τῶν ὁμοίων
παροκωχῆς Ἀρχελάῳ τῷ παιδὶ αὐτοῦ, ὃν βασιλέα καθίστατο. εἶτα 195
μέντοι Πτολεμαίῳ τὸν σημαντῆρα τοῦ βασιλέως πεπιστευμένος
τὰς διαθήκας ἀνέλεγεν, αἳ λήψεσθαι κύριον οὐκ ἄλλος ἔμελλον
ἢ Καίσαρος ἐντυχόντος αὐταῖς. βοὴ οὖν εὐθὺς ἦν ἐκτιμώντων

§ 191 = bell. Iud. I 665.

PAMELatZonaras I p. 465.

1 *ταῦτα] i. marg. *XIII* Lat 3 *ἐβασίλευσεν ἡρώδης τὰ πάντα ἔτη τριακονταέπτά* ante *μεθ' ὃ δὲ* add. P 4 *ἀποδέδεικτο* AMZon *ἀποδέδεικται* E *ὠμὸς] ὠμὸς μὲν* E *crudelis quidem* Lat 5 *κρίσσων* P 6 *εὐμενῆ* P *τε* om. ME 8 *ἐξείκετο* P 10 *καὶ — κεχρημένος] etiam ibi prosperitate potitus* Lat *τύχῃ* ante *πάνυ* add. Hudson ex bell. Iud. *ὑστέρησε* (ex *ὑστερῆσε* corr. P, ε finale ex *εν* corr. M) PME i. marg. *γρ οὐχυστέρησεν* A 11 *δοκεῖ* AME *δέ μοι* codd. E 13 *κατακεκλεισμένους* AME, cf. § 174 14 *ἐκπέμπουσι* Zon *ἐπὶ τὰ] ἔπειτα* ME *αὐτῶν] αὐτὸν* E *φάμενοι] φασὶ* E *καλεύειν* A *ἀπιοῦσιν* P 16 *ἥδε,"* et ε i. ras. A *ἤδη* M i. marg. *XIIII* Lat *δ' ἤδη] δὴ* ME 19 *ἐπὶ] ἐπί τε* AME 20 *εἰς] πρὸς* E *καὶ* om. M 21 *παροκωχῆς] παροκώχη* P *παροχῆ* AME *παροχῆς* ed. pr. *καθίστατο* M 22 *σημαντῆρα] testamentum* Lat 23 *ἀνέλεγεν] ἔλεγεν* ME 23 *αἳ* om. ME *ἔμελλον] ἔλεγον* P, om. ME *dicebatur* Lat 24 *ἐντυχόντες* P *ἐντυγχάνοντος* ME *ἐκτιμώντων] ἐκτιμῶν τὸν* P *ἔκτινων τὸν* M *ἐκτιμώντων — 106, 1 βασιλέα] honorantium archelaum regemque proclamantium* Lat

Ἀρχέλαον βασιλέα, καὶ οἱ στρατιῶται κατὰ στίφη τε αὐτοὶ καὶ οἱ ἡγεμόνες εὔνοιάν τε ὑπισχνοῦνται καὶ προθυμίαν τὴν αὐτῶν καὶ συλλήπτορα τὸν θεὸν παρεκάλουν.

196 3. *Ἐντεῦθεν δὲ τάφον ἡτοίμαζον τῷ βασιλεῖ μελῆσαν Ἀρχελάῳ πολυτελεστάτην γενέσθαι τὴν ἐκκομιδὴν τοῦ πατρὸς καὶ πάντα*
197 *τὸν κόσμον προκομίσαντος εἰς ὃ συμπομπεύσειε τῷ νεκρῷ. ἐφέρετο δὲ ἐπὶ κλίνης χρυσέας λίθοις πολυτελέσιν καὶ ποικίλοις διαπεπασμένης. στρωμή τε ἦν ἁλουργὴς καὶ ἐμπέσχετο πορφυρίσιν ὁ νεκρὸς διαδήματι ἐσκιμένος ὑπερκειμένου στεφάνου χρυσέου σκήπτρόν τε*
198 *τῇ δεξιᾷ παρακείμενον. περί τε τὴν κλίνην οἵ τε υἱεῖς καὶ τὸ πλῆθος ἦν τῶν συγγενῶν. ἐπὶ δὲ τούτοις τὸ στρατιωτικὸν κατὰ οἰκεῖα ἔθνη ἢ προαιρέσεις διέκειντο αὐτοῖς νεμηθέντες. πρῶτοι μὲν οἱ δορυφόροι, μετὰ δὲ τὸ Θρᾴκιον, ἐπὶ δὲ τούτοις ὁπόσοι Γερμανῶν, καὶ τὸ Γαλατικὸν μετ' αὐτούς, ἐν τῷ κόσμῳ πάντες τῷ*
199 *πολεμιστηρίῳ. τούτων δὲ κατόπιν ἤδη πᾶς ὁ στρατὸς ὥσπερ ἐς πόλεμον ἐξοδεύοντες [ὥσπερ] ὑπὸ λοχαγῶν ἀγόμενοι καὶ τοῖς ταξιαρχοῦσιν αὐτῶν. τούτοις ἐπετετάχατο πεντακόσιοι τῶν οἰκετῶν ἀρωματοφόροι. ἦσαν δὲ ἐπὶ Ἡρωδίου στάδια ὀκτώ· τῇδε γὰρ αὐτῷ ἐγένοντο αἱ ταφαὶ κελεύσματι τοῦ αὐτοῦ. Ἡρώδης μὲν δὴ τοῦτον ἐτελεύτα τὸν τρόπον.*

200 4. *Ἀρχέλαος δὲ ἐπὶ μὲν ἑβδόμην ἡμέραν πένθος τὸ ἐπὶ τῷ πατρὶ τιμῶν διετέλει· τοῦτο γὰρ διαγορεύει τὸ νόμιμον τοῦ πατρίου. ἐστιάσας δὲ τοὺς ὁμίλους καὶ καταλύσας τὸ πένθος ἄνεισιν εἰς τὸ ἱερόν. ἦσάν τε εὐφημίαι καὶ ἔπαινοι καθ' οὕστινας ἴοι ἑκάστων τὰ πρὸς ἀλλήλους φιλοτιμούμενοι εἰς τὸ δοκεῖν μείζοσι*

§ 195 = bell. Iud. I 670; § 200 = bell. Iud. II 1.

PAMELatZonaras I p. 465.

1 **βασιλέα*] *βασιλέα ποιούντων* M 4 i. marg. *VI* Lat *ταφὴν* ME 6 *συγκομίσαντος* ME *ὃ*] *ὃν* E *τὸ* Ernesti **συμπομπεύσειε* M *συμπομπεῦσαι* Ernesti *τῷ νεκρῷ*] *τὸν καιρὸν* E 7 *ποικίλης* E **διαπεπλασμένης* M 8 **ἁλουργὶς* M *ἠμπίσχετο* E 9 **ἐσκιμένῳ* M **σκήπτρον* Ernesti 10 **παρακειμένου* Ernesti **τε* (ante *τὴν*)] *δὲ* A *autem* Lat 11 *κατὰ* — 12 *νεμηθέντες*] *per proprias distincta nationes et discreta nominibus . erant autem tali ordine distributi* Lat **κατὰ*] *καὶ τὰ* M 12 *ἢ*] om. AM *ἢ* coni. *προαιρέσεις*] *προαιρεῖ τι* A *προαιρεῖσι* M *προαιρεῖται* coni *διέκειντο* A *διέκατο* E 13 *οἱ* om. M *γερμανοὶ* AM 14 *τὸ*] *αὖ τὸ* AM *τῷ* (post *ἐν*) om. AME 15 *ὥσπερ ἐς*] *ὡσ ἐσ* A *ὡσ εἰσ* M 16 *ὥσπερ* spurium om. Lat 17 *αὐτόν* PM *ἐπετετάχατο*] *ἔπωντο* ME *sequebantur* Lat 18 **ἡρωδείου* M **ὀκτώ*] *διακοσίους* bell. Iud. 19 *δὴ*] om. M *οὖν* E 21 **τὸ*] *τῶι* A 22 *τοσάσδε γὰρ* M 24 *τε*] *δὲ* AME 24 **ἴοι*] *εἴοι* P *ἴσοι* M 25 **μείζονι* P

χρῆσθαι τοῖς εὐψηφίαις. ὁ δὲ ἐπὶ ὑψηλοῦ βήματος κατακειμένου ἀπέ- 201
θετο καὶ ἱδρυθεὶς εἰς θρόνον χρυσοῦν [κατακειμένων] ἀντιδιῃτᾶτο
τοὺς ὁμίλους χάρματι τῶν εὐφημιῶν τὴν εὔνοιαν αὐτῶν ἡδονῇ φέ-
ρων, χάριν τε ὡμολόγει, διότι μηδὲν αὐτῷ μεμψιμοιρεῖν ἀφ' ὧν
ὁ πατὴρ εἰς αὐτοὺς ἐβρίσειεν καὶ πειράσεσθαι μὴ ἐλλείψειν ἀμει-
βόμενον τὸ πρόθυμον αὐτῶν. ἔφη μέντοι φείδειν ποιεῖσθαι τοῦ 202
βασιλείου ὀνόματος, τετιμῆσθαι γὰρ αὐτὸν τῇ ἀξιώσει ὅπερ βε-
βαίως Καῖσαρ ἐπικυρώσειε τὰς διαθήκας, αἳ ὑπὸ τοῦ πατρὸς ἐγρά-
φησαν αὐτοῦ· δι' ἣν αἰτίαν οὐδὲ τοῦ στρατεύματος ἐν Ἱεριχοῦντι
τὸ διάδημα αὐτῷ περιθέσθαι προθυμουμένου δέξασθαι τὸ περι-
μάχητον τῆς ἐνθένδε τιμῆς διὰ τὸ μηδέπω τὸν κύριος ἀποδώσοντα
φανερὸν εἶναι παρασχόμενον. περιόντων μέν γε εἰς αὐτὸν τῶν 203
πραγμάτων οὐ λείψειν ἀρετῆς τοῦ ἀμειψομένου τὴν εὔνοιαν αὐτῶν·
σπουδάσειν γὰρ ἐν πᾶσιν τὰ πρὸς αὐτοὺς φανεῖσθαι τοῦ πατρὸς
ἀμείνων τὰ πάντα. οἱ δὲ οἷον ὄχλος εἰώθεν, φιλεῖν οἰόμενοι τὰς 204
πρώτας εἶναι τῶν ἡμερῶν τὰς διανοίας ἐμφανίζειν τῶν παριόντων
ἐπὶ τοιάσδε ἀρχάς, ὅσῳ πρόθυμος καὶ θεραπευτικῶς ὁ Ἀρχέλαος διε-
λέγετο αὐτοῖς, τοσῷδε μειζόνως τε ἐχρῶντο τοῖς ἐπαίνοις καὶ κατὰ
αἰτήσεις δωρεῶν ἐντεράματο, οἱ μὲν εἰσφορὰς ἃς ἐνιαυσίους φέ-
ρουσιν ἐπανορθῶσαι βιαζόμενοι, οἱ δὲ αἰ δεσμωτῶν, οἱ τῶν Ἡρώ-
δου ἰδιωτῶν. πολλοὶ δὲ ἦσαν κἀκ πολλῶν χρόνων, ἀπόλυσιν. εἰσὶν 205
δὲ οἳ ἄρσεις τῶν τελῶν ἃ ἐπὶ πράσεσιν ἢ ὠναῖς ἐπεβάλλετο πρασ-

§ 201 = bell. Iud. II 2.

PAMELat Zonaras I p. 465.

1 ἐπὶ] εἰσ E *ὑψηλοῦ M 2 *χρυσοῦ ed. pr. χρυσοῦν πεποιημένον om. M πεποιημένον om. E 3 *ὁμίλους] φίλους M 4 *ὡμολόγει] ωμολογεῖν P et ut uid. Lat διότι] ὅτι E *μνησικακοῖεν P 5 *ἐβρίσειεν] ἐβρίσεσθαι M πειράσασθαι E 7 *τετιμῆσθαι — 9 αὐτοῦ] *sufficere sibi dignitatem potestatis aiebat, quam tunc firmam esse dicebat, cum testamentum a patre scriptum a caesare firmaretur* Lat ὅπερ] ὅπως AM εἴπερ E οὕτω coni. post *βεβαίως fort. inserendum ἕως 9 αὐτοῦ E 11 *ἐνθένδε] ἔνθεν M 12 περιόντων] E Ernesti περιόντων codd. *cum — adueniret* Lat *μέν] μέντοι coni. 13 λίψειν P ἀμειψαμένου P 15 τὰ πάντα om. E εἴωθεν φιλεῖν] φιλεῖ Ernesti *consuesse* Lat 16 εἶναι om. ed. pr. 18 τοσῶσδε AME κατὰ om. E 19 δωρεῶν αἰτήσεις tr. E ἐντεράματο] coni. ἐγεγράφατο P ἐπεγράφετο, i. marg. γρ ἐπεγράφοντο ἢ ἐπεφέροντο A ἐπεφέροντο M ἐπέφερον E *uertuntur* Lat *οἱ μὲν — 20 χρώμενοι] *alii quidem functionum publicarum leuigationem cum clamore postulabant* Lat *ἃς om. P 21 κἀκ] καὶ A¹ME καὶ ἐκ ex corr. A 22 οἳ] καὶ οἳ E τῶν τελῶν ἃ] τὸν τέλωνα P πράσεσιν ἢ ὠναῖς] *in emptionibus et publicis nundinis* Lat ὠναῖς] ὠναῖσ ἡμισείαισ AME ὠναῖς δημοσίαις Cocceji *πρασσόμεναι P

σόμενα πικρῶς ἠτοῦντο. ἀντέλεγέν τε οὐδαμῶς Ἀρχέλαος ἐπειρᾶτο ὁμίλους σπουδαῖος ὢν ποιεῖν πάντα διὰ τὸ νομίζειν μέγα πρᾶγμα εἰς τήρησιν τῆς ἀρχῆς γενήσεσθαι τὴν εὔνοιαν αὐτῷ τῆς πληθύος. ἐντεῦθεν δὲ θύσας τῷ θεῷ κατ' εὐωχίαν τρέπεται μετὰ τῶν φίλων.

206 IX. 1. *Ἐν τούτῳ δέ τινες τῶν Ἰουδαίων συνελθόντες νεωτέρων ἐπιθυμίᾳ πραγμάτων Ματθίαν καὶ τοὺς σὺν αὐτῷ ὑφ' Ἡρώδου ἀνοθανόντας. οἳ παραχρῆμα τῆς εἰς τὸ πεισθῆναι τιμῆς φθάσαντες ἐκείνου ἀνεστέριντο. ἦσαν δὲ οἱ τῶν ἐπὶ καθαιρέσει τοῦ χρυσοῦ ἀετοῦ δεδικαιωμένων, ἐπὶ μέγα τε τῇ βοῇ καὶ οἰμωγῇ χρώμενοι καί τινα ὡς κούφισιν φέροντα τοῖς τεθνεῶσιν ἀπερρίπτουν εἰς*
207 *τὸν βωμόν. συνόδου τε αὐτοῖς γενομένης ἠξίουν τιμωρίαν αὐτοῖς ὑπ' Ἀρχελάου γενέσθαι κολάσεσιν τῶν ὑπὸ Ἡρώδου τιμωμένων, καὶ πάντων γε καὶ πρῶτον καὶ ἐκδηλότατα τὸν ὑπ' αὐτοῦ ἀρχιερέα καθεστῶτα παύσαντα νομιμώτερόν τε ἅμα καὶ καθαρὸν ἀρχιερᾶ-*
208 *σθαι ἄνδρα αἱρεῖσθαι. τούτοις Ἀρχέλαος καίπερ δεινῶς φέρων ἐπένευεν τὴν ὁρμὴν αὐτῶν διὰ τὴν ἐπὶ Ῥώμης ὁδὸν ἀνύεσθαι προκείμενον αὐτῷ τάχος ἐπὶ περισκοπήσει τῶν δοξάντων Καίσαρι.*
209 *πέμψας δὲ τὸν στρατηγὸν πείθοῖ χρῆσθαι, καὶ τῆς ἐπὶ τοιούτοις*

§ 205 = bell. Iud. II 4.

PAMWELatZonaras I p. 466.

1 *ἐπειρᾶτο* — 2 *πάντα*] *sed in omnibus eos placabat* Lat *ἐπειρᾶτο ὁμίλους*] *ἐπειράτο ομείλους* P *ἐπεὶ ἠρᾶτο τοὺς ὁμίλους*, litt. *το τοὺς ὁμίλους* i. ras. angustiore man. 2 A *ἐπεὶ ἤρατο ὁμίλους* M *ἐπίηρα τοῦ ὁμίλου* E *ἐπεὶ ἤρατο ὁμίλοις* Cotelerius 2 *ποιεῖν*] E *πονεῖν* codd. **μέγα*] *πάντα μέγα* M 3 *πρᾶγμα* om. E **γενέσθαι* P, fort. recte 4 **ἐντεῦθεν* — 5 *φίλων* om. M *δὲ*] *τε* E *κατ'*] *ἐπὶ* E 6 i. marg. *XVI* Lat 7 *ὠδύροντο* ante **Ματθίαν* add. ed. pr. **Ματθίαν* — 8 *ἀποθανόντας*] *coeperant de morte mathiae aliorumque cum eo ab herode peremptorum tumultuosa uoce causari* Lat 8 *οἳ*] *ἢ* E *εἰς τὸ*] *ἐκ τοῦ* E 9 *ἀπεθῴνουν* ante *ἦσαν* add. E *οἱ* om. E 10 *τε*] *μὲν* ME 11 *ὡς*] *ὡσ εἰσ* M *εισ* E **κούφησιν* PM *ἀπερίπτουν* P 13 *γενέσθαι*] *γεγενῆσθαι* ME *ὑφ'* E 14 *ἐκδηλότατα τὸν*] *ἐκδηλώτατα τὸν* P *ἐκδηλότατον τὸν* (litt. *ότατον τὸν τὸ* i. ras. angustiore m. 2 A) AE *ἐκδηλότατον* M 15 *παύσασθαι* ME **ἅμα*] *ὅντα* M **ἀρχιερᾶσθαι*] *ἀρχιερέα, έα* i. ras. maiore A 16 *αἱρεῖσθαι* om. ME 17 **ἐπένευσε* M **τὴν ὁρμὴν αὐτῶν ἐπένευε* tr. ed. pr. *τὴν ὁρμὴν* — 18 *τάχος*] *impetum eorum mitigare festinans, donec iter ad romam quod propositum habebat sine tumultu perageret* Lat **αὐτῶν* om. M *διὰ*] *ἐπέχων διὰ* A *ἐπέχων* E *φέρων* M litt. *τῶν ἐπέχων* — *ῥώμησ* i. ras. angustiore m. 2 A *τῆσ* E *ὁδοῦ* E *προκειμένην* AM *προκειμένησ* E 18 *τάχος*] om. E *ἢ τάχος* Bekker *ἐπὶ*] *ἐπί τε* E **περισκοπῆσαι* M 19 *δὲ*] *τὲ* ME *χρῆσθαι*] *χρῆσθαι ἐκέλευεν* E *καὶ τῆς*] *ὡσ τοῖσ* E

μωρίας ἀποστάντας σκοπεῖν, θάνατόν τε, ὃς τοῖς φίλοις αὐτῶν συνέλθοι, μετὰ νόμων γεγονότα, καὶ τὰς αἰτήσεις ὡς ἐπὶ μέγα τοῦ ἐλευθεροῦσθαι προΐοιτο, τούς τε καιροὺς οὐκ ἐν τοιοῖσδε εἶναι, μᾶλλον δὲ τοῦ ὁμονοεῖν ἕως κατασησάμενος τὴν ἀρχὴν ἐπινεύσει τῇ Καίσαρος ἀφίκοιτο· ὧδε αὐτοῖς· ὅτι γὰρ καινῇ βουλεύσειν περὶ ὧν ἀξιοῦτε σὺν αὐτοῖς· ἄρτι δὲ ἀνέχειν, μὴ καὶ στασιάζειν δοκοῖεν.

2. Καὶ ὁ μὲν ταῦτα ὑπειπὼν καὶ διδάξας τὸν στρατηγὸν ἐκ- 210
πέμπει πρὸς αὐτούς. οἱ δὲ βοῶντες λέγειν τε οὐκ εἴων καὶ εἰς κίνδυνον τοῦ ἀπολουμένου ἐκείνου τε καθίστασαν καὶ τῶν ἄλλων ὅστις γε ἐπὶ σωφρονισμῷ καὶ ἀποτροπῇ τοῦ μὴ τοιῶνδε ὀργιᾶσθαι τολμήσειν φθέγξασθαι φανερὸς ἦν διὰ τὸ πάντα βουλήσει τῇ αὐτῶν μᾶλλον ἢ ἐξουσίᾳ τῶν ἐφεστηκότων συγχωρεῖν, δεινὸν 211
ἡγούμενοι, εἰ ζῶντός τε Ἡρώδου στερηθεῖεν τῶν φιλτάτων καὶ τελευτῆς αὐτῷ γενομένης τιμωριῶν τῶν ἐπ' αὐτοῖς, ὠργικότες ταῖς γνώμαις καὶ νόμιμόν τε καὶ δίκαιον ἡγούμενοι ὅ τι μέλλήσοι ἡδονὴν αὐτοῖς φέρειν, κίνδυνον δὲ τὸν ἀπ' αὐτοῦ προϊδέσθαι τε ἀμαθεῖς καὶ εἰ τὴν ἐπιοῦσαν διῆλθον, ὑπερβολῆς αὐτῷ γενομένης τῆς πεπραγμένης ἡδονῆς ἐκ τοῦ τιμωρήσασθαι τοὺς ἐχθίστους δοκοῦντας αὐτοῖς. πολλῶν δὲ ὑπὸ ἀρχελάου πεπομένων, οἳ διελέξοιντο αὐτοῖς, τῶν 212
τε ἐνεστώτων μὲν ὑπ' ἐκείνου γνώμῃ δὲ τῇ αὐτῶν δοκεῖν παριόντων, ὅπως εἰς τὸ πραΰτερον καταστήσονται αὐτούς, οὐδενὸς ἠνείχοντο εἰπεῖν ἀνάστασίς τε ἦν δεῦρο ὀργῇ χρωμένων, φανεροί

§ 209 = bell. Iud. II 8.

PAMELatZonaras I p. 466.

1 *μωρίας*] *τιμωρίας* A *τιμωρίαις* ME **αὐτῶ* M *αὐτοῦ* A 2 *νόμων*] ed. pr. *νόμον* codd. E 3 **προσϊοιεν* P **τοῖσ τε καιροῖσ* M 4 *δὲ τοῦ*] *δ' ἐν τῶ* E 5 **βουλεύειν* AM 6 *μὴ καὶ*] ALat *μὴ* P *καὶ μὴ* M *ὡσ μὴ* E 7 *ἀποκτεινει* AME 8 *βοῶντεσ*] *λέγοντεσ* ME 9 *ἀπολουμένου*] *ἀπολομένου* A *ἀπολογουμένου* M 10 *τοῦ*] Holwerda *τῶν* codd. E *μὴ* om. AME 11 *τολμήσειν*] *τολμῶσι* M *τολμήσων* Holwerda, damnat Ernesti *ἦν*] ed. pr. *ἦν ἢ* codd. 12 *ἢ* om. P *δεινὸν τε ἡγούμενοι* M 13 *στερηθεῖεν τῶν*] *στερηθέντων* P 14 *αὐτῶν* PM *ὠργικότεσ* AM *ὠργηκότεσ* — 15 *γνώμαισ*] *ὠρμηκότεσ κωλύοιντο ταῖσ γνώμαισ*, litt. *τεσ — γνώ* i. ras. fere 12 litt. m. 2 A 15 *μελλήσει* PM 16 *δὲ*] *τε* M *ἀπ'*] *ὑπ'* AM *προϊδεσθαι, ϊ* i. ras. A *προειδέσθαι* P 17 *τῳ*] *τι* Lowthius 18 *τιμωρίσασθαι* P 19 *ὑπ'* ME **διαλλάξοιντο* M *τῶν τε — 22 εἰπεῖν*] *aliis ex regis persona loquentibus aliis autem ex illius quidem sententia sed aeluti ex sua mente momentibus, illi nullum penitus aduertebant* Lat 20 *τε ἐνεστώτων μὲν*] *δὲ οὐχ ὡσ* AME *δοκεῖν*] *τῷ δοκεῖν* coni. 21 **εἰς*] *δὲ εἰσ* M **καταστήσωνται* A *καταστήσοντοσ* P **ηνίχοντο* P 22 *δεῦρο*] *λύειν* AM *λίαν* ed. pr. *λεύειν* coni.; nam lapides in eos coniectos esse narrat bell. Iud.

τε ἦσαν ἐπὶ μέγα αὐξήσοντες τὴν στάσιν πλήθους ἐπισυρρέντος αὐτοῖς.

213 3. Ἐνστάσης δὲ κατὰ τόνδε τὸν καιρὸν ἑορτῆς, ἐν ᾗ Ἰουδαίοις ἄζυμα προτίθεσθαι πάτριον· φάσκα δ' ἡ ἑορτὴ καλεῖται ἐπόμνημα οὖσα τῆς ἐξ Αἰγύπτου ἀπάρσεως αὐτῶν γενομένης. καὶ θύουσιν αὐ-
214 τὴν προθύμως πλῆθός τε ἱερείων ὡς οὐκ ἐν ἄλλῃ καταπόπτειν ἐστὶν αὐτοῖς νόμιμον· κάτεισιν δὲ πλῆθος ἀναρίθμητος ἐκ τῆς χώρας ἤδη δὲ καὶ ἐκ τῆς ὑπερορίας ἐπὶ θρησκείᾳ τοῦ θεοῦ, καὶ οἱ νεωτερισταὶ τοὺς περὶ τὸν Ἰούδαν τε καὶ Ματθίαν ἐξηγητὰς τῶν νόμων ὀδυρόμενοι συστάντες ἐν τῷ ἱερῷ τροφῆς ηὐπορεῖτο τοῖς
215 στασιασταῖς οὐκ ὂν ἐν αἰσχύνῃ μεταιτεῖν αὐτούς. καὶ δείσας Ἀρχέλαος, μὴ καί τι δεινὸν βλαστήσειεν αὐτῶν τῇ ἀτονοίᾳ, πέμπει στρατιάν τε ἑλίτων χιλιάρχου τε τὴν ὁρμὴν τῶν ἐνεστηκότων πρότερον τὸν πάντα ὄμιλον τοῦ μανιώδους αὐτῶν πλέω καταστῆναι, καὶ εἴ τινες διάδηλοι πολὺ τῶν ἄλλων καθίσταιντο προθυμίᾳ τοῦ
216 στασιάζειν ἐπ' αὐτὸν ἀγαγεῖν. ἐπὶ τούτῳ οἱ στασιῶται τῶν ἐξηγητῶν καὶ τὸ πλῆθος ἐξιγρίωσε βοῇ καὶ διακελευσμῷ χρώμενοι ὥρμησάν τε ἐπὶ τοὺς στρατιώτας καὶ περιστάντες λεύουσιν τοὺς πλείστους αὐτῶν. ὀλίγοι δέ τινες καὶ ὁ χιλίαρχος τραυματίαι διέφυγον. καὶ τοῖς μὲν ταῦτα πραξασιν διὰ χειρῶν αἵδις ἡ θυσία
217 ἦν· Ἀρχελάῳ δὲ ἄπορον ἐδόκει σώζεσθαι τὰ πάντα μὴ οὐχ ἀνακόψειν τὴν ἐπὶ τοιούσδε ὁρμὴν τῆς πλήθους, ἐκπέμπει δὲ πᾶν τὸ

§ 213 = bell. Iud. II 10.

PAMELat Zonaras I p. 466.

3 δὲ om. E *ᾗ om. A 4 *προστίθεσθαι A πάσχα MELat δ' ἡ] δὲ P δὲ ἡ AME 5 *αὐτὴν] αὐτῆι, ι i. ras. A 6 *ὡς] ὅσα Casaubonus S *ὑπερορίας] *montanis locis* Lat *ἐπὶ] εἰσὶν ἐπὶ P 9 τε om. AME 10 *ὀδυρομένους στάντες M ·εὐποροῦντο, ευ ex υ corr. A εὐποροῦντο M εὐποροῦνται E 11 στασιώταισ AE ἐν om. ME αὐτούς] τὴν αὐτὴν E 12 *μηκέτι δεινὸν M 13 τὴν ὁρμὴν — 16 ἀγαγεῖν] *ut eorum coërceat impetum et primum quidem ut illos seditiosos repellerent et ab alia multitudine separarent* Lat τῶν ἐνεστηκότων πρότερον] τῶν στασιαζόντων καταστεῖλαι πρὸ τοῦ E 14 *πλέω] πλέω A 15 καθίστανται E 16 ἄγειν E τούτῳ] coni. τούτων P τούτους AM τούτοις E 17 τῶν ἐξηγητῶν] ὥστε E ἐξαγριῶσαι AME ἐξαγρίωσαν ed. pr. ἐξηγρίωσαν Hudson 18 περιστάντες] Bekker παραστάντες codd. καταλεύουσι AME 19 *ὁ χιλίαρχος] χιλίαρχοι P 20 διὰ χειρῶν] E διαχωρεῖν codd. *θυσία ἦν] θυσίαν P 21 σώζεσθαι A μὴ οὐχ] εἰ μὴ E *μὴ — 22 πλῆθος] *ni multitudinis illius impetus frangeretur malumque illud resecatum extingueretur* Lat ἀνακόψειν] ἀνακόψει E ἀνακόψοντι ed. pr. ἀνακόψαντι Bekker 22 τοῖσδε M τὸ στρατόπεδον] τὸ στρατόπεδον καὶ τοὺς ἵππεῖς (i. ras. angustioro m. 2 A) AE cf. bell. Iud.

στρατόπεδον * οἳ τούς τε αὐτόθι ἐσχηνωκότας κωλύοιεν τοῖς κατὰ τὸ ἱερὸν βοηθεῖν καὶ τοὺς ἐκπίπτοντας ὑπὸ τῶν πεζῶν δέχοιντο ἀντειλῆφθαι τάσιραλοῦς ἤδη πεπιστευκότας. καὶ εἰς μὲν τρισχι- 218
λίους ἄνδρας ἔκτειναν οἱ ἱππεῖς· τὸ δὲ λοιπὸν ὤχετο ἐπὶ ὄρη τὰ πλησίον ἰόντες. ἐκήρυσσε δ' Ἀρχέλαος ἀναχωρεῖν ἐπὶ τὰ αὐτῶν κῶμαι. οἱ δὲ ἀπήεσαν τὴν ἑορτὴν καταλιπόντες φόβῳ κακοῦ μείζονος καίπερ θρασεῖς ὄντες διὰ τὸ ἀπαίδευτον. Ἀρχέλαος δ' ἐπὶ 219
θαλάσσης κατῆει μετὰ τῆς μητρὸς Νικόλαον καὶ Πτολεμαῖον καὶ Πτόλλαν τῶν φίλων ἐπαγόμενος, Φιλίππῳ τἀδελφῷ τὰ πάντα ἐφεὶς καθίστασθαι τοῦ οἴκου καὶ τῆς ἀρχῆς. συνεξῆει δ' αὐτῷ 220
καὶ Σαλώμη ἡ Ἡρώδου ἀδελφὴ γενεὰν ἀγομένη τὴν αὐτῆς, πολλοί τε τῶν συγγενῶν, λόγῳ μὲν ὡς συναγωνιούμενοι τῷ Ἀρχελάῳ ἐπὶ κτήσει τῆς βασιλείας, ἔργῳ δὲ ἀντιπράξοντες καὶ μάλιστα περὶ τῶν πεπραγμένων ἐν τῷ ἱερῷ ποιησόμενοι καταβοάς. ὑπαντιάζει 221
δ' ἐν Καισαρείᾳ τὸν Ἀρχέλαον Σαβῖνος Καίσαρος ἐπίτροπος τῶν ἐν Συρίᾳ πραγμάτων εἰς Ἰουδαίαν ὡρμημένος ἐπὶ φυλακῇ τῶν Ἡρώδου χρημάτων. καὶ αὐτὸν τῆς ἐπὶ τοῖσδε ὁρμῆς ἔσχεν ὁ Οὔαρος παρελθών· διὰ γὰρ Πτολεμαίου μετάπεμπτος ὑπ' Ἀρχελάου παρῆν. καὶ Οὐάρῳ Σαβῖνος χαριζόμενος οὔτε τὰς ἄκρας, 222
ὅσαι ἐν τοῖς Ἰουδαίοις ἦσαν, παρέλαβεν οὔτε τοὺς θησαυροὺς κατεσημήνατο, εἶα δ' ἔχειν Ἀρχέλαον μέχρι Καίσαρι δόξειέν τι περὶ αὐτῶν, καὶ ἔμενεν ἐν τῇ Καισαρείᾳ τοῦθ' ὑποσχόμενος. ἐπεὶ δ' ἐκπλεῖ μὲν ἐπὶ τῆς Ῥώμης Ἀρχέλαος, Οὐάρῳ δ' ἐπ' Ἀντιοχείας ἐγένοντο κομιδαί, Σαβῖνος ἐπὶ Ἱεροσολύμων χωρίσας παραλαμβάνει

§ 217 = bell. Iud. II 12.

PAMELatZonaras I p. 467.

1 *αὐτόθι*] *αὖθις* AME 2 **πεζῶν*] *ποδῶν* M 3 *ἀντειλῆφθαι, ει* i. ras. A *ἀντιλῆφθαι* P *τοῦ ἀσφαλοῦς* AM **εἰς μὲν* — 4 *λοιπὸν* om. M 5 *δὲ* ME *αὐτῶν* codd. E 6 **ἐπήεσαν* P *ἐπῆεσαν* A **καταλειπόντες* P **φόβῳ, ω* i. ras. A *φόβου* P **μείζονος* i. ras. (eras. *καταλειπο*) P 7 *δὲ* ME 8 **κατίει* P 9 *Πτόλλαν*] *πολλοὺς* AMELat (in quo *et amicorum plurimum comitatum*); *Πόπλας* uocatur bell. Iud. **Φιλίππῳ*] *καὶ φιλίππωι* A *τῷ ἀδελφῷ* E 10 *ἀφεὶς* E **συνεξῆει* P *δὲ* ME 11 *ἡ* om. AME *γενεὰν*] *τὴν γενεὰν* AME *ἐπαγομένη* E *αὐτῆς* A *ἑαυτῆς* E 12 *τε*] *δὲ* AME **λόγοις μὲν* P 13 **ἀντιπράξαντες* M **περὶ τῶν* om. P 14 **ποιησόμενον* P **καταβοάς*] *μεταβολας* P 15 *δὲ* ME **ἐν Καισαρείᾳ* om. Lat **καισαρία* P 17 *αὐτὸν*] *αὐτὸν δὲ* ME *ἔσχεν*] *reuocauit* Lat *ἐπέσχεν* Lowthius ex bell. Iud. *ὁ* om. E 18 *πτολεμαῖον* E 20 *ἐν*] *γε ἐν* AME 21 *δὲ* ME 22 **καισαρία* P *τοῦτο* ME **ἐπεὶ*] i. marg. *XVII* Lat *δὲ* ME 23 *τῆς* om. E *δὲ* ME

223 τὰ βασίλεια. μεταπέμψας δὲ τοὺς φρουράρχους καὶ ὁπόσοι διοικηταὶ τῶν πραγμάτων ἦσαν λόγους τε ἀπαιτεῖν πρόδηλος ἦν καὶ τὰς ἄρχας καθίστατο ἃς αὐτῷ δοκοῖ. οὐ μὴν οἱ φύλακες ἐν ὀλίγῳ τὰς Ἀρχελάου ἐπιστολὰς ἐποιοῦντο. ἀλλ' ἔμενον σώζοντες τὰ πάντα ἃ προσετέτακτο αὐτοῖς. Καίσαρι δὲ φυλάσσειν ἕκαστ' ἦν προσ- 5
224 ποίησις αὐτοῖς.

4. Ἡλεῖ δὲ κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ Ῥώμης καὶ Ἀντίπας Ἡρώδου μὲν παῖς, ἐπὶ δ' ἀντιποιήσει τῆς ἀρχῆς ὑποσχέσεσι Σαλώμης ἁλοὺς ἐπὶ τῷ ἄρχειν καὶ πολὺ δικαιώτερον Ἀρχελάου παραλήψεσθαι τὰ πράγματα ἐξιοῦσι τῷ κατὰ τὰς πρώτας δια- 10
225 θήκας βασιλεῖ ἀπολειφθῆναι. ἃς ἀσφαλεστέρας εἶναι τῶν ἐπιγραφεισῶν. ἐπήγετο δὲ οὗτος τήν τε μητέρα καὶ τὸν ἀδελφὸν τὸν
226 Νικολάου Πτολεμαίου φίλον τε Ἡρῴδῃ τιμιώτατον γεγενημένον καὶ αὐτῷ προσκείμενον. μάλιστα δὲ αὐτὸν ἐνῆγεν ἐπ' ἀντιποιήσει τῆς βασιλείας φρονεῖν Εἰρηναῖος ῥήτωρ ἀνὴρ καὶ δόξῃ δεινότητος τῆς 15
περὶ αὐτῷ τὴν βασιλείαν πεπιστευμένος. διὸ δὴ καὶ τῶν κελευόντων εἶκειν Ἀρχελάῳ πρεσβυτέρῳ τε ὄντι κἀν ταῖς ἐπιδιαθήκαις
227 ὑπὸ τοῦ πατρὸς ἐγγεγραμμένῳ βασιλεῖ οὐκ ἠνείκειο. ἐπεὶ δ' εἰς τὴν Ῥώμην ἀφίκετο, καὶ πάντων τῶν συγγενῶν ἀπόστασις ἦν πρὸς αὐτόν, οὐκ εὐνοίᾳ τῇ ἐκείνου, μίσει δὲ τῷ πρὸς Ἀρχέλαον, μάλιστα 20
μὲν ἐπιθυμοῦντες ἐλευθερίας καὶ ὑπὸ Ῥωμαίων στρατηγῷ τετάχθαι. εἰ δ' ἄρα τι ἀντισταίη, λυσιτελέστερον Ἀρχελάου τὸν Ἀντίπαν λογιζόμενοι, συνέπραττον Ἀντίπᾳ τὴν βασιλείαν. καὶ Σαβῖνος κατηγόρει παρὰ Καίσαρι τοῦ Ἀρχελάου διὰ γραμμάτων.

---

§ 223 = bell. Iud. II 18.

PAMELatZonaras I p. 467.

1 *φρουράρχας A 3 *καθίσταιτο P *ᾗ] οἱ M *αὐτῷ] αὐτοὶ P δοκοίη E ἐδόκει Ernesti 4 ἐντολὰς ME *σωίζοντες A 5 *ἦν, i. marg. γρ ως A προστέτακτο E *Καίσαρι — 6 αὐτοῖς om. M ἕκαστ' ἦν] ἑκάστη P ἕκαστ' ἦν A ἕκαστα ἦν E 7 *ἀντίπα · · · σ P *antipater* Lat 8 μὲν om. AE δ' om. AME ὑποσχέσει ME 9 τῷ] τὸ E ἄρξειν AME *δικαιώτερον P δικαιότερος ed. pr. 11 *ἀποφάνθαι P post *ἐπιγραφεισῶν siquidem illud sana mente fecisset herodes, hoc autem iam sensu prae ualitudine diminuto conscripserat* add. Lat; cf. § 238 12 *ἐπείγετο P τε om. ME ἀδελφὸν τοῦ νικολάου E 13 *φίλων A¹M γεγενημένον τιμιώτατον tr. ME 15 *ἀνὴρ ῥήτωρ tr. M 16 περὶ αὐτῶι, i. marg. γρ περὶ αὐτόν ἢ παρ' αὐτῶ A 17 *ἠκειν P ἤκειν M 18 δὲ ME 19 *ἀφείκετο P 21 ἐπιθυμούντων E ῥωμαίω ME 22 δὲ ME τι] τίσ AME *Ἀντίπαν] ἀντίπατρον PLat 23 *συνέπρατον P συνέπρασσον A *Ἀντίπᾳ] ἀντιπάτρω P et i. marg. A *κατηγορεῖ A

5. Καῖσαρ δὲ Ἀρχελάου τε εἰσπέμψαντος ὡς αὐτὸν γράμματα, 228
ἐν οἷς τὰ δικαιώματα προετίθει τε αὐτοῦ καὶ τὴν διαθήκην τοῦ
πατρὸς καὶ τοὺς λογισμοὺς τῶν Ἡρῴδου χρημάτων ὧν τῷ σημαν-
τῆρι κομίζοντα Πτολεμαῖον, ἐκαραδόκει τὸ μέλλον. ὁ δὲ ταῦτά τε 229
ἀναγνοὺς τὰ γράμματα καὶ τὰς Οὐάρου καὶ Σαβίνου ἐπιστολὰς
ὅπόσα τι χρήματα ἦν καὶ τί ἐπ' ἔτος ἐφοίτα καὶ ὅσα Ἀντίπας
ἐπ' οἰκειώσει τῆς βασιλείας ἐπεπόμφει γράμματα συνῆγεν ἐπὶ
πανοχωχῇ γνωμῶν τοὺς φίλους, ὧν οἷς καὶ Γάιον τὸν Ἀγρίππου
μὲν καὶ Ἰουλίας τῆς αὐτοῦ θυγατρὸς υἱὸν ποιητὸν δὲ αὐτῷ γεγο-
νότα πρώτων τε καθεδούμενον παρέλαβε, καὶ κελεύει λέγειν τοῖς
βουλομένοις περὶ τῶν ἐνεστηκότων. καὶ πρῶτος ὁ Σαλώμης υἱὸς 230
Ἀντίπατρος δεινότατός τε ὢν εἰπεῖν καὶ τῷ Ἀρχελάῳ ἐναντιώτα-
τος ἔλεγεν Ἀρχελάῳ παιδιὰν τὸν περὶ τῆς ἀρχῆς εἶναι λόγον ἔργῳ
τὴν δύναμιν αὐτῆς πρότερον ἢ Καίσαρα συγχωρῆσαι παρειληφότι,
ἐπικαλῶν τὰ τετολμημένα ἐπὶ τοῖς ἀπολωλόσι κατὰ τὴν ἑορτήν·
ὧν καὶ ἀδικούντων ἄλλως ἔσχεν τὴν τιμωρίαν εἰς τοὺς ἔξω χρῆ- 231
σθαι δυναμένους ἀνακειμένην εἶναι, καὶ μὴ ὑπ' ἀνδρὸς πεπρᾶχθαι,
εἰ μὲν βασιλέως, ἀδικοῦντος τὸ Καίσαρος διαγνοίᾳ περὶ αὐτοῦ ἔτι
χρώμενον, εἰ δὲ ἰδιώτου, πολὺ χειρόνως, διὰ τὸ μὴ βασιλείας ἀντι-
ποιουμένῳ καλῶς ἂν συγκεχωρῆσθαι, διὰ τὸ Καίσαρα τῆς ἐπ' αὐ-
τοῖς ἐξουσίας ἀφαιρεῖσθαι. καθήπτετο δὲ αὐτοῦ ἡγεμόνων τινῶν 232
ἐν τῷ στρατιωτικῷ μετάστασιν ἐπικαλῶν καὶ προκάθισιν ἐπὶ θρό-
νου βασιλείου καὶ δικῶν διάλυσιν ὡς ὑπὸ βασιλέως γενομένην κα-
τηγορίας τε αἰτήσεων τοῖς δήμοσία αἰτουμένοις καὶ πάντων ὅπα-

§ 228 = bell. Iud. II 24.

PAMELat

1 *καίσαρι δὲ ἀρχέλαος εἰσπέμψας γράμματα ἐν οἷς* E 2 *προετίθει*] Ernesti *προεστίθει* codd. E *proposuit* Lat *τε, i. marg. τα A 3 *σημαν-
τῆρει* P 4 *ταῦτ'* E *τε* om. AME 5 *Οὐάρου τε καὶ* ME 6 *ὁπόσα
τε*] *ὅσα τὰ* M *ὅσα τὲ* E *τί*] E *τὸ* codd. *quid pecuniae* Lat *ὅσα*] *ὡς*
AME (*litteras*) *quas* Lat *ὅσ'* coni. *Ἀντίπατροσ* PLat 8 *παρακωχῇ* AME
9 *αὐτῷ*] *αὐτοῦ* E 10 *τε*] *δὲ* M, om. E 11 *ὁ* om. ME 12 *τῶι* post
**ὧν* suppl. m. 1 A 13 **παιδεῖαν* P 15 **ἐπὶ*] *παρὰ* M 16 *ὧν* — 17
εἶναι] *qui si et iniustum aliquid gessissent, alius in eos debere ulcisci, qui eos
posset legitima et ordinata potestate compescere* Lat *ἄλλως*] *καλῶς* coni.
ἔσχεν] *ἔχρην* ed. pr. *ἔξω*] *ἐξουσίᾳ* Hudson 18 *τὸ*] *τῷ* A *διαγνοίᾳ*] *δι'
ἄγνοιαν* AM et ut uid. Lat 19 *πολὺ χειρόνως*] *amplius eum deliquisse* Lat
χεῖρον ὡς AM *μὴ*] *μηδεμιᾶς* A *μὴδὲ* M 20 *ἂν*] *ἄν τι* AM *συγ-
κεχωρῆσθαι* P 21 *δὲ*] *τε* Bekker 22 *μεταστάσεισ* MELat *μεταναστάσεισ*
A 23 *διαλύσεισ* AME *γενομένασ* A *γενομένων* ME

πραξιν. ὧν οὐδὲν ἂν μειζόνως ἐπαινῆσαι καθεσταμένον ὑπὸ τοῦ
233 Καίσαρος εἰς τὴν ἀρχήν. ἀνετίθει δὲ αὐτῷ καὶ τῶν ἐκ τοῦ ἱππο-
δρόμου δεσμωτῶν τὴν ἄφεσιν καὶ πολλὰ τὰ μὲν γεγονότα τὰ δὲ
καὶ πιστεύεσθαι δυνάμενα διὰ τὸ φύσιν ἔχειν γίνεσθαι ὑπό τε νεω-
τέρων καὶ φιλοτιμίᾳ τοῦ ἄρχειν προλαμβανόντων τὴν ἐξουσίαν, 5
πένθους τε τοῦ ἐπὶ τῷ πατρὶ ἀμελείας καὶ κωμασμοὺς αὐτοντὶ
234 τῇ ἐκείνου τελευτῇ γεγονότας, ἐφ' οἷς δὴ καὶ τὴν πληθὺν ἀρχὴν
τοῦ στασιάζειν λαβεῖν, εἰ τοιαῦτα εὐεργετήσαντος αὐτὸν τοῦ πα-
τρὸς καὶ οὕτως μεγάλων ἠξιωκότος τοιοῖσδε ἀμείβεσθαι τὸν νέκυν,
ὥσπερ ἐπὶ σκηνῆς δακρύειν μὲν προσποιούμενον τὰς ἡμέρας, ἀπο- 10
235 λαύοντα δὲ ἡδονῇ τῇ ἐπὶ τῆς ἀρχῆς ὅσαι νύκτες. φανεῖσθαί τε
καὶ περὶ τὸν Καίσαρα τοιόνδε ὄντα Ἀρχέλαον συγχωροῦντα τὴν
βασιλείαν, ὁποῖος γένοιτο καὶ περὶ τὸν πατέρα· χορεύειν γὰρ καὶ
ᾄδειν ὥσπερ ἐχθροῦ πεσόντος, ἀλλ' οὐκ ἀνδρὸς οὕτως μὲν συγγε-
236 νοῦς, τηλικαῦτα δ' εὐεργετεῖν ἐξηγμένου. δεινότατόν τε πάντων 15
ἀπέφηνε τὸ νῦν ἥκειν ἐπὶ Καίσαρος κατανεύσει τῇ ἐκείνου χρησό-
μενον τῇ βασιλείᾳ πάντων αὐτῷ προπεπτοιημένων, ὁπόσα γένοιτο
ἂν ὑπὸ σοῦ βεβαίως ἤδη τοῦ αὐτοκράτορος παρεσχημένου πραυσό-
237 μενα. μάλιστα δὲ τὴν σφαγὴν τῶν περὶ τὸ ἱερὸν ἐδείνου τῷ λόγῳ
καὶ τὴν δυσσέβειαν, ὡς ἑορτῆς τε ἐνεστηκυίας καὶ ἱερείων ἐν τρόπῳ 20
σφαχθεῖεν ἔνιοι μὲν ξένοι οἱ δὲ ἐγχώριοι, πλησθείη δὲ τὸ ἱερὸν
νεκρῶν οὐχ ὑπ' ἀλλοφύλου, ἀλλὰ τοῦ καὶ μετὰ νομίμων ὀνομάτων
τῆς βασιλείας ἐφιεμένου τῆς πράξεως. ὅπως δὴ πληθὺν πλησθῶσαι
τῆς φύσει τυραννίδος τὴν πᾶσιν ἀνθρώποις μεμισημένην ἀδικίαν.

§ 232 = bell. Iud. II 28.

PAMELat

1 *οὐδέν ἂν*] *οὐδένα* M *ἐπαινοῦσαι* Ernesti *καθιστάμενον* A *καθεσταμένων* M 4 *δυνάμενα*] *γινόμενα* P *τε* om. M 6 **τοῦ*] *τῶι* A *καὶ*] *τε καὶ* ME *καὶ κωμασμοὺς — 7 γεγονότας*] *prohibitos quoque animos a rege cum moreretur videndo* Lat *κωμασμοὺς*] *κώ · · · μους*, supra *ου* eras.' A *κώμους* ME *αὐτοντικτὶ τῇ*] *αὐτῇ νυκτὶ τῇ ἐπὶ τῇ* E 9 *οὕτω* AM 10 *μὲν*] *μὲν τὸν* P 11 *ἡδονῆς τῆς* Dindorf 14 *ἀλλ'* — 15 *ἐξηγμένου* om. Lat *οὕτω* M 15 *δὲ* M *εὐεργέτην* P 16 *ἀπέφαινε* AE *ἀπέφαινον* M 17 *προσπεποιημένων* ME *ὁπόσα* — 18 *πραυσόμενα*] *quanta illi nec amplior et a caesare rerum domino posset attribui* Lat 18 *ὑπὸ σοῦ*] *ὑπ' αὐτοῦ* ed. pr. 19 **ἐδείνου τῷ*] *ἐδεινούτω* P 20 **ὡς* — 21 *σφαχθεῖεν*] *quod in die festo sacrificiis diuinis instantibus multa milia hominum caesa fuissent* Lat *τρόπῳ*] *τροπῇ* P *τόπω* ME 21 **σφαχθεῖεν*] *σφαχθέντων* P *ἐγχώριοι* P *πλεισθείη* P *πληθείη* M *δὲ*] *δὴ* M 22 *τοῦ καὶ*] *καὶ τοῦ* P *τοῦ* M 23 *ὅπως* — 115, 7 *πατέρα* liberius transtulit Lat

δι' ἣν μηδὲ ἕναρ ποτὲ ἑωρᾶσθαι βασιλείας αὐτῷ τὴν διαδοχὴν 238
ἀρετῇ τοῦ πατρός· ἐπίστασθαι γὰρ αὐτοῦ τὸν τρόπον καί τοι ἐχθρὸν
αὐτῷ [ἐκ] τῶν διαθηκῶν ἰσχυρότερον Ἀντιπάτρῳ καθίστασθαι·
κληθῆναι γὰρ ἐπὸ τοῦ πατρὸς ἐπὶ τὴν βασιλείαν οὐχὶ νοσοῦντος
πρὸς τῷ σώματι καὶ τὴν ψυχήν, ἀλλὰ ἀκραιφνεῖ μὲν τῷ λογισμῷ
χρωμένου, ἀκμῇ δὲ σώματος τοῖς περάγμασιν ἐφεστηκότος. εἰ δὲ 239
καὶ πρότερον εἰς αὐτὸν ἐπίστης τοῖς νῦν διατεθεῖσθαι τὸν πατέρα,
ἀποκεφάνθαι λοιπὸς ἂν γένοιτο βασιλεὺς τὸν μὲν κύριον παρα-
σχεῖν τὴν βασιλείαν Καίσαρα ἀφῃρημένον τοῦ δοῦναι τὴν ἐξουσίαν,
τοὺς δὲ πολίτας ἰδιώτην ὄντα ἀκμὴν σφάζειν ἐν ἱερῷ μὴ ἀποτε-
τραμμένον.

6. *Καὶ Ἀντίπατρος μὲν τοιάδε εἰπὼν καὶ μαρτύρων παρα-* 240
στάσεσιν τὰ εἰρημένα κρατυνάμενος πολλοῖς τῶν συγγενῶν παύεται
τοῦ λέγειν. ἀντίστασις δὲ Νικόλαος ὑπὲρ Ἀρχελάου καὶ ἔλεγεν τὰ
μὲν ἐν τῷ ἱερῷ γνώμῃ τῶν πεπονθότων ἀναθεὶς μᾶλλον ἢ ἐξουσίᾳ
τῇ Ἀρχελάου· τοὺς γὰρ ἐπὶ τοιοῖσδε ἄρχοντας οὐ μόνον τῷ καθ'
αὑτοὺς ὑβρίζοντι εἶναι πονηρούς, ἀλλὰ καὶ τῷ ἀναγκάζοντι εἰς τὴν
ἄμυναν τῶν εὐγνωμονεῖν προαιρουμένων. ὡς δὲ πολέμια ἔδρων 241
λόγῳ μὲν κατ' Ἀρχελάου τὰ δὲ ἀληθῆ εἰς Καίσαρα φανερὸν εἶναι·
τοὺς γὰρ ὑβριοῦντας κωλυτὰς παραγενομένους ἢ ὑπ' Ἀρχελάου με-
τεμφότος κτεῖναι ἐπιθεμένους οὔτε τοῦ θεοῦ οὔτε τοῦ νόμου τῆς
ἑορτῆς ἐν φρονήσει γενομένους, ὧν Ἀντίπατρον οὐκ αἰσχύνεσθαι 242
ἐκδικητὴν καθιστάμενον ἐπὶ θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς
Ἀρχέλαον ἢ φύσει τοῦ ἀρετῇ δικαίου. οἱ παρελθόντες καὶ μὴ
πρὸς διανοουμένους ἄρχοντες ἀδίκων ἔργων. οἵδε εἰσὶν οἱ βιαζόμε-

§ 238 = bell. Iud. II 31.

PAMELat

1 *ποτε ὁρᾶσθαι* AM 2 *ἐπίστασθε* ex corr. A *καί — 3 καθίστασθαι*] *προσεπίθει δὲ καὶ ἀντίπαν ἐκ τῶν διαθηκῶν ἰσχυρότερον εἶναι* E *καί τοι*] *καὶ τὸ* M *καὶ τὸν* ed. pr. 3 **ἐκ* om. P **ἰσχυρώτερον* P 4 *νοσοῦντος*] *νεκροῦ ὄντος* E 5 **ἀκραιφνῆ* P 6 **ἀλκει* P *εἰ δὲ*] *εἴ τε* M 7 *τοῖς νῦν*] *τοίνυν* M 8 *ἀποπέφανται* AM, i. marg. *γρ ἀποπεφάνθαι* A 9 *ἀφῃρημένος* AM *τοῦ*] *τὸ* M 13 **κρατυνόμενος* AM 14 **καὶ ἔλεγεν* uix sana 15 *ἀναθεὶς*] *ἀνατιθεὶς* AME 16 *τῷ*] *τοῦ* ME *καθ' ἑαυτοὺς* M 18 *ἀγνωμονεῖν* M 19 *κατὰ* E 20 *τοὺς γὰρ*] *τοὺς γὰρ τοὺς* i. ras. angustiore m. 2 A *ὑβριοῦντας*] *τοῦ ὑβριοῦντος* Bekker *κωλυτὰς*] *λωποδύτας* M *παραγενομένους* P *ἢ*] *οἱ* (i. ras. A) AM, i. marg. *γρ ἢ* A *καὶ* ed. pr. *ἢ ὑπ'*] *καιρίως* Bekker *ὑπ'*] *ὑπερ* P *ὑπὸ* M *πεπομφότος*] *πεπονθότες* M *πεπομφότας* ed. pr. 24 *ἢ φύσει — δικαίου*] *et odio magis quam natura iustitiae iudicaret* Lat *φύσει*] *μίσει* ex Lat Hudson *παρελθόντες*] *γὰρ ἐλθόντες* coni. 25 *ἄρχοντες — 116, 1 ἀμυνομένους* om. P *ἔργων* om. M

243 *νοι καὶ μὴ θέλοντας τοὺς ἀμυνομένους ἐφ' ὅπλα χωρεῖν. ἀντίθει δὲ καὶ τὰ λοιπὰ πᾶσι τοῖς ἐν βουλῇ τῶν κατηγόρων· οὐδὲν γὰρ ὅ τι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν γεγενημένον αἰτίᾳ τοῦ ἀδικεῖν ὑπάγεσθαι, οὐ τῇ φύσει τῇ οὕτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τῷ βλάπτειν ἂν δοκεῖν Ἀρχέλαον. τοσοῦνδε αὐτοῖς εἶναι βουλὴν τοῦ ἐβριοῦντος εἰς ἄνδρα συγγενῆ, καὶ πατρὸς μὲν εὐεργέτου.
241 συνήθη δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένον. τάς γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως καὶ κυριωτέρας τῶν γεγραμμένων πρότερον διὰ τὸ Καίσαρι δεσπότῃ τῶν ὅλων καταλελεῖφθαι τὴν κρίσιν τῶν ἐν αὐταῖς γεγραμμένων.
245 μιμήσεσθαί τε οὐδαμῶς Καίσαρα τὴν ὕβριν αὐτῶν, οἳ τῆς Ἡρῴδου παντοίως ἀπολαύσαντες παρ' ὃν ἔζη καιρὸν δυνάμεως τὰ πάντα ἐπὶ ὕβρει γνώμης ἐπείγοιντο αὐτοῦ, οὐδ' αὐτῶν περὶ τὸν συγγενῆ
246 τοιούτων γεγονότων. οὔκουν Καίσαρά γε ἀνδρὸς ἐπ' αὐτῷ πεποιημένου τὰ πάντα καὶ φίλου καὶ συμμάχου καταλύσειν τὰς διαθήκας ἐπὶ πίστει τῇ αὐτοῦ γεγραμμένας, οὐδὲ μιμήσεσθαι κακίαν τὴν ἐκείνου τὴν Καίσαρος ἀρετὴν καὶ πίστιν πρὸς ἅπασαν τὴν οἰκου-
247 μένην ἀνενδοίαστον γενομένην, καὶ μανίαν καὶ λογισμῶν ἔκστασιν κατακρίνειν ἀνδρὸς βασιλέως, εἰεί μὲν ἀγαθῷ τὴν διαδοχὴν καταλελοιπότος, πίστει δὲ τῇ αὐτοῦ προσπεφευγότος· οὔτ' ἁμαρτάνειν Ἡρῴδην ποτὲ περὶ κρίσιν τοῦ διαδόχου σωφρούνῃ κεχρημένον ἐπὶ τῇ Καίσαρος γνώμῃ τὰ πάντα ποιεῖσθαι.

248 7. Καὶ Νικόλαος μὲν τοιάδε διελθὼν καταπαύει τὸν λόγον·

---

§ 243 = bell. Iud. II 35.

PAMELat

2 *πᾶσι] πάντα coni. τῶν κατηγοριῶν E 3 *γεγενημένῳ M 4 *τῇ φύσει] τῷ φύσει coni. τῇ οὕτως] δὲ ὅπως E τοιούτως ed. pr. δὲ οὕτως Bekker τῇ αὐτῶν coni. *αὐτὰ] τὰ coni. 5 τῷ] τὸ PE βλάψαι coni. 6 ἄνδρα συγγενῆ] E ἄνδρας συγγενεῖς codd. *εὐεργέτην ed. pr. 7 *σύνηθες P πεπολιτευμένον] ed. pr. et ut uid. Lat πεπολιτευμένου codd. E 8 *γε] τε A 9 *κυριωτέρας] θυγατέρας P τῶν] εἶναι τῶν E Καίσαρι] E καίσαρα codd. δεσπότῃ] δεσπότην codd. ὡς δεσπότῃ E 10 τὴν] πρὸς τὴν ed. pr. 11 αὐτῶν] αὐτοῦ AM, i. marg. γρ αὐτῶν A οἳ] ὅτι P 13 ἐπείγοιντο αὐτοῦ ἐπὶ ὕβρει γνώμης tr. P¹ οὐδ' — 14 γεγονότων] om. Lat οὐδ' αὐτῶν τὸ περὶ τὸν συγγενῆ τοιοῦτο γεγονός coni. 14 γε] Bekker τε codd., om. E ἐπ'] ὑπ' AME 14 καταλύειν ME 16 μιμήσεσθαι] ed. pr. imitaturam esse Lat μιμήσασθαι codd. 17 ἐκείνου AM πᾶσαν M 18 ἀνενδόαστον P γεγενημένην M καὶ μανίαν — 19 βασιλέως] unde nequaquam possit herodi alienationem et furiam mentis adscribere Lat καὶ μανίαν] ὡς μανίαν coni. 19 κατακρίνει M κατακρίνειν Cocceji καταλελοιπὸς P 20 οὔτ'] P οὔτε AM ἁμαρτεῖν coni. 21 ἡρῴδου M et ex corr. A κεχρημένην M

Καίσαρ δὲ Ἀρχέλαον προσκυσόντα αὐτῷ κρὸς τὰ γόνατα φιλο-
φρόνως τε ἀνίστη φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας πολλήν
τε ἀπέφαινε τροπὴν γνώμης τῆς αὐτοῦ οὐκ ἄλλα πράξειν, ἀλλ'
ὁπόσα ἄν τε διαθῆκαι ὑπηρχόρενον καὶ Ἀρχελάῳ συνέφερεν. οὐ 249
μέντοι γε ἐκεκύρωτο οὐδέν, ὡς ἂν ἐγγγύῳ παραδείγματι χρώμενον
ἐπ' ἀδείας Ἀρχέλαον εἶναι. καὶ διαλύσεως τῶν ἀνδρῶν γενομένης
ἐσκοπεῖτο καθ' αὑτόν, εἴτε Ἀρχελάῳ τὴν βασιλείαν ἐπικυρωτέον,
εἴτε νομὴν αὐτῆς ποιεῖσθαι κατὰ τῷ Ἡρώδου γένει καὶ ταῦτα
κάντων πολλῆς ἐπικουρίας δεομένων.

X. 1. *Πρότερον δὲ ἢ κύρωσίν τινα τούτων γενέσθαι Μαλθάκη* 250
τε ἡ Ἀρχελάου μήτηρ νόσῳ τελευτᾷ καὶ παρὰ Οὐάρου τοῦ Συρίας
στρατηγοῦ παρῆν γράμματα τὴν Ἰουδαίων ἀπόστασιν διασαφοῦντα·
τοῦ γὰρ Ἀρχελάου μετὰ τὸν ἔκπλουν ἐθορυβήθη τὸ πᾶν ἔθνος. 251
καὶ Οὔαρος αὐτὸς ἐπεὶ παρὼν ὡς τοὺς αἰτίους τῆς κινήσεως τι-
μωρίᾳ περιβαλὼν καὶ τοῦ πολλοῦ τῆς στάσεως ἐπίσχεσιν ποιησά-
μενος πολλῆς γενομένης ἐπ' Ἀντιοχείας τὴν ἀναζυγὴν ἐποιεῖτο,
τάγμα ἓν τῆς στρατιᾶς ἐν Ἱεροσολύμοις λειπόμενος τὴν Ἰουδαίων
νεωτεροποιίαν ἐπιστομιοῦντας. οὐ μὴν ἐπεραίνετό γε οὐδὲν ἐπὶ 252
παύλῃ τοῦ μὴ οὐ στασιάσοντος αὐτῶν. ὅτε γὰρ Οὔαρος ἀπῄει
καὶ Σαβῖνος ὁ ἐπίτροπος τοῦ Καίσαρος ἐπομένας αὐτόθι μεγάλως
τοῖς στασιώταις κατεπόνει. στρατιᾷ τε τῇ καταλελειμμένῃ πιστεύων,
ὡς καὶ περιέσωσεν αὐτόν. καὶ τῷ πλήθει· πολλοὺς δὲ ὄντας ὁπλι- 253
σας ὁρμωμένους ἐχρῆτο αὐτοῖς ἐπιτηρῶν τοὺς Ἰουδαίους καὶ ἐκτα-
ράσσων ἐπὶ ἀποστάσει· τάς τε γὰρ ἄκρας ἐβιάζετο παραλαμβάνειν

§ 248 = bell. Iud. II 37.

PAMELat

3 *ἀπέφηνε* P *ἀπέφηνε* ME **τροπὴν*, supra *πὴν* s. litteras quasdam abbreuiatas, quas non expedio M *ῥοπὴν* coni. **οὐκ ἄλλα*] *et non aliter* Lat

**πράξων* A 5 *μέντοι μὴν* E *γε* om. ME corruptelam agnouit Ernesti **ὡσ ἀνεγγύου*, i. marg. *γρ ὡσ ἂν ἐγεγγύω* A 7 *καθ' ἑαυτὸν* ME **εἴτε*] *εἴτ' ἐν* P *ἐπικυρωτέον*] *εἴη κυρωτέον* AE *εἴη κεκυρωτέον* M 8 *νομὴν αὐτῆς*] *κοινὴν αὐτὴν* AME **πάντα* M 10 i. marg. *ιβ'* E *τούτων τινα* tr. ME

Μαλθάκη] *μαρθάκη* A *μάρθα* ME om. Lat 11 *τοῦ τῆσ συρίασ* E 14 *ἐπεὶ παρὼν ὡς*] *ἐπιπαρὼν* · · (ι i. ras.) A *ἐπεὶ παρὼν* M *ἐπεὶ παρῆν* E *aduenienſ* Lat; Varum Hierosolyma adiisse ex bell. Iud. constat; quare uitium latet: *ὡς* in *ὃς* mutandum uid 15 *πολλοῦ*] *πλοῦ τοῦ* P *πλείστου* E 17 *τὴν Ἰουδαίων*] *τῶν Ἰουδαίων τὴν* ME 18 **ἐπαιραίνετό* P 19 **οὐ* om. P 20 *ὁ* om. ME 21 *στασιώτασ*] E *στρατιώτασ* codd. *iudaeos* Lat **στρατιᾷ, ι* i. ras. A **καταλελιμμένη* P 22 **τῷ πλήθει*] *πλήθει δούλων ἰδίων* bell. Iud. *δὲ*] *τε* M, om. E 23 **ἐπείγων, εἰ* i. ras. A, i. marg. *XVIII* Lat 24 **παραλαμβάνειν, πα* ex *επι* corr. P

καὶ τῶν βασιλικῶν χρημάτων ἐπ' ἀρετῇ προθύμως ὥρμητο βίᾳ διὰ κέρδη καὶ πλεονεξιῶν ἐπιθυμίας.

254 2. Ἐνστάσης δὲ τῆς πεντηκοστῆς, ἑορτὴ δὲ ἡμῶν ἐστιν πάτριος τοῦτο κεκλημένη, οὔτι κατὰ τὴν θρησκείαν μόνον παρῆσαν, ἀλλ' ὀργῇ φέροντες τὴν παρανίαν τῆς Σαβίνου ἔβρεως μυριάδες συνηθροίσθησαν ἀνθρώπων καὶ πάνυ πολλαὶ Γαλιλαίων τε καὶ Ἰδουμαίων. Ἱεριχουντίων τε ἦν πλῆθος καὶ ὁπόσοι περάσαντι Ἰορδάνην ποταμὸν οἰκοῦσιν. αὐτῶν τε Ἰουδαίων πλῆθος πρὸς πάντας συνειλέχατο καὶ πολὺ προθυμότεροι τῶν ἄλλων ἐπὶ τιμωρίᾳ τῇ Σαβίνου
255 ὥρμήκεσαν. καὶ τρία μέρη νεμηθέντες ἐπὶ τοσῶνδε στρατοπεδεύονται χωρίων, οἱ μὲν τὸν ἱππόδρομον ἀπολαβόντες, καὶ τῶν δὲ λοιπῶν δύο μερῶν οἱ μὲν τῷ βορείῳ τοῦ ἱεροῦ πρὸς μεσημβρίαν τετραμμένοι, οἱ δὲ εἶχον μοῖραν εἶχον, μοῖρα δὲ αὐτῶν ἡ τρίτη τὰ πρὸς δυόμενον ἥλιον, ἔνθα καὶ τὸ βασίλειον ἦν. ἐπράσσετο δὲ τὰ πάντα αὐτοῖς ἐπὶ πολιορκίᾳ τῶν Ῥωμαίων ἀπανταχόθεν αὐτοῖς
256 ἀποκεκλεισμένων. καὶ Σαβῖνος, ἔδεισε γὰρ τό τε πλῆθος αὐτῶν καὶ τὰ φρονήματα ἀνδρῶν ἐν ὀλίγῳ τὸ θαρεῖν ποιουμένων ὑπὸ τοῦ ἡττᾶσθαι μὴ ἐθέλειν ἐφ' οἷς ἀρετὴν κρίνειαν τὸ νικᾶν, παραχρῆμά τε ὡς τὸν Οὔαρον ἔπεμπε γράμματα καὶ τὸ σύνηθες οὐκ ἀνίει κελεύων ἐκ τοῦ ὄξέος βοηθεῖν. ὡς κινδύνου μεγίστου τὸ ἐγκαταλειφθὲν στράτευμα περιεσχηκότος διὰ τὸ μὴ ἐς μακρὰν ἐλπίζειν

§ 254 = bell. Iud. II 42.

PAMELatZonaras I p. 467.

1 *βίᾳ seclusit Bekker 3 ἐπιστάσης PME δὲ] γὰρ E 5 *παρανίαν] παρουσίαν M *μυριάδες] μυριάδες δὲ P 6 τε καὶ Ἰδουμαίων om. Lat 7 ἦν] ἡ AM περάσαντες AME 8 πλῆθος] πλῆθος ἦν ὅ AM 9 πολὺ] πολλοὶ M προθυμώτεροι P *τιμωρίαι A τῇ] τοῦ AM, om. E 10 *ὡρμώκεσαν P τοσῶνδε] Bekker τοιῶνδε codd. E diuersa Lat *στρατοπαιδεύονται PA 11 *οἱ μὲν — 13 εἶχον] cum trina fuerint castra, una a septemtrione templi, altera a meridie prope hippodromum, tertia ab occidente apud regiam, ut ex bell. Iud. apparet, sic fere haec refingenda sunt: οἱ μὲν τὸν ἱππόδρομον ἀπολαβόντες τοῦ ἱεροῦ πρὸς μεσημβρίαν τετραμμένοι, καὶ τῶν δὲ λοιπῶν δύο μερῶν οἱ μὲν τὸ βόρειον εἶχον, μοῖρα δὲ αὐτῶν; nam orientale latus occupatum non erat *ἀπολαύοντες M καὶ om. E δὲ eras. A 12 λοιπὸν M *δύο] δὲ δύο ex corr. A *βορίῳ P 13 *τετραμμένου Coccoji ἑῴαν] τὴν ἑῴαν AME *τὰ — 14 ἥλιον] ippodromum sicut diximus ab occidente Lat 14 ἔνθεν E 15 *πανταχόθεν M 16 ἀποκεκλεισμένων] E et ut uid. Lat ἀποκεκλεισμένοις codd. τότε] τότε τὸ E 18 *ἠττῆσθαι M θέλειν M ἀρετὴ M i. marg. γρ ἀρετὴ κρίναιτο ἄν, τὸ νικᾶν A *παραχρῆματά τε M 19 ἔπεμψε E 20 *ἀνίει, ἰει i. ras. A ὄξέος] E ὀξέως codd. *ἐγκαταληφθὲν P 21 εἰὸ AM

κατακοπήσεσθαι ληφθέντας αὐτούς. αὐτὸς δὲ τοῦ φρουρίου τὸν 257
ὑψηλότατον τῶν πύργων καταλαβόμενος Φασάηλον ἐπὶ τιμῇ τοῦ
Ἡρώδου ἀδελφοῦ Φασαήλου ὠνομασμένον τε καὶ αὖτις κἀμμένων
τελευτῆς ὑπὸ Παρθυαίων αὐτῷ γενομένης, κατέσειε τοῖς Ῥωμαίοις
ἐπιξένοις τοῖς Ἰουδαίοις, αὐτὸς μὲν οὐδ' εἰς τοὺς φίλους τολμῶν
κατιέναι, τοὺς δ' ἄλλους προαποθνήσκειν αὐτοῦ τῆς πλεονεξίας
δικαιῶν. τολμησάντων δ' εἰς τὴν ἔξοδον τῶν Ῥωμαίων μάχῃ συν- 258
ήει καρτερᾷ, καὶ οἱ Ῥωμαῖοι πολλῶν μὲν ἔργων ἐκράτουν, οὐ μὴν
τὰ φρονήματά γε τοῖς Ἰουδαίοις ἔκαμνε τῇ ὕψει τοῦ δεινοῦ πολλῶν
αὐτοῖς πεπτωκότων, περιοδεύσαντες δ' ἀνίασιν ἐπὶ τὰς στοάς, αἵ- 259
περ ἦσαν τοῦ ἱεροῦ τὸν ἔξω περίβολον περιέχουσαι, καὶ πολλοῖς
ἀμάχου γενομένης λίθους τε ἠφίεσαν τοὺς μὲν ἐκ χειρὸς ἑστῶντες,
οὓς δὲ σφενδονῶν, ἀθληταὶ τρόπου τοιαύτης μάχης ὄντες. καὶ οἱ 260
τοξόται πάντες παρατεταγμένοι μεγάλα ἔβλαπτον τοὺς Ῥωμαίους
διὰ τὸ ὑπερδέξιοί τε εἶναι καὶ ἐπιχειρεῖσθαι μὲν ἄπορoι διὰ τὸ
ἀνέφικτον τοῖς εἰσακοντίζειν πειρωμένοις εἶναι, ῥᾴους δὲ κρατεῖ-
σθαι τοὺς πολεμίους ἔχοντες. καὶπολὺν μὲν χρόνον ἡ μάχη συνέ-
στη τοιάδε οὖσα. ἔπειτα Ῥωμαῖοι δεινῶς φέροντες τοῖς δρωμένοις 261
πῦρ ἐνιᾶσιν ταῖς στοαῖς λαθόντες Ἰουδαίων τοὺς ἀναβιβάζοντας ἐπ'
αὐταῖς. καὶ τὸ πῦρ ἐπὸ τε πολλῶν προσττθειμένων καὶ μετὰ τῶν
ἐγείρειν φλόγα δυναμένων ἥπτετο τοῦ ὀρόφου ἧ τάχος. ὁ δὲ ξύ- 262
λωσιν παρέχων πίσσης τε καὶ κηροῦ πλέον ἔτι δὲ χρυσὸν ἐπαλη-

§ 257 = bell. Iud. II 46.

PAMELatZonaras I p. 467.

1 *τὸν*] E et ut uid. Lat *τὸ* PA *τοῦ* M **ὑψηλοτάτου τὸν πύργον* M 5 **ὑπεξιέναι* M *οὐδὲ* M 6 *δὲ* M *προαποθνήσκειν* M 7 *δὲ* ME *σύνει* A 8 *πολλῶν — ἐκράτουν*] *et licet romani opere bellico et experientia superiores existerent et plures ex iudaeis occumberent* Lat *πολλῶν μὲν ἔργων*] *πολεμίων ἔργων* M et i. marg. A *τῶν πολεμίων ἔργω* E 9 **γε*] *τε* M 10 *δὲ* ME **ἀνίεσαν* M 11 *καὶ — 12 γενομένης*] *et ibi multum proelium conflatur* Lat *πολλοῖς ἀμάχου*] *πολλῆς μάχης* AME, quod nihili est; cf. bell. Iud. 12 **ἠφίεσαν* P *ἠφεῖσαν, εἰ* i. ras., i. marg. *γρ ἀφεῖσαν* A *ὑφίεσαν* M *χειρῶν* E 13 *δὲ*] *δὲ καὶ ἐκ* E *δ' ἐκ* coni. **σφενδόνων* PA *σφενδονῶντες* Ernesti *τρόπου* AM *τοιαύτης*] *τῆσ αὐτῆσ* M 15 **ὑπερδεξίων* M **ἐπιχειρίσθαι* P 16 *ἀνέφικτοι* E 18 *Ῥωμαῖοι*] *οἱ ῥωμαῖοι* ME 18 **ἐνᾶσιν*, i. marg. *γρ ἐνεῖσαν* A 19 *ἐπ' αὐτάσ* AME 20 *προστεθειμένων* PE *προστιθέμενον* A^1 *προστιθεμένων* M **καὶ μετὰ — 21 δυναμένων* om. AM *τῶν*] E *τοῦ* P 21 *ὁ δὲ ξύλωσιν*] *ἡ δὲ ξύλωσισ* AME 22 *παρέχων*] *παρεῖχε* · A *παρέχουσα* ME et i. marg. A *πίσση τε καὶ κηρῷ* E *δὲ*] om. PM *τε κηρῷ* E *ἐπαλημμένον* P *ἐπαληλειμμένον* ME

λιμμένον εὐθέως ἥκειν, ἔργα τε μεγάλα ἐκεῖνα καὶ ἀξιολογώτατα ἐφαντάζετο. καὶ τοὺς ὑπὲρ τῶν σιτῶν ὅλεθρος οὗτος ἀπροσδόκητος κατέλαβεν· οἱ μὲν γὰρ τοῦ ὄρόφου καταρραγέντος συγκατεφέροντο
263 αὐτῷ, τοὺς δὲ περισταδὸν ἔβαλλον οἱ πολέμιοι· πολλοὶ δὲ ἀπορίᾳ σωτηρίας τε καὶ ἐκπλήξει κακοῦ τοῦ περιεστηκότος, οἱ μὲν εἰς τὸ πῦρ ἵεσαν αὐτούς, οἱ δὲ καὶ τοῖς ξίφεσι χρώμενοι διάδρασιν αὐτοῦ ἐποιοῦντο, ὁπόσοι δὲ εἰς τὸ κατόπιν χωρήσαντες ὁδῷ ᾗ ἀναβεβήκεσαν ἐσώζοντο, οἱ Ῥωμαῖοι πάντας ἔκτεινον γυμνούς τε ὄντας καὶ τὰ φρονήματα ἐκλελυμένους, οὐδὲν τῆς ἀνονοίας διὰ τὸ ἄοπλον
264 βοηθεῖν δυναμένης. ἐσώθη τε τῶν ἀνελθόντων ἐπὶ τὸ τεῖχος οὐδ' ὁστισοῦν. καὶ οἱ Ῥωμαῖοι διὰ τοῦ πυρὸς ᾗ παρείκοι ὠσθέντες ἐκράτουν τοῦ θησαυροῦ, καθ' ὃν ἱερὰ ἦν χρήματα. καὶ διεκλάπη μὲν πολλὰ ὑπὸ τῶν στρατιωτῶν, Σαβῖνος δὲ περιεποίησεν εἰς τὸ φανερὸν τετρακόσια τάλαντα.
265 3. Ἰουδαίους δὲ ἐλύπει μὲν τὸ πάθος τῶν φίλων, οἳ ἐν τῇδε ἔπεσον τῇ μάχῃ, ἐλύπει δὲ καὶ τῶν ἀναθημάτων ἡ ἀφαίρεσις, οὐ μὴν ἀλλ' ὅπερ αὐτῶν ἐνύγχανεν συνεστραμμένον καὶ μαχιμώτατον τούτῳ ἐμπεριέχοντες τὸ βασίλειον ἠπείλουν πῦρ τε ἐνήσειν αὐτῷ καὶ πάντας κτείνειν, κελεύοντες ᾗ τάχος ἀπιέναι καὶ πειθομένοις
266 ὑπισχνούμενοι ἄδειαν καὶ Σαβίνῳ σὺν αὐτοῖς. καὶ τῶν βασιλικῶν τὸ πλεῖστον ἠτομολήκεσαν σὺν αὐτοῖς. Ῥοῦφος δὲ καὶ Γρᾶτος τριςχιλίους τὸ μαχιμώτατον τοῦ Ἡρώδου στρατεύματος ἔχοντες ἄνδρας τοῖς σώμασι δραστηρίους Ῥωμαίοις προστίθενται. καί τι καὶ ἱππικὸν ἦν τῶν ὑπὸ τῷ Ῥούφῳ τεταγμένων, ὃ καὶ αὐτὸ προσθήκη

§ 262 = bell. Iud. II 49.

PAMELatZonaras I p. 467.

1 ἥκειν] P εἶκειν A εἶεν ME *ignem — suscipit (suscepit)* Lat ἐκάη coni. 3 κατελάμβανεν E *συνκατεφέροντο P 4 *περισταδὸν] περὶ τὸ στάδιον M 5 τε σωτηρίας tr. A τε om. ME 6 ἵεσαν] εἶεσαν P ἐπαφεῖσαν, ἐπα suppl., φεῖ i. ras. maiore m. 1 A εἰσήεσαν M ἐνίεσαν E ἑαυτοὺς AE αὐτοὺς M 8 *ἐσώζο · ντο., eras. uid. ι A ἔκτειναν AE ὄντας] E ἰόντας codd. 9 *τῆς] ἀπὸ τῆς PM *ἄνοπλον] ἀνάπλεον P 10 *δυναμένους M *τε] δὲ M οὐδὲ M 11 *τοῦ] τὸ τοῦ P παρείκοι] παρικθι P παρείκοι ὠσθέντες] παρακομισθέντες M παρήκοι σωθέντες E 12 *καθ' ὃν] καθὸ AM 15 *μὲν om. M *οἳ ἐν τῇδε ἔπεσον] οἱ δὲ ἔπεσον ἐν P 16 *ἀφαίρεσις P 17 *ἐνύγχανεν συνεστραμμένον] συντετραμμένον ἐνύγχανε συνεστραμμένον M μαχητικώτατον ME 18 τούτῳ] ed. pr. τοῦτο codd. E *ἐμπεριέχοντες] ἐμπεριεῖχον τε P *ἠπείλουν] καὶ ἠπείλουν P 19 κτείναι E κτενεῖν coni. *κελεύοντας M *ᾗ PA 21 ἠτομόλησαν ME σὺν αὐτοῖς] *ad iudeos* Lat 22 μαχιματικώτατον M μαχητικώτατον E 23 *προστίθενται] προσετίθεσαν A *τι καὶ ἱππικὸν] τὸ ὑπῆκον M 24 *τῷ om. M *ῥούφου M

τῶν Ῥωμαίων ἐγεγόνει. Ἰουδαίοις δὲ οὐχ ἡμέλητο ἡ πολιορκία, 267
ἀλλὰ καὶ τὰ τείχη μετήλλαττον καὶ τοῖς μεταβαλλομένοις ἐκέλευον
μὴ ὑποδύσεως εἶναι τοῦ ἀπολειφθέντος χρόνῳ παρῦσαν αὐτοῖς
ἐλευθερίαν τὴν πάτριον. Σαββάτῳ μὲν οὖν εὐκτὸν ἀπέναι μιᾶ 268
τῶν στρατιωτῶν, πιστεύειν δ' οὐχ οἷός τε ἦν διὰ τὰ πεπραγμένα
καὶ τὸ λίαν εὔγνωμον τῶν πολεμίων ἐπ' ἀποτροπῇ τοῦ κατασταθησομένου ἔχειν, ἅμα δὲ καὶ τὸν Οὔαρον ἧξειν προσδοκῶν ὑπέμενε
τὴν πολιορκίαν.

4. Ἐν τούτῳ δὲ καὶ ἕτερα μυρία θορύβων ἐχόμενα τὴν Ἰου- 269
δαίαν κατελάμβανεν πολλῶν πολλαχόσε οἳ κατ' οἰκείων ἐλπίδας
κερδῶν καὶ Ἰουδαίων ἔχθρας ἐπὶ τὸ πολεμεῖν ὡρμημένων· δισχίλιοι 270
μὲν τῶν ὑφ' Ἡρώδῃ ποτὲ στρατευσαμένων καὶ ἤδη καταλελυκότες
ἐν αὐτῇ Ἰουδαίᾳ συστάντες προσεπολέμουν τοῖς βασιλικοῖς ἀντιστατοῦντος αὐτοῖς Ἀχιάβου τοῦ Ἡρώδου ἀνεψιοῦ, καὶ τῶν μὲν πεδίων
εἰς τὰ μετέωρα ἀνεωσμένου δι' ἐμπειρίαν τὴν εἰς τὰ πολεμικὰ τῶν
ἀνδρῶν, ταῖς δὲ δυσχωρίαις σώζοντος ὁπόσα δυνατά.

5. Ἰούδας δὲ ἦν Ἐζεκίου τοῦ ἀρχιλῃστοῦ υἱὸς ἐπὶ μέγα δυνη- 271
θέντος ὑφ' Ἡρώδου δὲ μεγάλοις ληφθέντος πόνοις. οὗτος οὖν ὁ
Ἰούδας περὶ Σέπφωριν τῆς Γαλιλαίας συστησάμενος πλῆθος ἀνδρῶν
ἀποτονοημένων ἐπιθυμίᾳ τῷ βασιλείῳ ποιεῖται καὶ ὅπλων κρατήσας ὁπόσα αὐτόθι ἀπέκειτο ὡπλίζε τοὺς περὶ αὐτὸν καὶ ἀποφέρεται χρήματα ὁπόσα κατελήφθη αὐτόθι, φοβερός τε ἅπασιν ἦν 272

§ 267 = bell. Iud. II 53.

PAMELat Zonaras I p. 468.

1 *ἠμέλειτο P 2 *μετήλλενον] *circuibant* Lat 3 *χρόνῳ*] E *χρόνον* codd. 4 *τὴν ἐλευθερίαν* E *πατρικὴν* E **οὖν* om. M *εὐκτὸν*, i. marg. *γρ εὐκταῖον ἦν* A *εὐκτὸν ἦν* E *optabile fuit* Lat **μετὰ τῶν στρατιωτῶν* om. Lat **μετὰ*] *ἀντὶ* P · · · · A 5 **πιστεύει P **δὲ* M 6 *ἄγνωμον* AM *τὲ ἄγνωμον* E *infideli mente* Lat *ἐπ'*] *ἐν* Ernesti *καταστησομένου* AM 7 **ἅμα — 8 πολιορκίαν*] *simul etiam uari praestolabatur aduentum, quem si adesset obsidionem illam esse soluturum* Lat 8 **τῇ πολιορκίᾳ* PA 9 **μυρίων* ex corr. A 10 **πολλῶν — 11 ὡρμημένων*] *quae totam iudeae regionem grauiter desolabant. in quibusque namque locis alii lucri cupidine concitati pars inimicitia iudeorum ad excitanda bella ferebantur* Lat **οἳ* om. ed. pr. 11 *τὸ*] *τῷ* M, om. E 12 **μὲν*] *μὲν γὰρ* Bekker **ποτὲ — ἤδη* om. M 13 *ἐν αὐτῇ Ἰουδαίᾳ*] *ἰδίαι* A *ἐν αὐτῇ ἰδίᾳ* ME *scorsum a ceteris decedentes* (h. e. *ἰδίᾳ*) Lat *κατὰ τὴν Ἰδουμαίαν* bell. Iud. 14 *αὐτοῖς*] *αὐτοῦ* MA[1] *Ἀχιάβου*] ed. pr. *ἀλκιβιάδου* codd. Lat *καὶ τῶν μὲν*] i. marg. *γρ καὶ τῶν μὲν παίδων εἰστὰ μετέωρα ἀνεωσμένων. δι' ἐμπειρίαν τὴν εἰς τὰ πολεμικά· τῶν ἀνδρῶν δὲ ταῖς δυσχωρίαις σωζοντος. ὁπόσα δύναται* A 16 *σώζοντας* M 17 *δὲ*] *τὲ* E **hiezechiae* Lat 20 **βασιλεῖ* AM 21 **ὥπλισε* M *αὐτὸν*] *αὐτὸν καθ' ἕνα* AME *suos omnes* Lat 22 *κατελείφθη* (*εἰ* i. ras. A) AMELat

ἄγων καὶ φέρων τοὺς προστυγχάνοντας ἐπιθυμίᾳ μείζόνων πραγμάτων καὶ ζηλώσει βασιλείου τιμῆς. οὐκ ἀρετῆς ἐμπειρίᾳ τοῦ δὲ ἐβρίζειν περιουσίᾳ κτήσεσθαι προσδοκῶν τὸ ἐντεῦθεν γέρας.

273 6. Ἦν δὲ καὶ Σίμων δοῦλος μὲν Ἡρῴδου τοῦ βασιλέως, ἄλλως δὲ ἀνὴρ εὐτρεπὴς καὶ μεγέθει καὶ ῥώμῃ σώματος ἐπὶ μέγα προὔχων τε καὶ πεποιτευμένος. οὗτος ἀρθεὶς τῇ ἀκρισίᾳ τῶν πραγμά-
274 των διάδημά τε ἐτόλμησε περιθέσθαι, καὶ τινος πλήθους συστάντος καὶ αὐτὸς βασιλεὺς ἀναγγελθεὶς μανίᾳ τῇ ἐκείνων καὶ εἶναι ἄξιος ἐλπίσας παρ' ὀντινοῦν τό τε ἐν Ἱεριχοῦντι βασίλειον πίμπρησιν δι' ἁρπαγῆς ἄγων τὰ ἐγκαταλελειμμένα, πολλάς τε καὶ ἄλλας τῶν βασιλικῶν οἰκήσεων πολλαχοῦ τῆς χώρας πῦρ ἐπιὼν ἐμπίπρησιν, τοῖς
275 συνεστηκόσιν λείαν ἄγειν τὰ ἐγκαταλελειμμένα ἐπιτρέπων. ἐπέτρακτο δ' ἄν τι μεῖζον ὑπ' αὐτοῦ μὴ ταχείας ἐπιστροφῆς γενομένης· ὁ γὰρ Γρᾶτος ὁ τῶν βασιλικῶν στρατιωτῶν Ῥωμαίοις προσ-
276 τεθειμένος μεθ' ἧς εἶχεν δυνάμεως ἐπαντιάζει τὸν Σίμωνα, καὶ μάχης αὐτοῖς μεγάλης ἐπὶ πολὺ γενομένης τό τε πολὺ τῶν Περαίων ἀσύντακτοι ὄντες καὶ τόλμῃ μᾶλλον ἢ ἐπιστήμῃ μαχόμενοι ἐφθάρησαν, καὶ αὐτοῦ Σίμωνος διά τινος φάραγγος σώζοντος αὐτὸν
277 Γρᾶτος ἐντικὺν τὴν κεφαλὴν ἀποτέμνει. κατεπρίσθη δὲ καὶ τὰ ἐπ' Ἰορδάνῃ ποταμῷ ἐν Ἀμμάθοις βασίλεια ὑπό τινων συστάντων ἀνδρῶν Σίμωνι παραπλησίων. οὗτος πολλὴ ἁρπαγὴ ἐν τοῖς τότε ἔθνει διὰ τὸ βασιλέα μὲν οἰκεῖον οὐκ εἶναι τὸν καθέζοντα τὸ πλῆθος ἀρετῇ, τοὺς δ' ἀλλοφύλους ἐπελθόντας σωφρονιστὰς τοῦ

§ 273 = bell. Iud. II 4. 2

PAMELatZonaras I p. 468.

3 κτήσασθαι AM γέρας τὸ ἐντεῦθεν tr. AM 5 *μέγα] μεγάλα M 6 ἀκρισίᾳ Ernesti ἀκριβείᾳ codd. ELat 7 τε] vras. A. om E 9 παρ' ὀντινοῦν] παρόντι γοῦν M τε om. M 10 *εἶχεν] ἐσχηκὼς A ἔσχηκεν M ἐγκαταλελειμμένα P ἐγκαταλελειμμένα (αλελει i. ras. A) AE ἐγκαταλελειμμένα ἐπιτρέπων M *quae ibi habebantur* Lat 11 *ἐμπίπρησιν Ernesti 12 συνεστηκόσιν] Ernesti ἐνεστηκόσιν codd. λείαν — ἐπιτρέπων om. M λείαν, εἰ i. ras. A ἄγειν] ἀγαγεῖν, i. marg. φέρεσθαι A ἐγκαταλελειμμένα P 13 δὲ M ἐπ'] coni. ἀπ' PAE, om. M 14 *Γρᾶτος] *exercitus* (h. e. στρατός) Lat ὁ ante τῶν om. M στρατιωτῶν] στρατηγῶν coni. 15 τῷ σίμωνι (ῳ et ι i. ras. A) AE 16 *Περαίων] πεζῶν bell. Iud. *ἀσύντακτοι ὄντες] ασυνταθέντες P *neque ordinis neque dispositionis bellicae gnari* Lat 17 διεφθάρησαν E 18 διὰ] φυγὴ διὰ AMELat 20 ἐπ'] ἐν PE ἐπὶ τῶν A ἐν τῷ M Ἀμμάθοις] ἀμάθοις A ἀμαθοῖς E *anamathos* cod. ALat *Βηθαραμάθου* (*Βηθαραμων* ἔνθα) bell. Iud. *βασίλεια om. M *βασίλεια ὑπό τινων i. ras. angustiore m. 2 A 21 *οὗτω AM 23 δὲ AME

μὴ στασιάσοντος τῶν ἀνθρώπων ἐπέκεινα αὐτῶν διά τε τοῦ ὑβρίζειν καὶ πλεονεκτεῖν γενέσθαι.

7. Ἐπεὶ καὶ Ἀθρόγγης ἀνὴρ οὔτε προγόνων ἐπιφανὴς ἀξιώ- 278
ματι οὔτε ἀρετῆς περιουσίᾳ ἢ τινων πλήθει χρημάτων, ποιμὴν δὲ καὶ ἀνεπιφανὴς τοῖς πᾶσιν εἰς τὰ πάντα ὤν, ἄλλως δὲ μεγέθει σώματος καὶ τῇ κατὰ χεῖρας ἀλκῇ διαφέρων, ἐτόλμησεν ἐπὶ βασιλείᾳ φρονῆσαι τῷ κτώμενόν τε αὐτὴν ἡδονῆς πλέον ὑβρίσαι καὶ θνήσκων οὐκ ἐν μεγάλοις τίθεσθαι τῆς ψυχῆς τὸ ἐπὶ τοιοῖσδε ἀνάλωμα γενησόμενον. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ τέσσαρες μεγάλοι 279
τε καὶ αὐτοὶ καὶ ἐπὶ μέγα προϊέναι τῇ κατὰ χεῖρας ἀρετῇ πεπιστευμένοι, πρόεχμα εἶναι τῆς καθέξεως τῆς βασιλείας δοκοῦντες, λόχον τε αὐτῶν ἦρχεν ἕκαστος· συλλέγεται γὰρ μεγάλη πληθὺς περὶ αὐτούς. καὶ οἵδε μὲν στρατηγοὶ ἦσαν καὶ ὑπεστράτευον αὐτῷ ὁπόσα 280
εἰς τὰς μάχας φοιτῶντες δι' αὐτῶν, ὁ δὲ διάδημα περιθέμενος βουλευτηρίων τε ἦγεν ἐπὶ τοῖς ποιητέοις καὶ τὰ πάντα γνώμῃ ἀνακείμενα εἶχεν τῇ αὐτοῦ. διέμενέ τε ἐπὶ πολὺ τῷδε τῷ ἀνδρὶ ἡ 281
ἰσχὺς βασιλεῖ τε κεκλημένῳ καὶ ἃ πράσσειν ἐθέλοι μὴ ἀποστερουμένῳ, φόνῳ τε καὶ αὐτὸς καὶ οἱ ἀδελφοὶ ἦσαν ἐπὶ μέγα προσκείμενοι Ῥωμαίων τε καὶ βασιλικῶν μίσει πολιτευόντες ὁμοίως πρὸς ἀμφοτέρους. τοῦτο μὲν ὕβρει ἧ χρήσαντο ἐπὶ τῆς Ἡρῴδου ἀρχῆς, Ῥωμαίους δὲ ὧν τὸ παρὸν ἔθος ἀδικεῖν. προϊόντος δὲ χρόνου 282
καὶ ἐπὶ πλέον ὁμοίως ἐξηγριώθησαν διάφευξίς τε οὐκ ἦν τοῖς πᾶσιν ἐμπεσεῖν. τὰ μὲν κέρδους ἐλπίδι, τὰ δὲ καὶ συνηθείᾳ τοῦ φονεύειν. ἐπιτίθενται δέ ποτε καὶ Ῥωμαίων λόχῳ κατὰ Ἐμμαοῦντα, οἳ σίτου τε καὶ ὅπλα τῆς στρατιᾶς ἔφερον. καὶ περιστάντες Ἄρειον μὲν

§ 278 = bell. Iud. I 4. 3.

PAMELat Zonaras I p. 469.

1 *μὴ* om. ME *στασιάσοντος*] Hudson *στασιάσαντος* AME *στασιασάσοντος* ed. pr. 3 *Ἀθρόγγης*] *ἀθρίγγης* P *ἀβρόγγης* ME *athonges* Lat *Ἀθρογγαῖος* bell. Iud. 6 **βασιλείαι, εἰ* ex *ε* corr., *ι* finale i. ras. A 7 **τῷ* — 9 *γενησόμενον* om. Lat **τῷ* — *ἡδονῆς*] *καὶ διὰ τὴν ἡδονὴν τοῦ* ed. pr. *κτώμενόν τε*] *κτωμένω δὲ* AME **αὐτὴν*, i. marg. *σ* A *αὖ τῆσ* M 8 *ἀνάλωμα*] ed. pr. *ἀναλώμασι* codd. E 9 **καὶ αὐτῶ* tr. M 10 *μέγα*] *μεγάλα* E 11 *πρόεχμα*] i. marg. A *πρόεκμα* P *πρόλημμα* AM *πρόβλημα* ed. pr. 13 *ὑπεστρατήγουν* E 14 **δι' αὐτῶν* A[1] 15 **ἦγεν*] *conuocabat* Lat *τοῖσ προσποιητέοισ* AME 17 **τε* om. P 19 *καὶ*] *καὶ τῶν* ME 20 *ἧ χρήσαντο*] *ἐχρήσαντο* M 21 *ὧν*] *ὡσ* M, i. marg. *γρ ὥιοντο παρὸν ἀδικεῖν* A *δὲ τοῦ χρόνου* AM 22 *πλέον*] *πλεῖστον* M *ἐξηγρίωσαν* AM *διάφευξις*] *διάζευξισ* E **πᾶσιν, ν* i. ras. A *ἐμπεσεῖν*] *ἐν πᾶσιν* ME, om., i. marg. suppl. *ἐν πᾶσι* A 24 *ποτε*] *τότε* AME **λόγω* M **Ἀμμαοῦντα* bell. Iud. *σῖτα* E 25 *τε* om. ME **τῇ στρατιᾷ* coni.

τὸν ἑκατόνταρχον, ὃς ἡγεῖτο τοῦ πάντως καὶ τεσσαράκοντα τῶν περὶ
283 αὐτὸν πεζῶν τοὺς κρατίστους κατηκόντισαν. οἱ δὲ λοιποὶ δείσαντες
πρὸς τὸ πάθος αὐτῶν Γράτου σὺν τοῖς βασιλικοῖς. οἱ περὶ αὐτὸν
ὄντες, σκέπης αὐτοῖς γενομένης σώζονται τοὺς νεκροὺς καταλιπόντες.
καὶ πολὺν μὲν τοιουτοτρόποις χρώμενοι χρόνον μάχαις Ῥωμαίους
τε παρελύπησαν οὐκ εἰς ὀλίγα καὶ τὸ ἔθνος ἐκάκωσαν ἐπὶ μέγα.
284 χειροῦται δὲ αὐτῶν χρόνῳ ὕστερον ὁ μὲν Γράτῳ συμβαλὼν ὁ δὲ
Πτολεμαίῳ, καὶ τὸν πρεσβύτατον Ἀρχελάου λαβόντος ὁ τελευταῖος
πάθει τε τῷ ἐκείνου λελυπημένος καὶ ἄπορον ἐπὶ πλέον ὁρῶν τὴν
σωτηρίαν ὑπὸ μονώσεως καὶ καμάτου πολλοῦ ψιλωθεὶς τῆς δυνά-
μεως ἐπὶ δεξιᾶς καὶ πίστει τοῦ θείου Ἀρχελάῳ παραδίδωσιν αὐ-
τόν. καὶ τάδε μὲν ὕστερον γίνεται.

285 8. Μισητρίων δὲ ἦν Ἰουδαῖα πλέως ἦν. καὶ ὃς παρατίχοι τινῶν
οἳ συνεστασίασαν αὐτῷ βασιλεὺς προϊστάμενος ἐπ' ὀλέθρῳ τοῦ κοι-
νοῦ ἠπείγετο, ὀλίγα μὲν καὶ ἐπ' ὀλίγοις Ῥωμαίοις λυπηροὶ καθι-
στάμενοι, τοῦ δὲ ὁμοφύλου φόνον ἐπὶ μήκιστον ἐμποιοῦντες.

286 9. Οὔαρος δὲ ἐπειδὴ τὸ πρῶτον συνῆπτε [τὰ πεπραγμένα]
Σαβίνου γράψαντος πρὸς αὐτόν, δείσας περὶ τοῦ τάγματος δύο τὰ
λοιπὰ ἀναλαβών, τρία γὰρ ἐπὶ Συρίας τὰ πάντα ἦν. καὶ ἴλας ἱππέων
τέσσαρας ὁπόσα τε ἐπικουρικὰ καὶ οἱ βασιλεῖς οἵ τινες τετράρχαι
τότε παρεῖχον, ἠπείγετο βοηθεῖν τοῖς ἐν Ἰουδαίᾳ· τότε πολιορκου-
287 μένοις. εἴρητο δὲ πᾶσιν εἰς Πτολεμαΐδα ἐπείγεσθαι ὁπόσοι προεξ-
επέμποντο. διδόασί τε αὐτῷ καὶ Βηρύτιοι διόντι αὐτῶν τὴν
πόλιν ἐπικούρους πεντακοσίους καὶ χιλίους, πέμπει δὲ καὶ Ἀρέτας
ὁ Πετραίων ἔχθει τῷ Ἡρῴδου φιλίαν τῶν Ῥωμαίων κτώμενος οὐκ

§ 282 = bell. Iud. II 63.

PAMELatZonaras I p. 469.

1 *παντὸς*] *τάγματος* AMELat *τῷ P 2 **κατηκόντιζον* AM 3 **Γρά-*
του] *πρατου* P 4 *γενομένου* E *καταλειπόντες* P 5 **πολὺν* M *τοιουτοτρό-*
ποις] Cocceji *τοιούτοις τρόποις* codd. E *χρόνον* post *πολὺν μὲν* tr. AME
6 *εἰς* om. E 7 *χειροῦνται* AMLat *δὲ αὐτῶν*] *δ' οὖν* AME 8 *πτωλεμαίωι* A
**καὶ τὸν πρεσβύτατον*] *καίτοι τῶν πρεσβυτέρων* M 9 *λελυμένος* AME
10 **ψηλωθεὶς* P, i. marg. *γρ ψιλωθείσης* A 11 *ἑαυτὸν* E 13 **δὲ*] om. P
igitur Lat *πλέως*] *ἔμπλεως* AME *ὅς*] *ὅσα* M *ὡς* ed. pr. *παρατίχοι,*
ὑ ex *οι* corr. P *ἂν παρατύχοι* (litt. *ἂν παρατ* i. ras. angustiore m. 2 A) AM *ἂν*
παρατύχοιεν ed. pr. *τινὶ* ed. pr. 14 *οἱ* A¹M *συστασιάσαντες* AM *ὀλέ-*
θρου M 15 **Ρωμαίοις* om. M 16 **ἐμποιοῦντες*] *καθιστῶντες* M 17 **σύ-*
ραος hic et infra P teste Herchero *τὸ* om. ME **τὰ πεπραγμένα* om.
P 19 **εἶλας* P *ἕλλας* M 20 **ἐπικούρια* P **auxilia quae reges et*
tetrarchae diuersi mandauerant Lat *καὶ οἱ*] *οἱ* E *ἢ* ed. pr. *οἵ*] *ἢ* E
21 *τότε* (ante *πολ.*) om. E 23 **τε*] *δὲ* M 25 **ἄχθει* AM **ἠρώδῃ* M
τῶν] *τὴν* M *τοῖς* E *οὐκ*] *συμμαχίαν οὐκ* E

ὀλίγην χεῖρα πεζῶν καὶ ἱππέων. σταθείσης δ' ἐν Πτολεμαΐδι 288
πάσης ἤδη τῆς δυνάμεως μέρος τι ταύτης τῷ υἱῷ παραδοὺς [καὶ]
ἐπὶ τῶν αὐτοῦ φίλων Γαλιλαίους ἐξέπεμπεν πολεμεῖν, οἳ ὑπὲρ τῆς
Πτολεμαΐδος ἐχόμενοι κατοικοῦσιν. ὃς ἐμβαλὼν τοὺς τε ἀντικατα- 289
στάντας εἰς μάχην τρέπεται καὶ Σέπφωριν ἑλὼν τοὺς μὲν οἰκήτορας
ἠνδραποδίσατο, τὴν δὲ πόλιν ἐνέπρησεν. αὐτὸς δὲ Οὔαρος ἐπὶ
Σαμαρείας τῷ παντὶ στρατῷ τροιὼν τῆς μὲν πόλεως ἀπέσχετο
διὰ τὸ ἀνέγκλητον ἐπὶ τοῖς νεωτερισμοῖς εἶναι, στρατοπεδεύεται
δὲ ἔν τινι κώμῃ Πτολεμαίου κτήματι, Ἄρουν ὄνομα αὐτῇ. καὶ οἱ 290
Ἄραβες μίσει τῷ Ἡρῴδου ἐμπιμπρᾶσιν αὐτὴν ἐχθροὺς καὶ τοὺς φί-
λους τοὺς ἐκείνου ἔχοντες. κἀνθένδε προϊόντες Σαμφὼ κώμην ἑτέ-
ραν διήρπασάν τε οἱ Ἄραβες καὶ ἔκαυσαν πάνυ ἐρυμνὴν οὖσαν,
καὶ ἔφυγεν ἐν τῇ προόδῳ οὐδὲν αὐτούς, ἀλλὰ πυρὸς καὶ φόνου 291
τὰ πάντα μεστὰ ἦν. πίμπραται δὲ καὶ Ἐμμαοῦς Οὐάρου κελεύ-
σαντος ἐπ' ἐκδίκῳ τῶν συντετελευτηκότων προεκλειφθεῖσα ὑπὸ
τῶν οἰκητόρων. ἐντεῦθεν δὲ καὶ Ἱεροσολύμοις ἤδη συνῆπτε, καὶ 292
Ἰουδαίων οἱ κατὰ πολιορκίαν τοῦ πάσχα τὴν πόλιν στρατοπεδευόμενοι
τὴν ὄψιν τῆς προόδου τῶν στρατιωτῶν οὐχ ὑπομείναντες ἔφυγον
ἡμίεργον τὴν πολιορκίαν καταλιπόντες. οἱ δ' ἐν τοῖς Ἱεροσολύμοις 293
Ἰουδαῖοι δεινῶς τοῦ Οὐάρου σφίσιν ἐγκαλοῦντος ἀπελύοντο τὰς
αἰτίας, ὡς τῆς μὲν συνόδου τῆς πλήθους διὰ τὴν ἑορτὴν γενομένης,
τοῦ δὲ πολέμου μηδαμῇ γνώμῃ τῇ αὐτῶν, τύλμῃ δὲ τῶν ἐπιλύδων
συνελθόντες αὐτοῖς καὶ συμπολιορκηθέντες Ῥωμαίοις μᾶλλον ἢ

§ 288 = bell. Iud. II 71.

PAMELat Zonaras I p. 469.

1 χεῖρα] χῶραν P, om. E *σταθήσης* P *συναχθείσης* E *congregato* Lat δὲ M 2 *τῷ υἱῷ* etc.] *καὶ Γάιον ἡγεμόνα τῶν αὐτοῦ φίλων* bell. Iud. *καὶ* om. AMLat 3 *οἳ* ὑπὲρ] *οἳ* E *οἵπερ* Herwerden 4 *ἐχόμενα* (α ex *οι* corr. A) AE *ὅς*] *οἷς* E 6 *ἠνδραποδήσατο* P 7 *Σαμαρίας* P *προϊὼν*] Ernesti *προσιὼν* codd. E *ingreditur* Lat *ἀπέσχεν*] coni. *ἀπέσχε* (-χε A^2M) codd. E 10 *μίσει* P *ἐμπιμπρᾶσιν* A *ἐμπιμπρῶσιν* M 11 *κἀνθένδε*] *κἀνθένδε* P *ἐκεῖθεν δὲ* (τὲ ME) AME *προσιόντες* M *σαπφὼ* AME ut in bell. Iud. *saffo* Lat 12 *ἐρυμνὴν οὖσαν*] *magnum atque opulentum* Lat 13 *ἔφυγεν*] *ἐχυρὰν* AME *ἐν*] *ἐν δὲ* AME *τῷ*] *τῶ* P *προόδου, ου* ex *ω* corr. P *προσόδω* M *αὐτοὺς*] *αὐτοῦ δ' ἐφυγεν* AME 14 *Ἀμμαοῦς* bell. Iud. *οὐάρου* i. ras. (eras. *ἡρώδου*) P 15 *συντετελευτηκότων*] *ἐντετελευτηκότων* Bekker *προεκλειφθήσα* P *προσεκληφθεῖσα* A *προσεκλειφθεῖσα* M 16 *δὲ* om. E *συνῆπται* M 17 *πράγματος* M *τῆνδε στρατοπεδευομένοις* P 18 *προόδου* P 19 *ἡμίεργοι* E *καταλειπόντες* P *δὲ* ME 20 *τοῦ*] *τε* M $^{\text{o}\bar{\text{υ}}}_{\text{τ}}$, s. m. 2 E 22 *μηδαμῇ* P *μηδαμῆ* AE *ἐπιλύδων* P *ἐπολύδων* E 23 *συνελθόντος* Holwerda *μάλιστα* E

294 πολιορκεῖν προθυμίαν σχόντες. προαπηντήκασιν δὲ τῷ Οὐάρῳ Ἰούσταί τε ἀνεψιὸς Ἡρώδου βασιλέως Γράτος τε καὶ Ῥοῦφος τοὺς ὑπ' αὐτοῖς τῶν στρατιωτῶν ἄγοντες καὶ τῶν Ῥωμαίων οἱ πολιορκούμενοι. Σαβῖνος δὲ οὐκ ἀφίκετο Οὐάρῳ εἰς ὄψιν, ἀλλ' ἐπεξῆλθεν τῆς πόλεως ἐπὶ θάλασσαν.

295 10. Οὔαρος δὲ κατὰ τὴν χώραν πέμψας τοῦ στρατοῦ μέρος ἐπεζήτει τοὺς αἰτίους τῆς ἀποστάσεως. καὶ σημαινομένων τοὺς μὲν ἐκόλασεν ὡς αἰτιωτάτους, εἰσὶ δ' οὓς καὶ ἀφῆκεν· ἐγίνοντο δὲ
296 οἱ διὰ ταύτην τὴν αἰτίαν σταυρωθέντες δισχίλιοι. μετὰ δὲ τοῦτο τὴν μὲν αὐτοῦ στρατιὰν ἀποπέμπεται, χρήσιμον μὲν ὁρῶν ἐπ' οὐδαμοῖς οὖσαν πράγμασιν· πολλὰ δὲ ἠτάκτησαν αὐτοῖς καὶ παρήκουστο τῶν δογμάτων καὶ ὧν ἠξίου Οὔαρος ἐφέσει κερδῶν, ἃ ἐκ
297 τοῦ κακουργεῖν περιεγίνοντο αὐτοῖς. αὐτὸς δὲ μυρίους Ἰουδαίους συνεστηκέναι πυνθανόμενος ἠπείγετο εἰς κατάληψιν αὐτῶν. οἱ δὲ οὐδ' ἦκον εἰς χεῖρας, ἀλλὰ παρέδοσαν αὐτοὺς γνώμῃ τῇ Ἀχιάβου συνελθόντες. καὶ Οὔαρος τῷ πλήθει συγχωρῶν τὰς αἰτίας τῆς ἀποστάσεως ἔπεμπεν ἐπὶ Καίσαρα ὁπόσοι ἐγεμόνες ἦσαν αἰτίων.
298 Καῖσαρ δὲ τοὺς μὲν αὐτῶν πολλοὺς διῆκεν, ὁπόσοι δὲ συγγενεῖς ὄντες Ἡρώδου συνεστράτευον αὐτοῖς τοῦσδε ἐκόλασεν μόνους, εἰ μηδὲν φροντίσαντες τοῦ δικαίου κατὰ τῶν οἰκείων ἐστράτευον.

299 XI. 1. Οὔαρος μὲν δὴ ταῦτα καταστησάμενος καὶ φρουρὰν Ἱεροσολύμων τὸ καὶ πρότερον καταλιπὼν τάγμα ἐπ' Ἀντιοχείας ἠπείγετο. Ἀρχελάῳ δ' ἐπὶ Ῥώμης ἑτέρων πραγμάτων ἐφύοντο
300 ἀρχαὶ κατὰ τοιαύτας αἰτίας. ἀφίκετο εἰς τὴν Ῥώμην πρεσβεία Ἰουδαίων Οὐάρου τῶν ἀποστόλων αὐτῶν τῷ ἔθνει ἐπικεχωρηκότος ὑπὲρ αἰτήσεως αὐτονομίας. καὶ ἦσαν οἱ μὲν πρέσβεις οἱ ἀποσταλέντες γνώμῃ τοῦ ἔθνους πεντήκοντα, συνίστατο δὲ αὐτοῖς τῶν

§ 294 = bell. Iud. II 76.

PAMWELatZonaras I p. 469.

1 ἔχοντες AME προαπηντίκασιν P 3 ὑπ'] ἐπ' PM ἄγοντες] λέγοντες P 4 ἀφίκτο ME 5 *θαλάσσης M 7 ἐπιζητεῖ ME οὓς μὲν ME 8 *ἐκόλασεν P εἰσὶ δ' οὓς] οὓς δὲ ME εἰσὶ δέ, ι ex η corr., δέ i. ras. A καὶ om. E ἐγένοντο ME 9 ταῦτα E 10 τὴν μὲν αὐτοῦ] rursus incip. W; uid. ad § 94 μὲν αὐτοῦ] ἑαυτοῦ M χρήσιμον] i. marg. γρ χρήσιμον μὲν ὁρῶν οὐδαμῶς ἔτι οὖσαν τοῖς πράγμασι A 11 οὐδαμινοῖς AM οὐδαμηνοῖς W οὖσαν] οὖσαν τοῖς AMW δὲ] τε P παρήκουστα MW 12 ἃ om. P 15 οὐδ'] οὐχ MW αὐτοὺς PWE ἑαυτοὺς Zon 16 τὰς] τῆς E 18 αὐτῶν πολλοὺς] πολλοὺς | αὐτῶν ····· A πολλοὺς αὐτῶν E *ἀφῆκεν Naber 19 τοὺς δὲ W *τε] οἳ M 22 *καταλειπὼν P 23 *Ἀρχελάῳ] i. marg. XVIIII Lat δὲ MWE ῥώμῃ E 25 ἐπικεχειρηκότος A 26 αὐτονομίαν P αὐτῶν ὁμοίως E 27 συνίστατο W συνίστανται E

ἐπὶ Ῥώμης Ἰουδαίων ὑπὲρ ὀκτακισχίλιοι. Καίσαρός τε συνέδριον 301
φίλων τε τῶν αὐτοῦ καὶ Ῥωμαίων τῶν πρώτων συνάγοντος ἐν ἱερῷ
Ἀπόλλωνος μεγάλοις τέλεσιν ὑπ' αὐτοῦ ἱδρυμένῳ, οἱ μὲν πρέσβεις
μετὰ τοῦ πλήθους τῶν αὐτόθι Ἰουδαίων ἀφικνοῦνται, Ἀρχέλαος
δὲ μετὰ τῶν φίλων. ὁπόσοι δὲ συγγενεῖς τοῦ βασιλέως ἦσαν Ἀρ- 302
χελάῳ μὲν συντετάχθαι διὰ μίσος τὸ πρὸς αὐτὸν ὑστέρουν, τοῖς
δὲ πρέσβεσιν ὁμοψηφεῖν κατ' αὐτοῦ δεινὸν ἡγοῦντο ἐν αἰσχύνῃ τῇ
αὐτῶν οἰόμενοι γενήσεσθαι παρὰ Καίσαρι κατ' ἀνδρὸς οἰκείου
τοιάδε πράσσειν προθυμεῖσθαι. ταρῆν δὲ ἤδη καὶ Φίλιππος ἀπὸ 303
Συρίας ἐξοτρύναντος αὐτὸν Οὐάρου τὸ μὲν κεφάλαιον ἐπὶ συνηγο-
ρίᾳ τοῦ ἀδελφοῦ, πάνυ γὰρ εὐνόει Οὔαρος αὐτῷ, γινομένης δὲ τῇ
βασιλείᾳ μεταπτώσεως, καὶ τάδε ὑπώπτευεν Οὔαρος νέμησιν αὐτῆς
γενήσεσθαι διὰ τὸ πολλοὺς εἶναι τοὺς αὐτονομίας γλιχομένους, οὐχ
ὑστεριῶν τοῦ κἂν αὐτὸς μοῖραν αὐτῆς τινα φέρεσθαι.

2. Λόγου οὖν τοῖς Ἰουδαίοις πρέσβεσι δοθέντος, οἳ ἐπὶ κατα- 304
λύσει τῆς βασιλείας ἤλαυνον λέγειν, ἐπὶ κατηγορίᾳ τῶν Ἡρῴδου
παρανομιῶν τρέπονται, βασιλέα μὲν ὀνόματι ἀποφαίνοντες αὐτόν,
τῶν δ' ἐν ταῖς τυραννίσιν ἑκάστης τὸ ἀνήκεστον ἀναδεξάμενον εἰς
ταὐτὸν ἐπ' ὀλέθρῳ τῶν Ἰουδαίων συνθέντα χρῆσθαι τὰ πολλὰ
καὶ φύσει τῇ αὐτοῦ προσκαινουργεῖν οὐκ ἀπηλλαγμένον. πολλῶν 305
γοῦν ὄντων, οἳ ὀλέθροις ἀπολώλοιεν οὐχ ἱστορήσειν πω πρότερον,
πολλῷ δὲ δυστυχεστέρους πάθους ἐκείνων τοὺς ζῶντας εἶναι, οὗ
μόνον ὧν ὄψει καὶ διανοίᾳ ἐπ' αὐτοῖς ἀνιαθεῖεν, ἀλλὰ καὶ ὧν ταῖς

§ 301 = bell. Iud. II 83.

PAMWELatZonaras I p. 470.

1 *ὑπὲρ] καὶ ὑπὲρ MW ὀκτακισχιλίους E ὀκτακισχιλίων MW *συνέδριον P 2 συναγαγόντος MWE 4 *αὐτόθεν A, fort. recte 7 ἐν om. MW 9 προθυμεῖσθαι] προμηθεῖσθαι P 11 *τἀδελφοῦ MW *αὐτῷ] αὐτόσ P γενομένησ AMWE *τῆσ βασιλείασ MW 12 καὶ τάδε γαρ ὑπώπτευεν (litt. καὶ — ὑ i. ras. angustiore m. 2 A) AE *arbitrabatur enim* Lat *ὑπώπτευσεν M *νεμήσειν P 14 *ὕστερίων P κἂν] καὶ E 16 κατηγορίαν E *τῶν] s. M, om. W 17 *παρανομῶν M *αὐτὸν om. MW 18 τῶν δ'] τὸ δὲ M τῶν δὲ W τυραννήσιν P τυραννίδι E ἑκάστασ ex Gall. Hudson εἰσ αὐτὸν MW 19 τῶν] τῷ W *χρῆσθαι] χρῆσθαί τε A κεχρῆσθαι Ernesti *τὰ] τοῦ Bekker 20 ἀπηλλαγμένον MW 21 ἀπολώλειεν M οὐχ — πρότερον] *quantos numquam ex historia perisse cognoscerent* Lat οὐχ] ὅσους οὐχ Hudson οἵους οὐχ Bekker οὐκ' ἱστορήσειν P ἱστορῆσαι Bekker πω] τῶ MW 22 δὲ om. AMW τοῦ πάθουσ AMW 23 ὧν om. P ἐπ' αὐτοὶσ MW ταῖς] ταῖσ τε MW

306 οὐσίαις. πόλεις τε τὰς μὲν περιοικίδας καὶ ὑπὸ ἀλλοφύλων οἰ-
κουμένας κοσμοῦντα ὧν ἐκ παύσασθαι καὶ καταλύσεώς τε καὶ ἀφα-
307 νισμῷ τῶν ἐν τῇ ἀρχῇ αὐτοῦ κατῳκημένων. πενίας δὲ ἀπόρου
τὸ ἔθνος ἀναπεπλημένου σὺν ὀλίγοις εὐδαίμοσι παρειληφότα, τῶν
τε εὐπατριδῶν ὁπότε κτείνειεν αὐτοὺς ἐπ' ἀλόγοις αἰτίαις τὰς οὐ-
σίας ἀποφερόμενον καὶ οἷς συγχωρήσειε τὴν ἀηδίαν τοῦ ζῆν ψίλω-
308 σιν χρημάτων καταδικάζοντα. καὶ χωρὶς μὲν πράσσεσθαι φόρους
ἐπιβαλλομένους ἑκάστοις τὸ ἐπ' ἔτος. χωρὶς δὲ εὐτυχίας εἶναι παρα-
καταβολὰς αὐτῷ τε καὶ οἰκείοις καὶ φίλοις καὶ τῶν δούλων οἳ ἐπ'
ἐπράξει τῶν φόρων ἐξίοιεν διὰ τὸ μὴ εἶναι κτήσει τοῦ ἀνυβρί-
309 στως μηδ' ὅπως μηδ' ἀργυρίων διδομένων. παρθένων μέντοι φθο-
ρὰς καὶ γυναικῶν αἰσχύνας, ὁπόσας ἐπὶ παροινίᾳ καὶ ἀπὸ τοῦ ἀν-
θρωπείου δρώμενα σιγᾶν διὰ τὸ ἴδοιεν ἴσην εἶναι τοῖς πεπονθόσι
τοῦ μὴ γεγονέναι τὴν ἐκ τοῦ ἀνέκπυστα αὐτὰ εἶναι· τοσήνδε Ἡρώ-
δην ἐπεισάγεσθαι τὴν ὑβριν αὐτοῖς, ὁπόσην οὐδ' ἂν θηρίον ἀνθρω-
310 πων ἐπιστατεῖν δυνάμεως αὐτῷ παραγενομένης. πολλῶν γοῦν ἀνα-
στάσεων καὶ μεταστάσεων παραλαβουσῶν τὸ ἔθνος οὐδεμίαν ἱστο-
ρεῖσθαι πώποτε τοιάνδε δυστυχίαν ἐπελθοῦσαν αὐτῷ, παράδειγμά
311 τε κακώσεως ἣν αὐτῷ Ἡρῴδης ἐπετίθει τὸ ἔθνος· καὶ ταῦτ' εἰκό-
τως ἂν γενέσθαι τὸ ἀφ' ἑνὸς Ἀρχέλαον βασιλέα προσειπεῖν οἰήσει
τοῦ πάντ' ὄντιν' οὖν τὸν ἐπὶ τὴν βασιλείαν ἐσόμενον Ἡρῴδου με-

§ 306 = bell. Iud. II 87.

PAMWELat Zonaras I p. 470.

1 *πόλεις — 3 κατῳκημένων*] *ciuitates quidem extraneas et ab alienigenis habitatas eum ornare et locupletare. cum perditione et exterminio eorum qui sub eius regno habitabant* Lat τε] *μέν γε* AMW 2 *ὧν ἐκ*] P *ὧν ἐκ* MW · · *μὴ*, *μὴ* i. ras. A *καὶ*] ras. 1—2 litt. A *καταλύσεώς τε*] *καταλύσαι ὥστε* PA¹MW *ἀφανισμοῦ*, *οῦ* ex *ῶι* corr. A 3 *κατῳκημένων* A 6 *ἀποφερόμενον* P *ἀηδίαν*] *ἄδειαν* AMW *ψίλωσιν* P 9 *αὐτῶν* M 10 *ἐξίοιεν*] *ἐξιοῖεν* AMW *κτῆσιν* MW et i. marg. A *ἀνυβρίστως*] *ἀνυβρίστου* · · A *ἀνυβρίστου ὡσ* MW 11 *μηδὲ* AMW *ὅπως*] *οὕτως* ex *ὅπωσ* corr. A *χρυσοῦ* Hudson *μηδὲ* AMW 12 *ὁπόσας*] *ὁπόσα τ'* coni. *ἀπο τοῦ ἀνθρωπίου* P *ἀπανθρωπία* AMW 13 *δρωμένας* AMW *τὸ*] *τὸ μη* A *πεπονθῶσι* P 15 *οὐδ'*] *οὐκ* AMWE 17 *καὶ μεταστάσεων* om. AMWE **ἱστορῆσθαι* MW *ἱστορεῖσθαι πεπεῖσθαι πώποτε τοιάνδε*, litt. *ρεῖσθαι — πώποτε τ* i. ras. angustiore m. 2 A 18 *ἐπελθοῦσαν* AME *αὐτὸ* E *παράδειγμα — 19 ἔθνος*] *exemplum namque iniquitatis et facinoris heredem uniuersae genti fuisse* Lat 19 *τε* om. AMW *αὐτῷ*] *αὐτὸς* AE *αὐτὸ* M *τὸ ἔθνος*] *τῷ ἔθνει* E et i. marg. A *ταῦτ'*] *ταύτη* (*τῃ* i. ras. angustius A) AMWE *διὰ ταῦτ'* ed. pr. 20 *ἀρχελάου* E *οἰήσει τοῦ πάντ'*] coni. *οἰνεει τοῦ παντὸς* P *οἰομένου πάντα* AMWE 21 *ὀντιναοῦν* MW *τὴν* om. MWE *βασιλείαν* MWE

ριώτερον φαίνεσθαι. καὶ τὸν τε ταῦρα συνολοφύρεσθαι αὐτῷ θεραπεύοντας, εἴ γε μετρίου τυγχάνειν δυνηθεῖεν, καὶ τἄλλα οἰκειουμένους. τοῦ δὲ δείσαντος μὴ οὐχὶ Ἡρώδου γνήσιος πιστεύοιτο 312
υἱός, οὐδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὄξους ἐπάξειν ἂν τῷ ἔθνει τὴν διάνοιαν αὐτοῦ καὶ ταῦτα μηδέπω τέλειον κρατυνάμενον ἡγεμονίαν διὰ τὸ ἐπὶ Καίσαρι δοῦναι καὶ μὴ τὴν ἐξουσίαν εἶναι, καὶ 313
παράδειγμα τὴν τῆς εἰς αὖθις ἀρετῆς τιθέναι τοῖς ἀρχθησομένοις μετριότητος καὶ εὐνομίας, ἣ χρήσαιτο ἂν πρὸς αὐτούς, ἀπὸ τῆς ἐν ῥᾳδίοις ἀποδειχθείσης πράξεως ἐπί τε τοῖς πολίταις καὶ τῷ θεῷ τρισχιλίων ὁμοφύλων ἀνδρῶν σφαγὴν ἐν τῷ τεμένει ποιησάμενον. πῶς οὐκ ἂν ἤδη καὶ δικαίῳ μίσει χρῆσθαι καὶ' αὐτῶν πρὸς τῇ λοιπῇ ὠμότητι καὶ ἔγκλημα τῆς ἀντιστάσεως καὶ ἀντιλογίας ἐπὶ τῇ ἀρχῇ προφερόμενον; ἦν δὲ κεφάλαιον αὐτοῖς τῆς ἀξιώσεως βα- 314
σιλείας μὲν καὶ τοιῶνδε ἀρχῶν ἀπηλλάχθαι, προσθῆκη δὲ Συρίας γεγονότες ὑποτάσσεσθαι τοῖς ἐκεῖσε πεμπομένοις στρατηγοῖς· φανερωθήσεσθαι γὰρ οὕτως, εἴτε ἀληθῶς στασιώδεις εἶεν καὶ νεωτερισμοῖς τὰ πολλὰ προσηκμένοι εἴτε καὶ οὔ, μετριωτέρων τυχόντες οἳ ἐπιστήσονται αὐτοῖς."

3. Τοιαῦτα δὲ τῶν Ἰουδαίων εἰρηκότων Νικόλαος τούς τε 315
βασιλεῖς ἀπήλλασσε τῶν ἐγκλημάτων. Ἡρώδην μὲν διὰ τὸ παρ' ὃν ἔξι χρόνον τυχεῖν ἀκατηγόρητον· οὐ γὰρ δὴ τοὺς ἐγκαλεῖν ἔχοντας ἐπὶ μετρίοις παρὰ τοῦ ζῶντος τιμωρίαν λαβεῖν δυναμένους ἐπὶ νεκρῷ κατηγορίαν συνιστάναι· τὰ δὲ ὑπ' Ἀρχελάου πραχθέντα 316
ὕβρει τῇ ἐκείνων ἀνατίθει, οἳ ὀργιζόμενοι πραγμάτων παρὰ τοὺς

§ 315 = bell. Iud. II 89.

PAMWELatZonaras II p. 470.

1 *φανεῖσθαι* E *τε] γε* AMW *συνολοφύρασθαι* MW 2 *εἴ γε] εἰ δὲ* AMW *τυχεῖν* MW *δυνηθεῖεν*] i. marg. *γρ δεηθεῖεν* A *τὰ ἄλλα* MW 3 *τὸν δὲ δείσαντα* AMWE *οὐχ* MWE 4 *οὐδὲν] τοῦ εἰς οὐδὲν* MW **ὄξους* MW **ἐπάξειν*] *aperuit* Lat *ἐπανοῖξαι* Ernesti *ἐπιδεῖξαι* Bekker *ἂν* om. E 5 *διάνοιαν*] codd. Lat *ἀπόνοιαν* E **κρατυνόμενον* MW *ἡγεμονεῖαν* P *τὴν ἡγεμονίαν (τὴν* suppl. m. 2 A) AE 6 **διὰ τὸ*] i. marg. *γρ διὰ τὸ μήπω (πω* i. ras.) *καίσαρα δοῦναι* A **καίσαρα, α* finale i. ras. A *καὶ* (post *εἶναι*)] eras. A, om. MWE 7 *τὴν] ⋯ Α τε* E 7 **τιθέναι] τίθεσθαι, εσθ* i. ras., *θ* ex *ν* corr. A *ἀχθησομένοις* E 8 *μετριότητα καὶ εὐνομίαν* E **χρήσαιντο* A 11 *καὶ* om. MW *δικαίως* MW *χρήσασθαι* MW 13 *προφερομένοις* P *προσφερόμενον* AMW 14 *μὲν* om. MWE *προσθήκης* MW *προσθήκη, ν* i. ras. A *προσθήκην* E 15 *γεγονότας* AMWE **ἐκεῖ* M 16 *νεωτέροις* M 17 *προησκημένοι* A *οὔ] εὔτακτοι* AMW *subiecti et devoti* Lat 21 *δή] δεῖ (εῖ* i. ras. A) AMW 22 *τοῦ παρὰ* tr. AMW 23 *ἂν συντιθέναι* coni. 24 *ὀργινόμενοι* W

νόμους καὶ σφαγῆς ἄρξαντες τῶν κωλύειν ἐβρίζοντας προμηθουμένων ἀμύνης γενομένης ἐγκαλοῦεν. ἐνεκάλει δὲ νεωτεροποιίας αὐτοῖς καὶ τοῦ στασιάζειν ἡδονὴν ἀπαιδευσίᾳ τοῦ πείθεσθαι δίκῃ καὶ νομίμοις ὑπὸ τοῦ θέλειν τὰ πάντα νικᾶν. ταῦτα μὲν οὖν Νικόλαος.

317 4. *Καῖσαρ δ' ἀκούσας διαλύει μὲν τὸ συνέδριον, ὀλίγων δ' ἡμερῶν ὕστερον Ἀρχέλαον βασιλέα μὲν οὐκ ἀποφαίνεται, τῆς δ' ἡμίσεως χώρας ἧττον Ἡρῴδῃ ὑπετέλει ἐθνάρχην καθίσταται. τιμήσειν ἀξιώματι βασιλείας ἐπισχυούμενος, εἴπερ τὴν εἰς αὐτὴν ἀρε-*
318 *τὴν προσφέροιτο. τὴν δ' ἑτέραν ἡμίσειαν νείμας διχῇ δυσὶν Ἡρῴδου παισὶν ἑτέροις παρεδίδου Φιλίππῳ καὶ Ἀντίπᾳ τῷ πρὸς Ἀρ-* 1
χέλαον τὸν ἀδελφὸν ἀμφισβητήσαντι περὶ τῆς ὅλης ἀρχῆς. καὶ τούτῳ μὲν ἥ τε Περαία καὶ τὸ Γαλιλαῖον ὑπετέλουν, φορά τε ἦν
319 *τάλαντα διακόσια τὸ ἐπ' ἔτος. Βαταναία δὲ σὺν Τράχωνι καὶ Αὐρανίτις σύν τινι μέρει οἴκου τοῦ Ζηνοδώρου λεγομένου Φιλίππῳ τάλαντα ἑκατὸν προσέφερεν· τὰ δ' Ἀρχελάῳ συντελοῦντα Ἰδου-* 1
μαῖοί τε καὶ Ἰουδαία τό τε Σαμαρειτικόν. τετάρτην μοῖραν οὗτοι τῶν φόρων παρελέλυντο Καίσαρος αὐτοῖς κούφισιν ψηφισαμένου
320 *διὰ τὸ μὴ συναισθῆναι τῇ λοιπῇ πληθύι. καὶ ἦσαν πόλεις αἱ Ἀρχελάῳ ὑπετέλουν Στράτωνός τε πύργος καὶ Σεβαστὴ σὺν Ἰόππῃ καὶ Ἱεροσολύμοις· Γάζαν γὰρ καὶ Γάδαρα καὶ Ἵππον, Ἑλληνίδες* 2
εἰσὶν πόλεις, ἀπορρήξας αὐτοῦ τῆς ἀκροάσεως Συρίας προσθῆκην ποιεῖται. προσῆλθε δὲ Ἀρχελάῳ φορὰ χρημάτων τὸ κατ' ἐνιαυτὸν εἰς τάλαντα ἑξακόσια ἐξ ἧς παρέλαβεν ἀρχῆς.

---

§ 316 = bell. Iud. II 93.

PAMWELatZonaras I p. 470.

2 *ἐγκαλοῦεν*] ed. pr. *ἐνκαλοῦν* A *ἐν κελοῦσ* PMW 3 **ἀπαιδευσίαν*] *ἀπαιδευσίαν τε* A *πείσεσθαι* MWE *μὴ ἔπεσθαι* A **δίκει* W *νόμοισ* AE 4 i. marg. *ιγ'* E **οὖν ὁ νικόλαοσ* M 5 *δὲ* AMW *συνέδριον, ν* ex *ε* corr. P *δὲ* MWE 6 *τῆς*] *τοῦ* AMWE *δὲ* MWE 7 *ἡμίσεοσ* AWE *τῆσ χώρασ* AMWE **ἡρῴδου* P *ἐθνάρχην*] *ἐν ἀρχῇ* MWE *καθιστᾶ* E 9 *δὲ* MWE *νείμασ*] ed. pr. *νείμασθαι* codd. 10 **Ἀντίπᾳ*) *ἀντιπάτρῳ* PALat 12 **τοῦτο* W *περέα* W *γαλιλαίων* E 13 **δὲ*] *τὲ* MW *Τράχωνι*] *τραχωνίτιδι* AMWELat *αὐρανίτιδι* E 14 **σὺν τῆνι μέρι* P **λεγομένῳ* P 15 *δὲ* MWE **ἀρχελάου* P *ἰδουμαία* AMWELat 16 **σαμαριτικὸν* P *τετάρτην μοῖραν*] coni. ex bell. Iud. *τετάρτη μοῖρα* PA *τετάρτη μερὶσ* MW *τετάρτου μερὶσ* E **τετάρτην* — 17 *παρελέλυντο*] *haec enim leuigata fuerat quarta parte functionum* Lat 18 **πληθύει* P *πόλισ* M 19 **στράτονόσ* W *ἰώππη* P *ἰόπη* E *iope* cod. ALat 20 *Γάζαν*] coni. *γάζα* codd. ELat *Ἵππον*] coni. *Ἵπποσ* codd. ELat 21 *πόλεις*] *ciuitates quas* Lat *πόλεισ ἃσ* E *αὐτοῦ* Hudson *αὐτοὺσ* codd. *ἀκροάσεως*] *ἄκρασ ἕωσ* AMW 22 **προσείη* P

5. *Καὶ τάδε μὲν τοῖς Ἡρώδου υἱέσιν τῶν πατρῴων παρῆν.* 321
Σαλώμῃ δὲ πρὸς οἷς ὁ ἀδελφὸς ἐν ταῖς διαθήκαις ἀπονέμει, Ἰάμνεια δὲ ἦν ταῦτα καὶ Ἄζωτος καὶ Φασαηλὶς καὶ ἀργυρίου ἐπισήμου μυριάδες πεντήκοντα, Καῖσαρ χαρίζεται καὶ τὴν ἐν Ἀσκάλωνι βασίλειον οἴκησιν. ἦν δὲ καὶ ταύτῃ πρόσοδος ἐκ πάντων ταλάντων ἑξήκοντα τὸ ἐπ' ἔτος· καὶ αὐτῆς ὁ οἶκος ἦν ἐν τῇ Ἀρχελάου ἀρχῇ. κομίζονται δὲ καὶ οἱ λοιποὶ τοῦ βασιλέως συγγενεῖς ὅπόσα αἱ δια- 322
θῆκαι διηγόρευον. δυοῖν δ' αὐτοῦ θυγατράσιν παρθένοις χωρὶς ὧν ὁ πατὴρ καταλιπὼν Καῖσαρ ἑκατέρᾳ δωρεὰν ἐπιτίθησι μυριάδων ἀνὰ πέντε καὶ εἴκοσι ἀργυρίου ἐπισήμου καὶ συνῴκισεν αὐτὰς τοῖς Φερώρου υἱέσιν. χαρίζεται δὲ καὶ ὁπόσα αὐτῷ καταλέλειπτο τοῖς 323
παισὶν τοῦ βασιλέως ὄντα πεντακοσίων ταλάντων καὶ χιλίων. ὀλίγα τῶν σκευῶν ἐπιξελόμενος οἷς αὐτὸς μεγάθει τέλους ὡς μνήμῃ του βασιλέως αὐτῷ κεχαρισμένα.

XII. 1. *Τούτων δὲ ταύτῃ διαπεπραγμένων ὑπὸ Καίσαρος νεα-* 324
νίας Ἰουδαῖος μὲν τὸ γένος, ἐπὶ δὲ τῆς Σιδωνίων τεθραμμένος πόλεως παρά τινι τῶν Ῥωμαϊκῶν ἀπελευθέρων εἰσῴκισεν αὑτὸν εἰς τὴν Ἡρώδου συγγένειαν ὁμοιότητι μορφῆς. ἧ πρὸς Ἀλέξανδρον αὐτῷ τὸν ἀνῃρημένον Ἡρώδου υἱὸν ἐμαιτιᾶτο παρὰ τοῖς Θεωροῦσιν. καὶ τοῦτο παρόρμημα ἦν αὐτῷ εἰς τὸ μεταποιεῖσθαι τῆς 325
ἡγεμονίας. καὶ ὁμοπράγμονα παραλαβὼν ὁμόφυλον ἄνδρα, ἔμπειρον δὲ τῶν ἀμφὶ τὸ βασίλειον πονηρόν τε ἄλλως καὶ παράξαι μεγάλα πράγματα φύσιν ἔχοντα καὶ τοιαύτης κακίας διδάσκαλον αὐτῷ γενόμενον, ἀπέφαινεν αὑτὸν Ἀλέξανδρον καὶ Ἡρώδου παῖδα ὄντα 326
διακεκλεμμένον ὑπὸ τῶν ἀνελεῖν αὐτὸν ἐσταλμένων· κτείναντα γὰρ ἕτερος, οἳ ἀπατήσειν ἔμελλον τοὺς θεωροῦντας, αὐτόν τε περι-

§ 321 = bell. Iud. II 98.

PAMWELat Zonaras I p. 471.

2 *Ἰάμνια A¹M *ἰαμνία* W 4 *μυριάδας* E *Καῖσαρ] *καῖσαρ δὴ, δὴ* suppl. m. 1 A *Ἀσκαλῶνι P 5 *ἦν δὲ] ἤδη* MW *ἧ δὴ* E *τάλαντα* MWE 6 *τὸ* om. AMWE 8 *ἠγόρευον* MWE *δυῖν* P *δυσὶ* AMWE *δὲ* MWE 9 *κατέλειπεν* P *κατέλιπε* ME et ex corr. A *μυριάδας* WE 10 *συνώκησεν* MW 11 *καταλέλιπτο* P 13 *οὕτω* AMWE 14 *αὐτῶν* P 15 *διαπεπραγμένων] *dispositis* Lat *διατεταγμένων* MW 16 *τεθραμμένος πόλεως] πόλεως τεθραμμένος* A *πόλεως ἀνατεθραμμένος* MW *ἀνατεθραμμένος* E 17 *εἰσοίκισεν* PA¹ *εἰσώκησεν* MW *αὐτὸν* PMWE 19 *υἱὸν ἡρώδου* tr. MWE 21 *ἡγεμονείας* P 22 *τῶν] τὸν* W *τε] δὲ* MW *καὶ (πονηρὸν)* E 24 *αὐτὸν* PW et ex corr. A *ἑαυτὸν* E 25 *ὑπὸ] ὑπό τινος* MWE *ἐσταλμένον W *κτείναντα A *occidentes* Lat 26 *οἳ] δι' P *περιποιεῖται* MW *περιποιήσασθαι* E

327 ποιῆσαι καὶ τὸν ἀδελφὸν Ἀριστόβουλον. καὶ τούτοις αὐτός τε
ἀνεπτέρωτο, καὶ τοὺς ἐντυγχάνοντας οὐκ ἀπήλλακτο ἀπατᾶν, ἀλλὰ
Κρίτῃ προσενεχθεὶς Ἰουδαίων ὁπόσοις εἰς ὁμιλίαν ἀφίκετο ἐπη-
γάγετο εἰς πίστιν. καὶ χρημάτων εὐπορηθεὶς δόσει τῇ ἐκείνων ἐτὶ
Μήλου διῆρεν. πολὺ πλέονα δὲ ἦν ἐντεῦθεν ὁπόσα αὐτῷ προσῄει
χρήματα πίστει τῆς βασιλείου συγγενείας καὶ ἐλπίδι τοῦ ἀπολα-
328 βεῖν τὴν πάτριον ἀρχὴν καὶ ἀμείψασθαι τοὺς εὐεργέτας. ἐπὶ Ῥώ-
μης ἠπείγετο παραπομπῇ τῶν ἰδιοξένων, καὶ Δικαιαρχείᾳ προσ-
βαλὼν οὐκ ἠτύχει καὶ τοὺς τῇδε Ἰουδαίους ἀφ' ὁμοίας ἀπάτης
προσαγαγέσθαι. προσῄεσάν τε ὥσπερ βασιλεῖ οἵ τε ἄλλοι καὶ ὁπό- 1
329 σοις ξενία πρὸς Ἡρῴδην καὶ εὔνοια ἦν. αἴτιον δὲ ἦν τῶν ἀνθρώ-
πων τὸ ἡδονῇ δεχόμενον τοὺς λόγους σὺν τῷ φερεγγύῳ τῆς μορ-
φῆς· καὶ γὰρ τοῖς πάνυ ὡμιλικόσιν Ἀλεξάνδρῳ πολὺ τὸ πιστὸν
ἐνετίθει τοῦ μὴ οὐχ ἕτερος ἀλλ' αὐτὸς εἶναι, καὶ πρὸς τοὺς πλη-
330 σίον ὤμυνεν. ὥστε καὶ προελθόντος εἰς τὴν Ῥώμην λόγου τοῦ περὶ 1
αὐτοῦ πᾶν τὸ τῇδε Ἰουδαίων ἔθνος ὑπαντιάζοντες ἐξήεσαν τῷ
παρὰ δόξαν τῆς σωτηρίας θειάζοντες τὸ ἔργον καὶ χάριτα ποιούν-
μενοι διὰ τὸ μητρῷον αὐτῶν γένος, ὁπότε χωροίη κατὰ τοῦ στε-
331 νωποῦ διῃρθρορούμενος· καὶ πάντα βασίλειον περὶ αὐτὸν σχῆμα
ἦν ἀναλώμασιν τῶν ἰδιοξένων, μεγάλαι περιστάσεις ἐγίνοντο τῆς
πλήθους ἐπιβοήσεις τε εὔφημοι ὁπόσα εἰκὸς τοῖς οὕτω παρ' ἐλπίδα
σωθεῖσιν συντυγχάνειν οὐδὲν ὅ τι οὐκ ἐπράσσετο.
332 2. Καίσαρι δὲ ὡς ἀφίκετο ἀγγελία ἡ περὶ αὐτοῦ, ἠπίστει μὲν
διὰ τὸ μὴ ἂν ῥᾳδίως ἀπατηθῆναι Ἡρῴδην ἐν πράγμασιν ἐπὶ μέγα
ἀνήκουσιν αὐτῷ, διδοὺς δὲ τῇ ἐλπίδι Κέλαδον τῶν αὐτοῦ τινὰ ἐξε-
λευθέρων ὁμιλικότα τοῖς μειρακίοις πέμπει κελεύσας ἀγαγεῖν εἰς

§ 327 = bell. Iud. II 103.

PAMWELat Zonaras I p. 471.

3 *Κρήτῃ] κριτῇ P *ὁμιλεῖαν P *ἐπιγάγετο W 5 πλέονα] om. AMWE, i. marg. suppl. πλέον A *προσῄει PW 6 πίστει] προφάσει MW ἀπολανεῖν W 8 ἠπείγετο] οὖν ἠπείγετο E *ibat igitur* Lat δικαιαρχείᾳ, εἰ i. ras. A δικαιαρχία PMWE *προσβάλλων MW 9 ἀφ'] ἐφ' PA 11 *καὶ om. M in confinio paginarum 13 *ὡμηλικῶσιν P 14 *τοῦ] τὸ M αὐτὸν E 15 *ὤμυνσαν] καὶ ὤμυνσαν AMW καὶ] καὶ ὡσ MW ἐπεὶ E προσελθόντος PM προσῆλθον E τοῦ om. P 16 αὐτὸν ex αὐτοῦ corr. A ἔθνος] πλῆθος AMWELat ἐξέσαν P ἐξῄει E *τῷ] τὸ P παραδόξω E 17 ἐκθειάζοντες A 18 *χωρώῃ PA¹MW τοὺς στενωποὺς coni. 19 *διαφροφορούμενος P πάντα] πᾶν A¹MW *το πᾶν* ex corr. A *πᾶν γὰρ coni. 20 περιστάσεις] τε περιστάσεισ (τε περι i. ras. m. 2 A) AE 21 ὁπόσα] καὶ ὁπόσα MWELat 22 οὐδὲν] οὐδενὸσ P 23 ἀφήκετο P ἡ om. MW 24 μεγάλα MW 25 δὲ om. M τῇ ex τι corr. A *τι τῇ* coni. τινὰ τῶν αὐτοῦ tr. ME

ὄψιν αὐτῷ τὸν Ἀλέξανδρον. ὁ δὲ ἀνῆγεν οὐδέν τι βελτίων ἐπὶ
τῇ κρίσει τῶν πολλῶν γενόμενος. οὐ μὴν Καῖσάρ γε ἠνατᾶτο, 333
ἀλλ' ἦν μὲν ἐμφερής, οὐ μὴν ὥστε ἀπατῆσαι τοὺς σωφρόνως ἐλλο-
γίζεσθαι δυναμένους· αἰτιουργία τε γὰρ ἐτέτρητο ὁ ψευδαλέξανδρος
καὶ παρὰ τὸ ἐκείνῳ ῥαδαλὸν τοῦ σώματος ὑπὸ τριφῆς καὶ γενναιό-
τητος συνερχόμενον διὰ τὰ ἐναντία τῷδε ἐπισκληρότερον ἐξεβεβήκει
τὸ σῶμα. θεασάμενος οὖν συμπνευσμὸν ἐπὶ ψευδολογίᾳ διδασκά- 334
λου καὶ μαθητοῦ καὶ λόγων τολμητῶν συγκρότησιν, ἐξῆιξε περὶ
Ἀριστοβούλου, τί καὶ γεγόνοι συνεκκλαπεὶς αὐτῷ, καὶ δι' ἣν αἰτίαν
οὐ παραγεγόνοι μεταποιούμενος τῆς ἀξίας, ἣς προσῆκε τυγχάνειν
τοὺς οὕτω γεγονότας; φαμένου δ' ἐπὶ νήσου τῆς Κυπρίων καταλε- 335
λεῖφθαι κινδύνων ὑφοράσει τῶν κατὰ θάλασσαν, εἰ περὶ αὐτῷ
συσταίη τι δεινόν, μὴ λαντιλὲς ἐξαλείφοιτο τὸ Μαριάμμης γένος
ἀλλὰ περιὼν Ἀριστόβουλος μένοι τοὺς ἐπιβεβουλευκότας, ταῦτα 336
διισχυριζομένου καὶ συνιστῶντος αὐτῷ τοῦ μιχανοποιοῦ τῆς πράξεως
Καῖσαρ καταμόνας ἀπολαβὼν τὸ μειράκιον „ἀλλά σοι μισθός, ἔφη,
προκείσεται τοῦ μὴ καὶ πρὸς ἐμὲ ἀπάτῃ χρησομένου τὸ μὴ ἀπο-
λούμενον τῆς σωτηρίας· φάθι δή μοι αὐτόν τε ὃς ὢν τυγχάνεις
καὶ ὅς σε τοιάδε ἦξε τολμῆσαι διανοεῖσθαι· μεῖζον γὰρ τὸ ἐπιβού-
λευμα κακίας ἐγκεχείρηκας χρόνων οὓς γεγονὼς τυγχάνεις." καὶ δή, 337
οὐ γὰρ ἦν ἄλλως πράσσειν, φράζει πρὸς τὸν Καίσαρα τὸ ἐπιβού-
λευμα, ὅν τε τρόπον καὶ ὑφ' οὗ τυγχάνοι συγκείμενον. καὶ ὁ Καί-
σαρ τὸν μὲν ψευδαλέξανδρον, οὐ γὰρ ἐψεύσατο ὁμολογίαν τὴν πρὸς

§ 332 = bell. Iud. II 107.

PAMWELatZonaras I p. 471.

2 μὴν] μὴν δὲ E γε] δὲ MW, om. E ἠπάτητο AMWE 4 ἐτέτρυτο] ἐτετράχωτο MW ἐτετρύχωτο E 5 ῥαδαλὸν] ῥαδαρὸν MW ῥαδινὸν E et i. marg. A τρυφῆς] E τροφῆς codd. *deliciis* Lat 6 τῷδε] ed. pr. τῶ δὲ codd. E ἐπισκληρότερον] Bekker ἐπὶ σκληρότερον (σκληρώτερον P) codd. πρὸς σκληρότερον E 7 *συνπινευσμὸν P 9 συνεκκλαπέντοσ ed. pr. 10 παραγεγόνει M 11 δὲ MWE *τῆς om. M κυπρίου E *καταλελῆφθαι P 12 *ὑφοράσει] ὑποφωράσει MW θάλατταν E εἰ] ἵνα εἰ A ἵν' εἰ Zon καὶ εἰ E litt. ἵνα εἰ περὶ αὐτόν i. ras. angustiore m. 2 A αὐτῷ] αὐτὸν AE αὐτῶν MW 13 συσταίη] σταίη P οὐσταίη MW ἐνσταίη E παντελῶσ ME ἐξαλείφοιεν MW ἐξαλειφοίη E μαρίασ E Μαριὰμ Zon 15 *δ' ἰσχυριζομένου PA 16 ἔφη] εἶπε (-πεν A¹) AMWE 17 χρησαμένου W χρήσασθαι E 18 *αὐτόν A αὐτῶν P 19 ἦξε] ἦξε P ἦξε, ε ex αι corr. A *perpulerit* Lat ἦξε τολμῆσαι] ἐξετόλμησε MWE διανοεῖσθαι, ια ex ο corr. P 20 ἐγκεχείρηκασ P ἦσ ἐγκεχείρηκασ AMW οὓς] οἵουσ MW 21 φράζει πράσσειν tr. M *φράζειν W 22 *ὑφ'] ἐφ' MW τυγχάνει E *συγκεινημένον P

αὐτόν. δραστήριον ὂρῶν αὐτουργῆσαι τῷ σώματι ἐρέσσειν ἐν τοῖς
338 ναΐταις καταλέγει, τὸν δὲ ἀναπείσαντα κτείνει. καταδίκη δ' ἦρκει
Μηλίοις ὁπόσα ἐτετελέκεσαν εἰς τὸν ψευδαλέξανδρον διακενῆς ἀνα-
λωκέναι. καὶ τὰ μὲν περὶ τὸν Ψευδαλέξανδρον τολμηρῶς συντε-
θέντα οὕτως ἀκλεῶς ἔσχεν.
339 XIII. 1. Ἀρχέλαος δὲ τὴν ἐθναρχίαν παραλαβὼν ἐπεὶ εἰς Ἰου-
δαίαν ἀφικνεῖται, Ἰωάζαρον τὸν Βοηθοῦ ἀφελόμενος τὴν ἀρχιερω-
σύνην ἐπικαλῶν αὐτῷ συστάντι τοῖς στασιώταις Ἐλεάζαρον τὸν
340 ἐκείνου ἐπικαθίσταται ἀδελφόν. ἀνοικοδομεῖ δὲ καὶ τὸ ἐν Ἱερι-
χοῦντι βασίλειον ἐκτρεπῶς, τῶν τε ὑδάτων ὁπόσα Νεαρὰν τὴν
κώμην ὠφελεῖ ἐπιρρέοντα ἐξ ἡμισείας ἀπέστρεψεν ἐπαγωγὴν αὐτῷ
ποιούμενος τῷ πεδίῳ φοίνιξιν ὑπ' αὐτοῦ πεφυτευμένῳ, κώμην τε
79 ὁ δὲ τῷ αὐτοκράτορι ἐπεσήμηνε τὴν πρᾶξιν. καὶ ὁ Τιβέριος μαθήσεως ἀκριβοῦς αὐτῷ γενομένης ἐξεπάσει τῶν ἱερέων ἐκείνους τε ἀνεσταύρωσεν καὶ τὴν Ἶσιν ὀλέθρου γενομένην αἰτίαν καὶ τὰ πάντα ἐφ' ὕβρει συνθεῖσαν τῆς γυναικός, τόν τε ναὸν καθεῖλεν καὶ τὸ ἄγαλμα τῆς Ἴσιδος εἰς τὸν Θύβριν ποταμὸν ἐκέλευσεν ἐμβαλεῖν.

AMWELat Zonaras I p. 481. Hegesippus II. 4.

1 *ἐπὶ τούτοις MW *ἐξιώσει W *τοῦ Ἀνούβιδος] *ab anubio* Lat 4 ἐξεπιστάμενος τῆς γυναικὸς tr. E 5 *κλεισθησῶν W 6 ναῶ WE *προσεκέκρυπτο MW 8 *καὶ πελθόντος W *ἀπελθόντος — 9 ἤδεσαν] *circa uiciniam lucis abscessit* Lat 9 *κινήσειν W *ἤδεσαν] οὐκ ἤδεσαν Clericus 10 ὡς] εἰσ E 11 *ἐνελαμπρύνετο] ἀνελαμβάνετο MW 13 ὡς χρὴ om. E 13 εἴς τε om. W 14 τε om. ME 16 *ἀλλά] ἅμα Naber 17 *σαυτῆς] ἑαυτῆς MW σ αὐτῆσ cod. Laur. E 13 *προσεκαλούμην MW ὑβρίζειν ἐπειρῶ] ὕβρει διεχρῶ MWE 20 *Ἀνούβιον] Ἀνούβει coni. αὐτῷ] ἐμαυτῶ MW αὐτῶ E ταῦτ' E 21 *ἔννοιαν, ν post ἐ i. ras. A *περιερρήγνυτό M 22 *τε om. A 24 ἐπεσήμανε AE ἀπεσήμηνε coni. 28 *θύβριν, θ et β i. ras. M θύβριν A *tiberim* Lat

Μοῦνδον δὲ φυγῆς ἐτίμησε, κώλυμα τοῦ μὴ μειζόνως κολάζειν τὸ 80
μετὰ ἔρωτος αὐτῷ ἡμαρτῆσθαι τὰ ἡμαρτημένα ἡγησάμενος. καὶ
τὰ μὲν περὶ τὸ ἱερὸν τῆς Ἴσιδος τοῖς ἱερεῦσιν ἐφρισμένα τοιαῦτα
ἦν. ἐπάνειμι δὲ ἐπὶ τὴν ἀφήγησιν τῶν ἐν Ῥώμῃ Ἰουδαίοις κατὰ
τοῦτον τὸν χρόνον συντυχόντων, ὥς μοι καὶ προαπεσήμηνεν ὁ λόγος.

5. Ἦν ἀνὴρ Ἰουδαῖος, φυγὰς μὲν τῆς αὐτοῦ κατηγορίᾳ τε 81
παραβάσεων νόμων τινῶν καὶ δέει τιμωρίας τῆς ἐπ' αὐτοῖς, κο-
νηρὸς δὲ εἰς τὰ πάντα. καὶ δὴ τότε ἐν τῇ Ῥώμῃ διατρίβοντες
προσεποιεῖτο μὲν ἐξηγεῖσθαι σοφίαν νόμων τῶν Μωυσέως, προσ- 82
ποιησάμενος δὲ τρεῖς ἄνδρας εἰς τὰ πάντα ὁμοιοτρόπους τοῖσδε
ἐπιφωτήσασαν Φουλβίαν τῶν ἐν ἀξιώματι γυναικῶν καὶ νομίμοις
προσηλυτίαν τοῖς Ἰουδαϊκοῖς πεπιθυσῶν τορφύραν καὶ χρυσὸν
εἰς τὸ ἐν Ἱεροσολύμοις ἱερὸν διαπέμψασθαι, καὶ λαβόντες ἐπὶ
χρείας τοῖς ἰδίοις ἀναλώμασιν αὐτὰ ποιοῦνται, ἐφ' ὅπερ καὶ τὸ
πρῶτον ἡ αἴτησις ἐπράσσετο. καὶ ὁ Τιβέριος, ἀτοσημαίνει γὰρ 83
πρὸς αὐτὸν φίλος ὢν Σατορνῖνος τῆς Φουλβίας ἀνὴρ ἐπισκήψει
τῆς γυναικός, κελεύει πᾶν τὸ Ἰουδαϊκὸν τῆς Ῥώμης ἀπελθεῖν. οἱ 84
δὲ τέτταρα τετρακισχίλιοι ἀνθρώπους ἐξ αὐτῶν στρατολογησαντες
ἐπεμψαν εἰς Σαρδὼ τὴν νῆσον, πλείστους δὲ ἐκόλασαν μὴ θέλον-
τας στρατεύεσθαι διὰ φυλακὴν τῶν πατρίων νόμων. καὶ οἱ μὲν
δὴ διὰ κακίαν τεσσάρων ἀνδρῶν ἠλαύνοντο τῆς πόλεως.

IV. 1. Οὐκ ἀπήλλακτο δὲ Θορύβου καὶ τὸ Σαμαρέων ἔθνος· 85
συνιέρφει γὰρ αὐτοὺς ἀνὴρ ἐν ὀλίγῳ τὸ ψεῦδος τιθέμενος καφ'
ἡδονῇ τῆς πλησίον τεχνάζων τὰ πάντα, κελεύων ἐπὶ τὸ Γαριζεὶν
ὄρος αὐτῷ συνελθεῖν, ὃ ἀγνότατον αὐτοῖς ὀρῶν ἐπείληπται, ἰσχυ-
ρίζετό τε παραγενομένοις δείξειν τὰ ἱερὰ σκεύη τῆδε κατορωρυγμένα

AMWELatZonaras I p. 482. Hegesippus II 4.

1 *Μοῦνδον*] E *μούνδω* codd. *κολάσαι* E 5 *προαπεσήμανεν* AE *προεσήμανεν* MW *προεσήμηνεν* Hudson 6 **αὐτοῦ* M **κατηγορίᾳ* — 7 *τινῶν*] *de legalium transgressione praeceptorum* Lat *τέ*] ed. pr. *δὲ* codd., om. E 7 **παραβάσεως* MW **τινῶν* om. MW **ἐπ' αὐταῖς* aut *ἐπ' αὐτῇ* coni. 8 **δὲ*] *τε* A *τότε*] *ποτε* E 9 *μωσέως* AE 10 **δὲ*] *τε* MW **ὁμοιοτρόπους*] *ὁμοιοτέρους* MW 11 **φλουβίαν* MW 12 **χρυσίον* MW 13 **ἐν* om. W *ἐπὶ* — 14 *αὐτὰ ποιοῦνται*] *ἀνάλωμα ταῦτα ἐπὶ χρείαις οἰκείαις ποιοῦνται* E *propriis usibus adsumpsere* Lat 14 **χρείας*] i. marg. *γρ ἐπὶ χεῖρας* A **ἰδίοις*] *οἰκείοις* MW 16 **σατορνῖνος* A¹ **φλουβίας* MW 17 *ἀπελθεῖν*] *ἀπελαθῆναι* MWE *excedere* Lat 18 *ἀνθρώπων* W *ἄνδρας* E 19 **Σαρδὼ*] *sardorum* Lat **ἐκόλασε· A 20 **πατρώων* A 21 **δὴ* om. ed. pr. 23 *καφ' ἡδονῇ*] *καὶ ἐφ' ἡδονῇ* codd. *καθ' ἡδονὴν* E *cafedon nomine* Lat 24 *γαριζεῖν* M *γαριζὶν* E 25 **αὐτοῖς*] *τε αὐτοῖς* MW 26 **παραγινομένοις δείξειν* AW *δείξειν τοῖς παραγινομένοις* M **κατωρορυγμένα* M

86 Μωυσέως τῇδε αὐτῶν ποιησαμένου κατάθεσιν. οἱ δὲ ἐν ὅπλοις τε ἦσαν πιθανὸν ἡγούμενοι τὸν λόγον, καὶ καθίσαντες ἔν τινι κώμῃ, Τιραθανὰ λέγεται, παρελάμβανον τοὺς ἐπισυλλεγομένους ὡς με-
87 γάλῳ πλήθει τὴν ἀνάβασιν εἰς τὸ ὄρος ποιησόμενοι. φθάνει δὲ Πιλᾶτος τὴν ἄνοδον αὐτῶν προκαταλαβόμενος ἱππέων τε πομπῇ καὶ ὁπλιτῶν, οἳ συμβαλόντες τοῖς ἐν τῇ κώμῃ προσινηθροισμένοις παρατάξεως γενομένης τοὺς μὲν ἔκτειναν, τοὺς δ' εἰς φυγὴν τρέπονται ζωγρίᾳ τε πολλοὺς ἕλον, ὧν τοὺς κορυφαιοτάτους καὶ τοὺς ἐν τοῖς φυγοῦσι δυνατωτάτους ἔκτεινε Πιλᾶτος.

88 2. Καταστάντος δὲ τοῦ θορύβου Σαμαρέων ἡ βουλὴ παρὰ Οὐιτέλλιον ὑπατικὸν ἔασιν ἄνδρα Συρίας τὴν ἡγεμονίαν ἔχοντα καὶ Πιλάτου κατηγόρουν ἐπὶ τῇ σφαγῇ τῶν ἀπολωλότων· οὐ γὰρ
89 ἐπὶ ἀποστάσει τῶν Ῥωμαίων, ἀλλ' ἐπὶ διαφυγῇ τῆς Πιλάτου ὕβρεως εἰς τὴν Τιραθανὰ παραγενέσθαι. καὶ Οὐιτέλλιος Μάρκελλον τῶν αὐτοῦ φίλων ἐκπέμψας ἐπιμελητὴν τοῖς Ἰουδαίοις γενησόμενον Πιλᾶτον ἐκέλευσεν ἐπὶ Ῥώμης ἀπιέναι πρὸς ἃ κατηγοροῖεν οἱ Σαμαρεῖται διδάξοντα τὸν αὐτοκράτορα. καὶ Πιλᾶτος δέκα ἔτεσιν διατρίψας ἐπὶ Ἰουδαίας εἰς Ῥώμην ἐπείγετο ταῖς Οὐιτελλίου πειθόμενος ἐντολαῖς οὐκ ὂν ἀντειπεῖν. πρὶν δ' ἐν τῇ Ῥώμῃ ἴσχειν αὐτὸν φθάνει Τιβέριος μεταστάς.

90 3. Οὐιτέλλιος δὲ εἰς τὴν Ἰουδαίαν ἀφικόμενος ἐπὶ Ἱεροσολύμων ἀνῄει, καὶ ἦν γὰρ αὐτοῖς ἑορτὴ πάτριος, πάσχα δὲ καλεῖται, δεχθεὶς μεγαλοπρεπῶς. Οὐιτέλλιος τὰ τέλη τῶν ὠνουμένων καρπῶν ἀνῆσιν εἰς τὸ πᾶν τοῖς ταύτῃ κατοικοῦσιν καὶ τὴν στολὴν τοῦ ἀρχιερέως καὶ τὸν πάντα αὐτοῦ κόσμον συνεχώρησεν ἐν τῷ ἱερῷ κειμένην ὑπὸ τοῖς ἱερεῦσιν ἔχειν τὴν ἐπιμέλειαν, καθότι καὶ

AMWELat Zonaras I p. 482 Eusebius hist. eccl. I 9. 2.

1 τῇδε αὐτῶν] αὐτῶν ἐκεῖ E αὐτῶν coni. 3 *τιραθανᾶ* M *τιραθαβᾶ* W *tirathua* (*tirathiua* cod. A) Lat *λέγεται*] *λεγομένη* M **τοὺσ συλλεγομένουσ* A 7 δὲ MWE S ζωγρείᾳ, *εἰ* i. ras. A 7 *φυγοῦσιν* W 10 i. marg. *XI* Lat *κατασταντοσ — Σαμαρέων*] *sed ex hoc omni samareorum gente turbata* Lat *τοῦ*] *τοῦδε τοῦ* MW et fort. Lat 11 *Ἰουτέλιον* E 13 *τῶν* om. MWE 14 *τιραθανᾶ* M *τιραθαβᾶ* W *tirathua* (*tirathura* cod. A) Lat *παραγίνεσθαι* E ex § 90 Eusebius hist. eccl. *οὐϊτέλιον* E *Μάρκελλον*] *μάρκελλον τινα* E 15 **τὸν αὐτοῦ φίλον* W 16 **Πιλᾶτον*] i. marg. *XII* Lat *ἐκέλευεν* E **ἀπιέναι, ε* ex *ν* corr. A *ἀπεῖναι* MW 17 *οἱ Σαμαρεῖται*] *Ἰουδαῖοι* MWELat *διδάξοντα*] *διδάξαντα* W *δικάζοντα* E 18 **ἐπείγετο* W 18 **ὁ' ἐν*] *δὲ ἦ* ed. pr. **ὑώμῃ* A 20 *ἴσχειν*] *προσχεῖν* MWE *uenire* Lat **ἑαυτὸν* M 21 i. marg. *XIII* Lat *οὐϊτέλιοσ* E 22 **γὰρ* om. MW *πάτριος* om. MWE 23 *δεχθεὶς*] *δεχθεὶσ δὲ* MWE 24 **ταύτην* MW 25 **ἐν τῷ* i. ras. M 26 *κείμενον* MWE

πρότερον ἦν αὐτοῖς ἐξουσία. τότε δὲ ἐν τῇ Ἀντωνίᾳ, φρούριον 91
δ' ἐστὶν οὕτως λεγόμενον, ἡ ἀπόθεσις αὐτῆς ἦν διὰ τοιαύτην αἰ-
τίαν· τῶν ἱερέων τις Ὑρκανός, πολλῶν δὲ ὄντων οἳ τόδε ἐκαλοῦντο
τὸ ὄνομα ὁ πρῶτος, ἐπεὶ πλησίον τῷ ἱερῷ βᾶριν κατασκευασάμε-
νος ταύτῃ τὰ πολλὰ τὴν δίαιταν εἶχεν καὶ τὴν στολήν, φύλαξ γὰρ
ἦν αὐτῆς διὰ τὸ καὶ μόνῳ συγχωρῆσθαι τοῦ ἐνδύεσθαι τὴν ἐξου-
σίαν, ταύτην εἶχεν ἀποκειμένην, ὁπότε εἰς τὴν πόλιν κατιὼν ἀνα-
λαμβάνοι τὴν ἰδιωτικήν. καὶ οἵ τε υἱεῖς αὐτοῦ ταῦτα πράσσειν 92
ἐπετήδευσαν καὶ τέκνα ἐκείνων. Ἡρῴδης δὲ βασιλεύσας τήν τε
βᾶριν ταύτην ἐν ἐπιτηδείῳ κειμένην κατασκευάσας πολυτελῶς Ἀν-
τωνίαν καλεῖ ὀνόματι Ἀντωνίου φίλος ὤν, καὶ τὴν στολὴν ὥσπερ
καὶ λαμβάνει τῇδε κειμένην κατεῖχεν, πιστεύων οὐδὲν νεωτεριεῖν
ἐπ' αὐτῷ τὸν λαὸν διὰ τάδε. ἔπρασσε δὲ ὁμοια τῷ Ἡρῴδῃ καὶ 93
ὁ ἐπικατασταθεὶς αὐτῷ βασιλεὺς Ἀρχέλαος υἱὸς ὤν, οὗ Ῥωμαῖοι
παραδεξάμενοι τὴν ἀρχὴν ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως ἀπο-
κειμένης ἐν οἴκῳ λίθοις οἰκοδομηθέντι ὑπὸ σφραγῖδι τῶν τε ἱερέων
καὶ τῶν γαζοφυλάκων τοῦ φρουράρχου τὸ ἐφ' ἡμέραν ἑκάστην λίχ-
νον ἅπτοντος. ἐπὰ δ' ἡμέραις πρὸ τῆς ἑορτῆς ἀπεδίδοτο αὐτοῖς 94
ὑπὸ τοῦ φρουράρχου, καὶ ἁγισθεὶς χρησάμενος ὁ ἀρχιερεὺς μετὰ
μίαν τῆς ἑορτῆς ἡμέραν ἀπετίθετο αὖθις εἰς τὸν οἶκον. ἦτερ ἔκειτο
καὶ πρότερον. τοῦτο ἔπραττετο τρισὶν ἑορταῖς ἑκάστου ἔτους καὶ
τὴν νηστείαν. Οὐιτέλλιος δὲ ἐπὶ τῷ ἡμετέρῳ πατρίῳ ποιεῖται 95
τὴν στολήν, ᾗ τε κείσοιτο μὴ πολυπραγμονεῖν ἐπισκήψας τῷ φρου-

AMWELat Zonaras I p. 483. Eusebius demonstr. euang. VIII 2. 95; hist. eccl. I 6. 10.

1 ἐξουσία] ἐξουσία· A, om. E 2 δέ ἐστιν AE αὐτοῖς M 4 *ἐπεὶ, εἰ i. ras. A 5 *ταύτῃ] εἰσ ταύτην A 7 ταύτῃ E 9 ἐπετήδευον MW Ἡρῴδης] incip. Eus. dem. in hist. eccl. eadem breuius referens 10 *ἐπιτηδείῳ τόπῳ κειμένην Eus 11 ὀνόματι — 12 τῇδε] ὄνομα καὶ τὴν στολὴν τὴν ἀρχιερατικὴν λαμβάνει τὴν δὲ Eus *ὀνόματι Ἀντωνίου] ὄνομα τῷ ἀντωνίῳ MW 12 καὶ λαμβάνει] καταλαμβάνει MW καταλαβὼν E *πιστεύων] πιστεύων δὲ MW νεωτερισεῖν Eus. Gaisfordi 13 ἐπ' αὐτῷ — τάδε] τὸν λαὸν δι' αὐτήν Eus. *διὰ τάδε] δῆθεν δὲ MW *ἔπρασσεν MW ἔπραξε Eus δὲ] om. MW δ' E Eus. 14 *οὗ] αὐτοῦ παρ' οὗ Eus 15 *διαδεξάμενοι Eus *ἀποκειμένην A 16 λίθου MWE Eus οἰκοδομηθέντι] οἰκοδομῆσ οὔσης M οἰκοδομῆσ ὄντων W ὠκοδομημένω E *ὑπὸ σφραγῖδι — 18 ἅπτοντος] *sub sigillo sane pontificum et gazofylacis habebatur, a quo cetera quoque templi ornamenta et candelabrum quoque seruabatur* Lat σφραγῖδι fin. Eus τε] E ϑ A δὲ MW 17 *τὸ] τὸν M *λύχνον] λύχνον τε A 18 ἀνάπτοντοσ E δὲ MWE 19 *ἁγνισθεὶς Naber 20 *ἀπέθετο M εἰς τὸν οἶκον om. E 21 ἐπράσσετο WE τρισὶν] ἐπὶ τρισὶν E *καὶ τῇ νηστείᾳ] *et per ieiunia* Lat 22 τὴν νηστείαν, i. marg. γρ κατὰ τὴν νηστείαν A τῇ νηστεία E οὐιτέλιοσ E *δὲ] τε MW 23 *φρουράρχῳ] *gazophylace* Lat

ράρχῳ καὶ δι᾽ ὁτότε δέοι χρῆσθαι. καὶ ταῦτα πράξας ἐπὶ εὐεργεσίᾳ τοῦ ἔθνους καὶ τὸν ἀρχιερέα Ἰώσηπον τὸν Κατάφαν ἐπικαλούμενον ἀπαλλάξας τῆς ἱερωσύνης Ἰωνάθην καθίστησιν Ἀνάνου τοῦ ἀρχιερέως υἱόν. ἐπ᾽ Ἀντιοχείας δ᾽ αὖθις ἐποιεῖτο τὴν ὁδόν.

96 4. Πέμπει δὲ καὶ Τιβέριος ὡς Οὐιτέλλιον γράμματα, κελεύων αὐτῷ πράσσειν φιλίαν πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα· ἐφόβει γὰρ αὐτὸν ἐχθρὸς ὢν καὶ Ἀρμενίαν παρεσπασμένος μὴ ἐπὶ πλέον κακουργῇ· πιστείειν δὲ τῇ φιλίᾳ μόνως ὁμήρων αὐτῷ διδο-
97 μένων, μάλιστα δὲ τοῦ Ἀρταβάνου υἱέος. ταῦτα δὲ γράφων Τιβέριος πρὸς τὸν Οὐιτέλλιον μεγάλαις δόσεσι χρημάτων πείθει καὶ τὸν Ἰβήρων καὶ τὸν Ἀλβανῶν βασιλέα πολεμεῖν Ἀρταβάνῳ μηδὲν ἐνδοιάσαι. οἱ δὲ αὐτοὶ μὲν ἀντεῖχον, Ἀλανοὶ δὲ δίοδον αὐτοῖς διδόντες διὰ τῆς αὐτῶν καὶ τὰς θύρας τὰς Κασπίας ἀνοίξαντες
98 ἐπάγουσι τῷ Ἀρταβάνῳ. καὶ ἥ τε Ἀρμενία ἁρπάζετο αὖθις καὶ πλησθείσης πολέμων τῆς Παρθυαίων γῆς οἵ τε πρῶτοι τῶν τῇδε ἐκτείνοντο ἀνδρῶν ἀνάστατά τε ἦν αὐτοῖς τὰ πάντα καὶ τοῦ βασιλέως ὁ υἱὸς ἐκ τουτωνὶ τῶν μαχῶν ἔπεσε μετὰ πολλῶν στρατοῦ
99 μοιράδων. καὶ αὐτοῦ τὸν πατέρα Ἀρτάβανον Οὐιτέλλιος πομπῇ χρημάτων εἷς τε συγγενεῖς καὶ φίλους τοὺς ἐκείνου γενομένῃ ἐμέλλησε μὲν κτεννύειν διὰ τῶν τὰ δῶρα εἰληφότων, αἰσθόμενος δὲ τὴν ἐπιβουλὴν ὁ Ἀρτάβανος ἄφυκτον οὖσαν διὰ τὸ ἐπὶ πολλῶν καὶ τῶν πρώτων ἀνδρῶν συντεθεῖσαν μὴ ἀνεῖσθαι τοῦ ἐπὶ πέρας
100 ἐλθεῖν, καὶ νομίζων καὶ ὁτόσον αὐτῷ καθαρῶς συνεισπήκει καὶ τόδε ἤτοι ἐφθαρμένον ἐπὶ θάλπει τὴν εἴνοιαν προσποιεῖσθαι ἢ πείρας αὐτῷ γενομένης μετατάξεσθαι πρὸς τοὺς προαφεστηκότας, εἷς

AMWELat Zonaras I p. 484. Exc. Vrsiniana

2 *τὸν om. MW Κατάφαν] καὶ καιάφαν E 3 Ἀνάνου] *annae* Lat 4 ἀντιόχειαν A ἀντιόχου E δὲ E ποιεῖται E 5 i. marg. *XIIII* Lat incip. Exc *ὡς om. W οὐϊτέλιον E 7 i. marg. *γρ ἐχθρὸν ὄντα καὶ ἀρμενίαν παρεσπασμένον* A 8 δὲ] τὲ E *μόνοσ Exc 9 *τοῦ — υἱέος] *suos filios* Lat υἱέως E υἱέωσ Exc αὐτὰ E 10 οὐϊτέλιον E οὐτέλλιον W *μεγάλων E 11 *τὸν] τῶν W *τὸν] τῶν W Ἀλβανῶν] ἀλανῶν MWExc *labanorum* Lat ἀλμανῶν E *μηδὲν] μηδὲ AExc μὴ E 12 *ἐνδυάσαι Exc Ἀλανοὶ] *scythas* Lat ἀλμανοὶ E ἀλανοὺς ed. pr. cf. bell. Iud. VII 7. 4; Tacit. ann. VI 33 13 *θύρας] *pylas* Lat *τὰς] τῆσ W *καππίασ Exc 15 *παρθέων Exc 16 ἀνάστατά τε] ἀναστά τε aut ἀναστάντε aut ἀνάστατα traditur in Exc *ὁ τοῦ βασιλέωσ υἱὸσ tr. M 17 τουτωνὶ] τούτων MWE *ἔπεσε] ἐπέστη MW Exc et i. marg. A *πολλῶν ex πολλοῦ corr. A πολλοῦ MW Exc 18 οὐϊτέλιοσ E *πομπῇ] δὲ πομπῇ W Exc 19 γενομένην A ἐμέλησε MWE Exc 20 *αἰσθανόμενοσ MW Exc 22 ἀνεῖσθαι E 25 μετατάξεσθαι] Dindorf μετατάξασθαι codd. Exc εἷς τι — 159, 1 σατραπειῶν] *ad superiores satrapias* Lat προαφεστηκότασ, ο (post ρ) s. i. ras. A εἷς τι] ἐπὶ MW Exc, i. marg. *γρ ἐπὶ τῶν ἄνω* A

τι τῶν ἄνω σατραπειῶν ἔσωζεν αὐτόν. καὶ πολλὴν μετὰ ταῦτα
στρατιὰν ἀθροίσας Δαῶν τε καὶ Σακῶν καὶ πολεμήσας τοὺς ἀν-
εστηκότας κατέσχε τὴν ἀρχήν.

5. *Ταῦτα ἀκούσας ὁ Τιβέριος ἠξίου φιλίαν αὐτῷ γενέσθαι* 101
πρὸς τὸν Ἀρτάβανον, ἐπεὶ δὲ κἀκεῖνος προκληθεὶς ἄμεινος ἐδέχετο
τὸν περὶ αὐτῶν λόγον, ἐπὶ τὸν Εὐφράτην παρῆσαν ὅ τε Ἀρτά-
βανος καὶ Οὐιτέλλιος. καὶ ζεύξεως τοῦ ποταμοῦ γενομένης κατὰ 102
τὸ μεσαίτατον τῆς γεφύρας ἀλλήλους ὑπηντίαζον μετὰ φυλακῆς
ἑκάτερος τῆς περὶ αὐτόν. καὶ λόγων αὐτοῖς συμβατικῶν γενομένων
Ἡρῴδης ὁ τετράρχης ἱστίασεν αὐτοὺς κατὰ μέσον τὸν πόρον σκη-
νίδα ἐπισκηψάμενος τῷ πόρῳ πολυτελῆ. καὶ Ἀρτάβανος πέμπει 103
Τιβερίῳ ὅμηρον Δαρεῖον τὸν υἱὸν μετὰ πολλῶν δώρων, ἐν οἷς καὶ
ἄνδρα ἐπιτάττων τὸ μέγεθος Ἰουδαῖον τὸ γένος Ἐλεάζαρον ὄνομα·
διὰ μέντοι τὸ μέγεθος Γίγας ἐκαλεῖτο. ἐπὶ τούτοις Οὐιτέλλιος μὲν 104
ἐπ' Ἀντιοχείας ἦει. Ἀρτάβανος δὲ ἐπὶ τῆς Βαβυλωνίας. Ἡρῴδης
δὲ βουλόμενος δι' αὐτοῦ πρώτου γενέσθαι πύστιν Καίσαρι τῶν
ὁμήρων τῆς λήψεως ἐπέμπει γραμματοφόρους τὰ πάντα ἀκριβῶς
γράψας εἰς Ἐπιστολὴν καὶ μηδὲν ὑπολιπόμενος ἐπὶ μηνύσει τῷ
ὑπατικῷ. πρὸς Οὐιτέλλιον δὲ ἐπιτιμηθεισῶν ἐπιστολῶν καὶ τοῦ 105
Καίσαρος ἐπισημήνατος πρὸς αὐτόν, ὡς δῆλα αὐτῷ γέγοιτο πρό-
τερον πύστιν περὶ αὐτῶν Ἡρῴδου προτεθεικότος, ταραχθεὶς ὁ
Οὐιτέλλιος μεγάλως καὶ πεποιθέναι μείζονος ἢ ἐπέτρεπτο ὑπο-
λαμβάνων ἄδηλον τὴν ἐπ' αὐτοῖς ἔχοντες ὀργήν, μέχρι δὴ καὶ
μετῆλθε Γαΐου τὴν Ῥωμαίων ἀρχὴν παρειληφότος.

6. *Τότε δὲ καὶ Φίλιππος, Ἡρῴδου δὲ ἦν ἀδελφός, τελευτᾷ* 106

AMWELat Zonaras I p. 484. Exc Vrsiniana

1 *σατραπειῶν*] *στρατιῶν* MWExc *στρακῶν* E *αὐτόν* MWE *ἑαυτόν* cod. Schotti Exc 2 *Δαῶν*] *δακῶν* MWExc *dacorum* Lat 5 *ἀσμένως* E 6 *αὐτῶν*] *αὐτοῦ* E 7 *Οὐιτέλλιος*] *ὁ οὐϊτέλλιος* W *ὁ οὐϊτέλιος* E 9 *αὐτὸν* ex corr. A *αὐτὴν* E **καὶ*] *ὃ* Exc **λόγων*] *λέγων* cod. Vat. Exc **συμβιβατικῶν* MW 10 **ἐστίασεν* A¹MW *ἡτίασεν* Exc 11 *ἐπισκηψάμενος, η* i. ras. A *πέμπει*]*μετ' οὐ πολὺ πέμπει* MWExc 13 **ἑπτάπηχυ* M **το μέγεθος* — 14 *ἐκαλεῖτο* om. Exc *Ἐλεάζαρον*] *lazarum* Lat 14 *διὰ μέντοι*] *ὅσ διὰ* E **γίγας ἐπεκαλεῖτο* MW *οὐϊτέλιος* E *ὁ οὐϊτέλλιος* A 15 **εἴη* Exc *βαβυλῶνος* E 16 *πύστιν*] E *πίστιν* codd. Exc **καίσαρ* Exc 17 **ἐκπέμ · πει* M *γραμματοφόρον* E 18 *ὑπολειπόμενος* MWExc *ἐπὶ* — 19 *ὑπατικῷ* om. Lat 19 *ἰουτελλίου* W *οὐϊτελίου* E **δ' ἐκπεμφθεισῶν* (*ἐμπεμφθεισῶν* cod. Schotti) Exc 21 *πίστιν* MW *προτεθεικότας* MW *ὁ* om. EExc *οὐϊτέλιος* E 22 *μεγάλως*] *μεγάλωστι* MWExc 23 **δὴ*] *δε* W 24 **μετῆλθεν* W *Ῥωμαίων* om. MWELatExc *παρειληφότος* fin. Exc 25 i. marg. *XV* Lat *δὲ*] *δὴ* ME

τὸν βίον εἰκοστῷ μὲν ἐνιαυτῷ τῆς Τιβερίου ἀρχῆς. ἡγησάμενος δὲ αὐτὸς ἑπτὰ καὶ τριάκοντα τῆς Τραχωνίτιδος καὶ Γαυλανίτιδος καὶ τοῦ Βατανέων ἔθνους πρὸς αὐταῖς, μέτριον δὲ ἐν οἷς ἦρχεν παρα-
107 σχὼν τὸν τρόπον καὶ ἀπράγμονα· δίαιταν μὲν γὰρ τὸ πᾶν ἐν γῇ τῇ ὑποτελεῖ ἐποιεῖτο, πρόοδοι δ' ἦσαν αὐτῷ σὺν ὀλίγοις τῶν ἐπιλέκτων, καὶ τοῦ θρόνου εἰς ὃν ἔκρινεν καθεζόμενος ἐν ταῖς ὁδοῖς ἐκομέτου. διότε τις ἐντυγχάσας ἐν χρείᾳ γένοιτο αὐτῷ ἐπιβοηθεῖν, οὐδὲν εἰς ἀναβολὰς ἀλλ' ἐκ τοῦ ὀξέος ἰδρύσεως τοῦ θρόνου ἢ καὶ τύχοι γενομένης καθεζόμενος ἠκροᾶτο καὶ τιμωρίας τε ἐπετίμα
108 τοῖς ἀλοῦσι καὶ ἠφίει τοὺς ἀδίκως ἐν ἐγκλήμασι γενομένους. τε-
λευτᾷ δ' ἐν Ἰουλιάδι καὶ αὐτοῦ κομισθέντος ἐπὶ τὸ μνημεῖον, ὃ ἔτι πρότερον ᾠκοδόμησεν αὐτός, ταφαὶ γίνονται πολυτελεῖς. τὴν δ' ἀρχήν, οὐ γὰρ κατελίπετο παῖδας, Τιβέριος παραλαβὼν προσθήκην ἐπαρχίας ποιεῖται τῆς Σύρων, τοὺς μέντοι φόρους ἐκέλευσε συλλεγομένους ἐν τῇ τετραρχίᾳ τῇ ἐκείνου γενομένῃ κατατίθεσθαι.
109 V. 1. Ἐν τούτῳ δὲ στασιάζουσιν Ἀρέτας τε ὁ Πετραῖος βασιλεὺς καὶ Ἡρῴδης διὰ τοιαύτην αἰτίαν· Ἡρῴδης ὁ τετράρχης γαμεῖ τὴν Ἀρέτα θυγατέρα καὶ συνῆν χρόνον ἤδη πολύν. στελλόμενος δὲ εἰς Ῥώμης κατάγεται ἐν Ἡρῴδου ἀδελφοῦ ὄντος οὐχ ὁμομητρίου· ἐν γὰρ τῆς Σίμωνος τοῦ ἀρχιερέως θυγατρὸς Ἡρῳδὴς ἐγεγόνει.
110 ἐρασθεὶς δὲ Ἡρωδιάδος τῆς τούτου γυναικός, θυγατρὸς δὲ ἦν Ἀριστοβούλου καὶ οὗτος ἀδελφὸς αὐτῶν, Ἀγρίππου δὲ ἀδελφὴ τοῦ μεγάλου, τολμᾷ λόγων ἅπτεσθαι περὶ γάμου. καὶ δεξαμένης συνθῆκαι γίνονται μετοικισασθαι παρ' αὐτόν, ὁπότε ἀπὸ Ῥώμης παραγένοιτο. ἦν δὲ ἐν ταῖς συνθήκαις ὥστε καὶ τοῦ Ἀρέτα τὴν θυγα-
111 τέρα ἐκβαλεῖν. καὶ ὁ μὲν εἰς τὴν Ῥώμην ἔπλει ταῦτα συνθέμενος. ἐπεὶ δὲ ἐπανεχώρει διαπραξάμενος ἐν τῇ Ῥώμῃ ἐφ' οἷσπερ ἐστάλη, ἡ γυνὴ πύστεως αὐτῇ τῶν πρὸς τὴν Ἡρωδιάδα συνθηκῶν γενομένης πρὶν ἔκπυστος αὐτῷ γενέσθαι τὰ πάντα ἐκμαθοῦσα κελεύει

AMWELat Zonaras I p. 484 Eusebius hist. eccl. I 11 Photius bibl. p. 316.
1 *εἰκοστῷ] *vicesimo secundo* Lat, quod probat Scaliger *τῆς] καὶ τῆσ W 2 *ἑπτὰ καὶ τριάκοντα] *triginta duos* (*XXXII* all.) Lat 3 *Βατανέων] ναβαταίου A βαταναίων WE *bantanaeorum* Lat αὐταῖς] αὐτοῖσ MW 4 *τὸ πᾶν om. M γῇ] τῇ γῇ MWE 5 *πρόσοδοι δ' ἦσαν, litt. οδοι δ' ἦ i. ras. m. 2, σ (post ὁ) ex ο corr. A 6 ἔκρινεν] κρίνοιεν M κρίνειεν W κρίνοι E 7 ἐπιβοηθῶ E 8 *ἀλλὰ A *ὀξέωσ M 10 *ἐγκλήμασι MW 13 κατελείπετο MWE *Τιβέριος] *tiberius caesar* Lat 14 *σύρων W 16 § 109 sqq excerpsit Eusebius cum Photio *Πετραίων Eus βασιλεὺς om. E 18 *πολλήν W 19 δ' MWE 20 *τοῦ] τῆσ M 22 ἀδελφὴ] ἀδελφοῦ E 23 γάμων MWE 24 *μετοικεῖσθαι A μετοικεῖσθαι Cocceji 28 πίστεωσ WE et ut uid. Lat 29 *ἔκπυστος W

πέμπειν αὐτὴν ἐπὶ Μαχαιροῦντος, μεθόριον δ' ἐστὶ τῆς τε Ἀρέτα καὶ Ἡρῴδου ἀρχῆς, γνώμην οὐκ ἐπαινοῦσα τὴν αὐτῆς. καὶ ὁ 112
Ἡρῴδης ἐξέπεμψεν μηδὲν ἠθῆσθαι τὴν ἄνθρωπον ἀρωδοκῶν.
ἡ δέ, προαπεστάλκει γὰρ ἐκ πλείονος εἰς τὸν Μαχαιροῦντα τῷ τε
πατρὶ αὐτῆς διοικεῖν πάντων εἰς τὴν ὁδοιπορίαν ἡτοιμασμένων
ὑπὸ τοῦ στρατηγοῦ ἅμα τε παρῆν καὶ ἀφορμᾶτο εἰς τὴν Ἀραβίαν
κομιδῇ τῶν στρατηγῶν ἐκ διαδοχῆς παρῆν τε ὡς τὸν πατέρα ἡ
τάχος καὶ αὐτῷ τὴν Ἡρῴδου διάνοιαν ἔφραζεν. ὁ δὲ ἀρχὴν ἔχθρας 113
ταύτην ποιησάμενος περί τε ὅρων ἐν γῇ τῇ Γαμαλικῇ, καὶ δυνά-
μεως ἑκατέρῳ συλλεγείσης εἰς πόλεμον καθίσταντο στρατηγοὺς
ἀπεσταλκότες ἀνθ' ἑαυτῶν. καὶ μάχης γενομένης διεφθάρη πᾶς 114
ὁ Ἡρῴδου στρατὸς προδοσίας αὐτῷ γενομένης ὑπ' ἀνδρῶν φυγά-
δων, οἳ ὄντες ἐκ τῆς Φιλίππου τετραρχίας Ἡρῴδῃ συνεστράτευον.
ταῦτα Ἡρῴδης γράφει πρὸς Τιβέριον. ὁ δὲ ὀργῇ φέρων τὴν Ἀρέτα 115
ἐπιχείρησιν γράφει πρὸς Οὐιτέλλιον πόλεμον ἐξενεγκεῖν καὶ ἤτοι
ζῶσαν ἑλόντα ἀναγαγεῖν δεδεμένον ἢ κτεινομένου πέμπειν τὴν κε-
φαλὴν ἐπ' αὐτόν. καὶ Τιβέριος μὲν ταῦτα πράσσειν ἐπέστελλεν
τῷ κατὰ Συρίαν στρατηγῷ.

2. Τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἡρῴδου στρα- 116
τὸν ὑπὸ τοῦ Θεοῦ καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάν-
νου τοῦ ἐπικαλουμένου βαπτιστοῦ. κτείνει γὰρ δὴ τοῦτον Ἡρῴδης 117
ἀγαθὸν ἄνδρα καὶ τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκοῦσιν καὶ
τὰ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς τὸν Θεὸν εὐσεβείᾳ χρωμέ-
νοις βαπτισμῷ συνιέναι· οὕτω γὰρ δὴ καὶ τὴν βάπτισιν ἀποδεκτὴν
αὐτῷ φανεῖσθαι μὴ ἐπί τινων ἁμαρτάδων παραιτήσει χρωμένων.
ἀλλ' ἐφ' ἁγνείᾳ τοῦ σώματος, ἅτε δὴ καὶ τῆς ψυχῆς δικαιοσύνῃ

AMWELatZonaras I p. 485 Exc. Peiresc. Origenes cont. Cels. I p. 35 Eusebius hist. eccles. I 11, 4; dem. euang. IX 5, 15.

1 δ'] τέ MW δέ E 2 τὴν ἑαυτῆς MWE ὁ om. MWE 3 ἐξέπεμπε (-πεν W) MWE 4 προαπεστάλκει — 7 παρῆν] *praemiserat enim ante multum tempus ad patrem, ut ei apud macherunta omnia praeparantur, quae itineris usus exposceret, a ductoribus aretae suscipitur* Lat *τῷ τε] τότε ed. pr. 5 ὑποτελῆ ed. pr. 6 ἅμα τε] ἀρέτα MWE ἀφορμᾶτο W ἐφορμᾶται E 9 γῇ] τῇ γῇ MWE *gamalitide* MWE *gumalica (gumalitica* cod. A) Lat 10 καθίσταντα E 11 *πᾶς] τε πᾶσ A 15 οὐϊτέλιον E 16 ἀγαγεῖν E 19 incip. Eus; breuiter huius loci meminit Origenes Ἡρώδου] Ἰουδαίων Eus. dem. 20 τιννυμένου codd. EEus 21 τοῦ καλουμένου Eus ὅτι κτείνει ἰωάννην ἡρώδης incip. Exc δὴ om. MWE Eus. dem. et Eusebii hist. eccl. codd. plurimi 22 τοὺς ἰουδαίους E ἐπασκοῦντας E 23 *τὸν om. Eus. dem. χρωμένους EEus χρομένοις Exc 24 δὴ om. MWEExc 25 *φαίνεσθαι Eus. dem., qui hic finit 26 *ἅτε δὴ καὶ suspecta uidentur Holwerdae *καὶ om. Exc.

118 προεκκεκαθαρμένης. καὶ τῶν ἄλλων συστρεφομένων, καὶ γὰρ ἥσθησαν ἐπὶ πλεῖστον τῇ ἀκροάσει τῶν λόγων, δείσας Ἡρῴδης τὸ ἐπὶ τοσόνδε πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις μὴ ἐπὶ ἀποστάσει τινὶ φέροι, πάντα γὰρ ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράξοντες, πολὺ κρεῖττον ἡγεῖται μᾶλλον τι νεώτερον ἐξ αὐτοῦ γενέσθαι προλαβὼν ἀνελεῖν τοῦ μεταβολῆς γενομένης [μὴ] εἰς πράγματα ἐμπεσὼν με-
119 τανοεῖν. καὶ ὁ μὲν ὑποψίᾳ τῇ Ἡρῴδου δέσμιος εἰς τὸν Μαχαιροῦντα πεμφθεὶς τὸ προειρημένον φρούριον ταύτῃ κτίννυται. τοῖς δὲ Ἰουδαίοις δόξαν ἐπὶ τιμωρίᾳ τῇ ἐκείνου τὸν ὅλεθρον ἐπὶ τῷ στρατεύματι γενέσθαι τοῦ Θεοῦ κακῶσαι Ἡρῴδην θέλοντος.

120 3. Οὐιτέλλιος δὲ παρασκευασάμενος ὡς εἰς πόλεμον τὸν πρὸς Ἀρέταν δυσὶ τάγμασιν ὁπλιτῶν ὅσοι τε περὶ αὐτὰ ψιλοὶ καὶ ἱππεῖς συμμαχοῦντες ἐκ τῶν ὑπὸ Ῥωμαίοις βασιλειῶν ἀγόμενος, ἐπὶ
121 τῆς Πέτρας ἤμειγετο καὶ ἔσχε Πτολεμαΐδα. ὡρμημένῳ δ' αὐτῷ διὰ τῆς Ἰουδαίων ἄγειν τὸν στρατὸν ὑπαντιάσαντες ἄνδρες οἱ πρῶτοι παρῃτοῦντο τὴν διὰ τῆς χώρας ὁδόν· οὐ γὰρ αὐτοῖς εἶναι πάτριον περιορᾶν εἰκόνας εἰς αὐτὴν φερομένας, πολλὰς δ' εἶναι ση-
122 μαίαις ἐπικειμένας. καὶ πεισθεὶς μετέβαλέν τε τῆς γνώμης τὸ ἐπὶ τοιούτοις προβουλεῦσαν καὶ διὰ τοῦ μεγάλου πεδίου κελεύσας χωρεῖν τὸ στρατόπεδον αὐτὸς μετὰ Ἡρῴδου τοῦ τετράρχου καὶ τῶν φίλων εἰς Ἱεροσόλυμα ἀνῆει θύσων τῷ θεῷ ἑορτὴν πατρίου τοῖς
123 Ἰουδαίοις ἐνεστηκυίας. εἰς ἣν ἀπαντήσας καὶ δεχθεὶς ὑπὸ τοῦ τῶν Ἰουδαίων πλήθους ἐκτρεπῶς τρεῖς μὲν ἡμέρας ταύτῃ διατριβὴν ποιεῖται, ἐν αἷς Ἰωνάθην τὴν ἱερωσύνην ἀφελόμενος ἐγχειρίζει τῷ
124 ἀδελφῷ αὐτοῦ Θεοφίλῳ, τῇ τετάρτῃ δὲ γραμμάτων αὐτῷ παραγενομένων, ἃ ἐδήλου τὴν Τιβερίου τελευτήν, ὥρκισεν τὴν πλῆθὺν ἐπ'

AMWELatZonaras I p. 486. Exc. Peiresc. Eusebius hist eccl. I 11. 5; Photius p. 316.

1 *προεκκεκαθαρμένης Exc et ut uid. Eus; finiunt Exc *ἄλλων] λαῶν ex corr. A *perplurima multitudo* Lat ἀνθρώπων coni. ἥσθησαν] Eus ἤρθησαν codd. E et Eusebii codd. quidam 2 δείσας] δείσασ δ' AE et Eusebii codd. quidam 3 ἀποστάσει] στάσει MWE 4 *φέροι MW φέροιτο Eus ἐοίκασι MWE *ἐκείνου M *πολὺ] πολύ τι M¹ 5 *ἐξ] ὑπ' (ἀπ' codd. quidam) Eus 6 *ἀναιρεῖν Eus *τοῦ] ἢ Eus *μὴ om. Eus *εἰς] εἰσ τὰ MW 7 τὸν om. E 8 *κτίννυται] fin. Eus 9 δόξαν] δόξα E *uidebatur* Lat δόξαν παρέσχεν Holwerda ἔδοξεν Bekker δόξα ἦν coni. 10 κακῶσαι Ἡρῴδην] E κακῶσ ἡρώδη codd. 11 οὐϊτέλλιοσ ME 12 ἱππεῖσ W 14 ὡρμημένων E 16 τὴν διὰ] E διὰ τὴν codd. *αὐτοῖσ A 17 σημαίαις] E σημαίασ (*al* i. ras. A) codd. 18 *μετέβαλέν τε] μεταβάλλεται μὲ μεταβάλετε W 20 αὐτὸς] E αὐτόσ τε codd. 23 *ἡμέρασ, ασ ex αισ corr A 24 ἱερωσύνην] ἀρχιερωσύνην MWE 25 *δὲ] δὲ καὶ MW *παρα γεγονότων W 26 *τὴν τοῦ τιβερίου M

εὐνοίᾳ τῇ Γαΐου. ἀνεκάλει δὲ καὶ τὸ στράτευμα ἐπὶ τὰ οἰκεῖα ἑκάστου χειμαδιᾶν πόλεμον ἐκφέρειν οὐκέθ' ὁμοίως δυνάμενος διὰ τὸ εἰς Γάιον μεταπεπτωκέναι τὰ πράγματα. ἐλέγετο δὲ καὶ τὸν 125
Ἀρέταν οἰωνοσκοπησάμενον πρὸς τὴν ἀγγελίαν τῶν Οὐιτελλίου στρατιωτῶν φάναι μηχανὴν οὐκ εἶναι τῷ στρατῷ τῆς ἐπὶ Πετραίους ὁδοῦ· τεθνήξεσθαι γὰρ τῶν ἡγεμόνων ἢ τὸν πολεμεῖν κελεύσαντα ἢ τὸν γνώμῃ τῇ ἐκείνου ὡρμημένον διακονεῖσθαι ἢ ἐφ' ὃν γένοιτο ἡ παρασκευὴ τοῦ στρατεύματος. καὶ Οὐιτέλλιος μὲν ἐπ' Ἀντιο- 126
χείας ἀνεχώρησεν. Ἀγρίππας δὲ ὁ Ἀριστοβούλου υἱὸς ἐνιαυτῷ πρό- 10
τερον ἢ τελευτῆσαι Τιβέριον ἐπὶ Ῥώμης ἄνεισι πράξων τι παρὰ τῷ αὐτοκράτορι δυνάμεώς τινος αὐτῷ παραγενομένης. βούλομαι 127
οὖν εἰπεῖν ἐπὶ μακρότερον περί τε Ἡρῴδου καὶ γένους αὐτοῦ ὡς ἐγένετο, ἅμα μὲν καὶ διὰ τὸ ἀνήκειν τῇ ἱστορίᾳ τὸν περὶ αὐτῶν λόγον, ἅμα δὲ καὶ παράστασιν ἔχειν τοῦ θείου, ὡς οὐδὲν ὠφελεῖ 15
πλῆθος οὐδ' ἄλλη τις ἀλκὴ τῶν ἐν ἀνθρώποις ἐπιτετιγμένων ὄγκα τῶν πρὸς τὸ θεῖον εὐσεβειῶν, εἴ γε ἐντὸς ἑκατὸν ἐτῶν ἐξόδου συν- 128
έβη πλὴν ὀλίγων, πολλοὶ δ' ἦσαν, διαφθαρῆναι τοὺς Ἡρῴδου ἀπογόνους· φέροι δ' ἄν τι καὶ σωφρονισμῷ τοῦ ἀνθρωπείου γένους τὸ τὴν δυστυχίαν αὐτῶν μαθεῖν, ἅμα δὲ καὶ τὸν Ἀγρίππαν 129
διηγήσασθαι θαύματος ἀξιώτατον γεγενημένον. ὃς ἐκ πάνυ ἰδιώτου καὶ παρὰ πᾶσαν δόξαν τῶν εἰδότων αὐτὸν ἐπὶ τοσόνδε ἠξέθη δυνάμεως. εἴρηται μὲν οὖν μοι καὶ πρότερον περὶ αὐτῶν, λεχθήσεται δὲ καὶ νῦν ἀκριβῶς.

4. Ἡρῴδῃ τῷ μεγάλῳ θυγατέρες ἐκ Μαριάμμης τῆς Ὑρκανοῦ 130
θυγατρὸς γίνονται δύο. Σαλαμψιὼ μὲν ἡ ἑτέρα, ᾗ γαμεῖται Φασαήλῳ τῷ αὐτῆς ἀνεψιῷ Φασαήλου παιδὶ ὄντι τοῦ Ἡρῴδου ἀδελφοῦ δε-

§ 126 cf. bell. Iud. II 178.

AMWELat Zonaras I p. 487.

2 *χειμαδιᾶν πόλεμον*, litt. *νπ* i. ras. ut uid. m. 2 A *χειμαδιᾶν] χειμαδιοῦντος* MW, i. marg. *γρ χειμαδιοῦντας* A *χειμάδια* coni. 4 *τῶν* — 5 *στρατιωτῶν*] *τῆσ οὐϊτελίου στρατείασ* E *τῶν Οὐιτ. ἐπιστρατειῶν* Cocceji 5 **φαίναι* W *Πετραίους ὁδοῦ*] *πέτρασ | ει · σόδου* (*πέτρασ* ex *πετραί*, *ει* ex *ο*, *όδου* ex *ὁδοῦ* corr.) A *πέτρασ εἰσόδου* MWE *ut ad petraeos aduenire* Lat 7 **ἦ* (ante *ἐφ'*)] *καὶ* MW *γένοιτο* E 8 *οὐϊτέλιοσ* E 10 **πράξων τι*] *πράξαντι* MW 12 **οὖν*] *μὲν οὖν* M 14 **λόγων* A *καὶ*] *καὶ διὰ τὸ* E 15 *πλῆθοσ* MWE *ἐν* om. E 18 **ἀνθρωπίου* A[1]W 19 **διστυχίαν* W 20 **ὅς*] *qualiter* (*ὡς*) Lat 21 **αὐτὸν*] *αὐτῶ* M 22 *μοι* om. MWE 23 **δὲ*] *δέ μοι* MW 24 *Μαριάμμης*] *μαριάμησ τῆσ ἀλεξάνδρου καὶ ἀλεξάνδρασ* E 25 *θυγατρὸσ ὑρκανοῦ* tr. E **Σαλαμψιὼ*] *salome* Lat (?) 26 **Ἡρῴδου*] *ἡρώδου* i. ras. maiore m. 1 A *φασαήλου* MW *herodis* Lat

δωκότος τοῦ πατρὸς αὐτήν. Κύπρος δὲ Ἀντιπάτρῳ καὶ αὐτὴ ἀνε-
131 ψιῷ Ἡρώδου παιδὶ τῆς ἀδελφῆς Σαλώμης. καὶ Φασαήλῳ μὲν ἐκ
Σαλαμψιοῦς γίνονται πέντε παῖδες Ἀντίπατρος Ἀλέξανδρος Ἡρώ-
δης θυγατέρες τε Ἀλεξάνδρα καὶ Κύπρος. ἣν Ἀγρίππας γαμεῖ ὁ
Ἀριστοβούλου. Ἀλεξάνδραν δὲ γαμεῖ μὲν Τίμιος Κύπριος ἀνὴρ
132 τῶν ἀξιολόγων. καρ᾽ ὃ δὴ ἄτεκνος τελευτᾷ. Κύπρῳ δ᾽ ἐξ Ἀγρίπ-
που μὲν ἄρρενες γίνονται δύο, θυγατέρες δὲ τρεῖς Βερενίκη Μα-
ριάμμη Ἰρωδιάλλα. Ἀγρίππας δὲ καὶ Ἰρώδου τοῖς ἄρσεσιν ὀνό-
133 ματα, ὧν ὁ Ἰρώδου πρὶν ἥβῆσαι τελευτᾷ. * τῷ δὲ παιρὶ τούτων
Ἀγρίππας ἐτρέφετο μετὰ καὶ ἑτέρων ἀδελφῶν Ἡρώδης καὶ Ἀρι-
στόβουλος· καὶ Βερενίκη καὶ οἵδε παῖδες Ἡρώδου τοῦ υἱέος τοῦ
μεγάλου· ἡ δὲ Βερενίκη Κοστοβάρου καὶ Σαλώμης παῖς τῆς Ἡρώ-
134 δου ἀδελφῆς. τούτοις Ἀριστόβουλος νηπίους λείπεται θνήσκων
ὑπὸ τοῦ πατρὸς σὺν Ἀλεξάνδρᾳ τῷ ἀδελφῷ, καθὰ προειρήκαμεν.
ἡβήσαντες δ᾽ ἄγονται Ἡρώδης μὲν οὗτος ὁ τοῦ Ἀγρίππου ἀδελφὸς
Μαριάμμην θυγατέρα Ὀλυμπιάδος τῆς Ἡρώδου βασιλέως θυγατρὸς
καὶ Ἰωσήπου τοῦ Ἰωσήπου. ἀδελφὸς δὲ οὗτος Ἡρώδου τοῦ βασι-
135 λέως· ἴσχει τε ἐξ αὐτῆς υἱὸν Ἀριστόβουλον. ὁ δὲ τρίτος τοῦ
Ἀγρίππου ἀδελφὸς Ἀριστόβουλος γαμεῖ Ἰωτάπην Σαμψιγεράμου
θυγατέρα τοῦ Ἐμεσῶν βασιλέως. θυγάτηρ τε αὐτοῖς γίνεται κωφή·

AMWELat

1 αὐτὴν τοῦ πατρὸς tr. MW 2 παιδὶ τῆς ἀδελφῆς ἡρώδου tr. E
3 *salampsus Lat ἡρώδης ἀλέξανδροσ tr. MWELat 4 τε] δὲ MWE
5 Ἀριστοβούλου] alexandri cod. ALat μὲν om. E *Τίμιος Κύπριος ἀνὴρ] honorabilis uir cyprus Lat 6 δὴ] δὴ καὶ ME *ἀγρίππα MW 7 ἄρσενεσ MWE ἄρσενεσ μὲν tr. E βερνίκη MWE μαριάμη E 8 δροσιάλλα AME 9 τῷ δὲ] transit ad progeniem Aristobuli et Berenicae Salomae filiae, quibus erant filii tres Herodes Agrippa Aristóbulus, filiae duae Herodias et Mariame (bell. Iud. I 552), quos Iosephum non sino mentione praeteriisse puto; quare lacunam statuo; cf. ad § 138 *τῷ δὲ — 10 ἐτρέφετο] agrippas autem a patre nutriebatur Lat *τῷ δὲ πατρὶ] ὁ δὲ πατὴρ Hudson
10 *ἀγρίππασ, ασ in αι corr. A *μετὰ — ἀδελφῶν om. Lat Ἡρώδης] ἡρώδησ τε MW ἡρώδησ δὲ E Ἡρώδου τε καὶ Ἀριστοβούλου Hudson Ἡρώδης — 12 μεγάλου] herodes autem et aristobulus et uerenice etiam hi quoque filii fuerunt filii maioris herodis Lat 11 καὶ Βερενίκη] καὶ βερνίκη MW καὶ ἀδελφὴ ἡρωδιὰσ ἀριστοβούλου E ἐκ Βερνίκης Hudson τοῦ υἱοσ ἡρώδου tr. E 12 βερνίκη MWE 13 *λείπεται θνήσκων] θνήσκει λιπὼν MW
14 καθάπερ εἰρήκαμεν MW ὡς ἤδη εἴρηται E 15 δὲ E *ἀγρίππα MW
*ἀδελφὸς] υἱὸσ MW 16 μαριάμην E mariam Lat βασιλέως] τοῦ βασιλέωσ E 17 *τοῦ Ἰωσήπου om. Lat δὲ] δ᾽ MW δ᾽ ἦν E Ἡρώδου τοῦ βασιλέως] τοῦ βασιλέωσ θυγατρὸσ MW τοῦ βασιλέωσ ἡρώδου E 18 τε] δ᾽ MWE 19 Σαμψιγεράμου] lapsigerami cod. ALat 20 ἐμεσῶν E τε] δὲ MWE

ὄνομα καὶ τῇδε Ἰωτάπη. καὶ τάδε μὲν τῶν ἀρσένων τέκνα. Ἡρω- 136
διὰς δὲ αὐτῶν ἡ ἀδελφὴ γίνεται Ἡρῴδῃ Ἡρῴδου τοῦ μεγάλου παιδὶ
γεγονότι ἐκ Μαριάμμης τῆς τοῦ Σίμωνος τοῦ ἀρχιερέως, καὶ αὐ-
τοῖς Σαλώμη γίνεται, μεθ' ἧς τὰς γονὰς Ἡρωδιὰς ὑπὸ συγχύσει
φρονήσασα τῶν παρίων Ἡρῴδῃ γαμεῖται τοῦ ἀνδρὸς τῷ ὁμοπα-
τρίῳ ἀδελφῷ διαστᾶσα ζῶντος. τὴν δὲ Γαλιλαίων τετραρχίαν οὗ-
τος εἶχεν. ἡ δὲ Θυγάτηρ αὐτῆς Σαλώμη Φιλίππῳ γαμεῖται Ἡρῴ- 137
δου παιδὶ τῷ τετράρχῃ τῆς Τραχωνίτιδος, καὶ ἄπαιδος τελευτή-
σαντος Ἀριστόβουλος αὐτὴν ἄγεται Ἡρῴδου παῖς τοῦ Ἀγρίππου
ἀδελφοῦ. παῖδες δὲ ἐγένοντο αὐτοῖς τρεῖς Ἡρῴδης Ἀγρίππας
Ἀριστόβουλος. τοῦτο μὲν δὴ τὸ Φασαήλου καὶ Σαλαμψιοῦς ἔστι 138
γένος. Κύπρῳ δ' ἐξ Ἀντιπάτρου Θυγάτηρ γίνεται Κύπρος, καὶ
αὐτὴν Ἀλεξᾶς ὁ Ἐλκίας γαμεῖ τοῦ Ἀλεξᾶ, καὶ αὐτῆς Θυγάτηρ ἦν
Κύπρος. Ἡρῴδης δὲ καὶ Ἀλέξανδρος, οὓς ἀδελφοὺς ἔφην Ἀντι-
πάτρου, ἄτεκνοι τελευτῶσιν. Ἀλεξάνδρῳ δὲ τῷ Ἡρῴδου παιδὶ 139
τοῦ βασιλέως τῷ ὑπὸ τοῦ πατρὸς ἀνῃρημένῳ Ἀλέξανδρος καὶ Τι-
γράνης ἐγεγόνεισαν υἱεῖς ἐκ τῆς Ἀρχελάου τοῦ Καππαδόκων βα-
σιλέως θυγατρός. καὶ Τιγράνης μὲν βασιλεύων Ἀρμενίας κατη-
γορηθεὶς αὐτοῦ ὑπὸ Ῥώμης γενομένων ἄλλως τελευτᾷ. Ἀλέξάνδρῳ 140
δὲ Τιγράνης ὁμώνυμος τῷ ἀδελφῷ γίνεται παῖς καὶ βασιλεὺς Ἀρ-
μενίας ὑπὸ Νέρωνος ἐκπέμπεται υἱός τε Ἀλέξανδρος αὐτῷ γίνεται.
γαμεῖ δ' οὗτος Ἀντιόχου τοῦ Κομμαγηνῶν βασιλέως θυγατέρα
Ἰωτάπην, ἡσίοδός τε τῆς ἐν Κιλικίᾳ Οἰνοπισσιανὸς αὐτὸν ἵσταται

AMWELat

1 *τῇδε] τῆτε MW *Ἰωτάπη · A *Ἡρωδιάς — 2 παιδὶ] *herodias quoque erat his soror progenita, quae herodi herodis maioris filio fuerat iuncta* Lat 2 *γίνεται] γήμεται* E 3 *γεγονότι] ὃς γέγονεν* MW, om. E *μαριάμνης* M *μαριάμης* E 5 *τῷ* om. E 6 *ζῶντος] τοῦ προτέρου γαμέτου ζῶντος* E *εἶχεν οὗτος* tr. MW 11 *Ἀριστόβουλος] καὶ ἀριστόβουλος* E *τοῦτο — 12 γένος* hoc loco minus recte extant; nam supra hoc genus enarratum erat, at hic Aristobuli proles habuimus. etiam insequentia (usque ad 15 *τελευτῶσιν*) ad ea potius spectant, quae §§ 130—133 referuntur; nam Herodes et Alexander fratres Antipatri filii sunt Phasaëli et Salampsius (§ 131); eidem loco Cypri quoque mentio multo aptior est. quare nide num tota § 138 post 132 (*τελευτᾷ*) transponenda sit. *Φασαήλου καὶ om. Lat *σαμψιοῦσ* MWE *salampsus* Lat 12 *γένουσ W *Κύπρῳ] *ei* Lat 13 *ὁ Ἐλκίας] *σέλκιοσ* MW *selcias* Lat *τοῦ Ἀλεξᾶ — θυγάτηρ] *alexae uero huiusque mulieris filia* Lat *αὐτῆς] αὐτοῖς W 14 *Ἀντιπάτρου] *antipae* cod. A Lat 17 *καππαδοκῶν* codd. E 18 *βασιλέων W 20 δὲ om. E *ὁμωνύμωσ M 23 *ἡσίοδός τε] om. spatio uacuo 6 litt. relicto E *ἡσίοδος] isedis (lesidi* cod. Berol.) Lat *Νησιάδος* Harduinus numi antiq. illustr. p. 150 *νησίδος* Ernesti *ἵσταται] i. marg. *γρ καθίσταται* A *καθιστᾶ* E

141 βασιλέα. καὶ τὸ μὲν Ἀλεξάνδρου γένος εὐθὺς ἅμα τῷ φυῆναι τὴν θεραπείαν ἐξέλιπεν τῶν Ἰουδαίοις ἐπιχωρίων μεταταξάμενοι πρὸς τὰ Ἕλλησι πάτρια· ταῖς δὲ λοιπαῖς θυγατράσιν Ἡρώδου τοῦ βα-
142 σιλέως ἀτέκνοις τελευτᾶν συνέπεσεν. τῶν δὲ γενομένων Ἡρώδου ἀπογόνων οἷς κατέλεξα ἔμενον ἐν ᾧ χρόνῳ Ἀγρίππας ὁ μέγας τὴν βασιλείαν παρέλαβεν. τούτων δέ μοι τὸ γένος προδεδηλωμένων διέξειμι λοιπόν, ὁπόσαι Ἀγρίππα τύχαι συνέλθοιεν, ὥς τε αὐτῶν διάδρασιν ποιησάμενος ἐπὶ μέγιστον ἀξιώματός τε ἅμα προκόψειεν καὶ δυνάμεως.

143 VI. 1. Ἡρώδου τοῦ βασιλέως ὀλίγον πρὸ τῆς τελευτῆς Ἀγρίππας ἐν Ῥώμῃ διατρίβοντος καὶ ὁμοτροφίας καὶ συνηθείας αὐτῷ πολλῆς γενομένης πρὸς Δροῦσον τὸν Τιβερίου τοῦ αὐτοκράτορος υἱὸν καὶ Ἀντωνίᾳ τῇ Δρούσου τοῦ μεγάλου γυναικὶ εἰς φιλίαν ἀφίκετο, Βερενίκης τῆς μητρὸς τιμωμένης παρ' αὐτῇ καὶ προαγωγῶν
144 ἠξιωκυίας τὸν υἱόν. φύσει δὲ μέγας ὢν ὁ Ἀγρίππας καὶ δωρεῖσθαι πολυτελῶς ζώσης μὲν τῆς μητρὸς οὐκ ἐξέφαινε τῆς ψυχῆς τὸ θέλον διαδιδράσκειν αὐτῆς ἠξιωκὼς τὴν ἐπὶ τοῖς τοιούτοις γενο-
145 μένην ὀργήν, ἐπεὶ δὲ Βερενίκη τελευτᾷ, γενόμενος ἐπὶ τῷ αὐτοῦ τρόπῳ, τὰ μὲν εἰς πολυτέλειαν τῆς καθ' ἡμέραν διαίτης, τὰ δ' εἰς τῶν δωρεῶν τὸ μὴ μέτρῳ προϊέμενον ἀνάλωσε τῶν χρημάτων,
146 τὰ πλεῖστα δ' εἰς τοὺς Καίσαρος ἀπελευθέρους ἐτετέλεστο ἐλπίδι πράξεως τῆς αὐτῶν, μενία τε ἐν ὀλίγῳ περὶ αὐτὸν ἦν. καὶ τοῦτο ἦν κώλυμα τῆς ἐν Ῥώμῃ διαίτης, καὶ ὁ Τιβέριος τοῖς φίλοις τοῦ υἱέος τετελευτηκότος ἀπειπὼν φοιτᾶν εἰς ὄψιν αὐτῷ, διὰ τὸ ἀνερριζῶσθαι πρὸς τὸ λυπεῖσθαι μνημονεύων τοῦ παιδὸς θεωρίᾳ τῇ ἐκείνων.

AMWELatZonaras I p. 487.

1 *φύναι M 2 μεταταξάμενοι M μεταταξάμενον E 4 τῶν δὲ — 6 παρέλαβεν] herodis autem quam memoraui prosapia permansit usque ad tempus quo agrippa maior regnum accepit Lat, om. E 5 κατέλεξα ἔμενον] κατελέξαμεν ὄντων MW κατέλεξα μενόντων Bekker 6 *τούτων] i. marg. XV Lat *δέ] τέ ed. pr. *τοῦ γένους] de herodis genere Lat προδεδηλωμένου E 7 ὁπόσαι] ὁπόσαι τε MWE ὥς] πῶς E 8 τε ἀξιώματος tr. E 10 i. marg. η' E 11 ἐν] ἐν τῇ MWE *ῥώμῃ A 14 βερνίκης MWE αὐτῇ] αὐτῆς MWE καὶ — 15 υἱόν] et uenerabiliter appellaret Lat προαγωγῶν] προαγαγὼν W spatium uacuum 7 litt. E προαγαγεῖν Hudson et Cocceji 15 *ἠξιωκύας A ὁ om. MWE 16 *πολυτελεῖσ W *ἐξέφαινε τῆς] ἐξεφαίνετο ἐκ MW 17 διαδιδράσκον E τοῖς om. MWE γινομένην uel γενομένην ἂν Bekker 18 δὲ Βερενίκη] δ' ἡ βερνίκη MWE 19 τῆς] E τῆς εἰσ codd. *δ' εἰς] δὲ ἐκ MW δ' εἰσ τὸ μὴ μέτρῳ τῶν δωρεῶν προϊέμενον E 20 τῶν] τὸ τῶν A *ἀναλῶσαι MW 22 τῆς] τοῖσ E 24 υἱέωσ E

2. *Διὰ μὲν δὴ ταῦτα ἐπὶ τῆς Ἰουδαίας πλέων ὤχετο κακο-* 147
πραγῶν καὶ τεταπεινωμένος ὀλέθρῳ τε ὧν εἶχεν χρημάτων καὶ
ἀπορίᾳ τοῦ ἐκτίσοντος τὰ χρέα τοῖς δανεισταῖς πολλοῖς τε οὖσιν
καὶ ἀλεωρὰν οὐδ' ἡντινοῦν ἐνδιδοῦσιν, ὥστε ἀπορίᾳ τῶν ποιητέων
καὶ αἰσχύνῃ τῇ ἐπ' αὐτοῖς ὑποχωρήσας εἴς τινα τύργον ἐν Μαλά-
θοις τῆς Ἰδουμαίας ἐν περιοικίᾳ τοῦ μετασησόντος αὐτὸν ἦν. αἰ- 148
σθάνεται δ' αὐτοῦ τὴν διάνοιαν Κύπρος ἡ γυνὴ παντοία τε ἦν
ἀπείργουσα τῶν ἐπὶ τοιούτοις βουλευμάτων. διατέμπεται δὲ καὶ
ὡς τὴν ἀδελφὴν αὐτοῦ Ἡρωδιάδα Ἡρῴδῃ τῷ τετράρχῃ συνοικοῦ-
σαν γράμματα, δηλοῦσα τό τε ἐπὶ τοιούτοις τοῦ Ἀγρίππα προβου-
λεῦσαν καὶ τὴν ἀνάγκην, ἣ ἐπ' αὐτὰ ἐξήγαγεν· ἐκέλευέν τε συγγενῆ 149
οὖσαν βοηθεῖν θεωροῦσαν, ὡς αὐτὴ παντοίως ὡς κουφίζοι τὸν
ἄνδρα καὶ ταῦτα ἐξ ὁμοίων ἀφορμῶν. οἱ δὲ μεταπέμψαντες αὐτὸν
οἰκητήριον ἀπέδειξαν Τιβεριάδα καί τι καὶ ἀργύριον ὥρισαν εἰς
τὴν δίαιταν. ἀγορανομίᾳ τε τῆς Τιβεριάδος ἐτίμησαν. οὐ μὴν ἐπὶ 150
πλεῖόν γε Ἡρῴδης ἐνέμεινε τοῖς δεδογμένοις, καίτοι γε οὐδ' ὡς
ἀρκοῦντα ἦν· ἐν γὰρ Τύρῳ παρὰ συνουσίαν ὑπὸ οἴνου γενομένων
αὐτοῖς λοιδοριῶν, ἀνεκτὸν οὐχ ἡγησάμενος Ἀγρίππας τοῦ Ἡρῴδου
τε ἐπονειδίσαντος εἰς ἀπορίαν καὶ τροφῆς ἀναγκαίας μετάδοσιν,
ὡς Φλάκκον τὸν ὑπατικὸν εἴσεισιν φίλον ἐπὶ Ῥώμης τὰ μάλιστα
αὐτῷ γεγονότα πρότερον· Συρίαν δὲ ἐν τῷ τότε διεῖπεν.
3. *Καὶ δεξαμένου Φλάκκου παρὰ τούτῳ διῆγεν παρακατεσχη-* 151
κότος αὐτὸν ἐπὶ Ἀριστοβούλου, ὃς ἀδελφὸς ὢν Ἀγρίππου διαφο-
ρὸς τ' ἦν. οὐ μὴν ἐβλάπτοντο ἔχθρᾳ τῇ ἀλλήλων, ὥστε μὴ φιλίᾳ
τοῦ ὑπατικοῦ τὰ εἰκότα τιμὴν φέρεσθαι. οὐ μὴν ὅ γε Ἀριστό- 152
βουλος ἀνίει τι τοῦ πρὸς τὸν Ἀγρίππαν δυσμενοῦς μέχρι καὶ εἰς

AMWELatZonaras I p. 487.

4 *ἀλεωρὴν* MWE et i. marg. A *ἤντιν' οἶν, ἡ* paene euan. A *ἡντιναοῦν* MWE 5 **τῇ*] *τοῖσ* A **μαλάθοισ* MW 6 **τῆς Ἰδουμαίας* om. Lat *αὐτὸν* codd. E 7 *δὲ* ME 10 *ἐπὶ*] *ἐπὶ τοῖσ* MW *ἀγρίππου* MWE 11 *αὐτὸ* E *ἐξῆγεν* MWE 12 *θεωροῦσαν* — 13 *ἀφορμῶν*] *καὶ τὸν ἄνδρα πρὸσ τοῦτο παρασκευάζειν* E *παντοίωσ*] *πάντωσ* Cocceji *ὡσ*] om. MW, i. marg. *γρ οὐ κουφίζοι* A 13 *ἐξ*] *οὐκ ἐξ* MW 14 **ἀργύριον*] *aliquantum aeris per singulos dies* Lat 15 **τιβεριάδοσ* W 17 **οἴνου*] *οἶνον τὲ* MW **γενομένων, εν* (post *γ*) ex corr. M 18 **Ἀγρίππασ*] *antipater* Lat **Ἡρῴδου*] *antipatro* Lat 19 *τε* om. E **μετάδοσιν*] *μεταδίδωσιν* W 20 **εἴσισιν* W 21 *δὲ*] *τε* AW *δὲ καὶ* E 22 *παρακατεσχηκότοσ*] *προκατειληφότοσ* E, unde *προκατεσχηκότοσ* coni. 23 *αὐτὸν*] *αὐτοῦ* Hudson 24 *τ'*] *τε* MW **ὥστε* — 25 *φέρεσθαι*] *quominus amicitiam consulis honoremque mererentur* Lat **μὴ*] *μὴν* W 25 *τὰ*] i. marg. *γρ εἰσ τὰ εἰκότα αὐτῶι τιμὴν φέρεσθαι* A 26 **τι* om. M

ἔχθραν αὐτὸν Φλάκκῳ καθίστησιν, αἰτίαν τοιαύτην ἐπὶ τῇ δυσμε-
153 νείᾳ παραλαβών. Δαμασκηνοὶ Σιδωνίοις περὶ ὅρων διάφοροι καθ-
εστῶτες, μέλλοντος Φλάκκου περὶ τούτων ἀκροᾶσθαι μαθόντες
τὸν Ἀγρίππαν ὡς παρ' αὐτῷ μέγα δύναιτ' ἂν ἀξίων μερίδος εἰς
154 αὐτῶν γενέσθαι, ἀργύριόν τε πλεῖστον ὡμολογεῖτο αὐτῷ. καὶ ὁ
μὲν πάντα ἐπὶ τῇ βοηθείᾳ τῶν Δαμασκηνῶν ὥρμητο πράσσειν.
Ἀριστόβουλος δέ, οὐ γὰρ ἐλάνθανεν αὐτὸν ἡ ὁμολογία τῶν χρη-
μάτων, καταγορεύει πρὸς τὸν Φλάκκον. καὶ βασανιζομένου τοῦ
πράγματος ἐπεὶ φανερὰ ἦν, ἐξωθεῖ τὸν Ἀγρίππαν φιλίας τῆς
155 πρὸς αὐτόν. ὁ δὲ εἰς ὑστάτην περιωσμένος ἀπορίαν εἰς Πτολε-
μαΐδα παρῆν, καὶ κατὰ τὸ ἄπορον τῆς ἀλλαχόθι διαίτης γνώμην
ἐποιεῖτο ἐπὶ τῆς Ἰταλίας πλεῖν. εἰργόμενος δὲ χρημάτων ἀπορίᾳ
ἠξίου Μαρσύαν ὄντα αὐτοῦ ἀπελεύθερον ποριστὴν γενέσθαι τῶν
156 ἐπὶ τοιούτοις μηχανῶν δανεισάμενον παρά τινος. καὶ ὁ Μαρσύας
Πρῶτον κελεύει Βερενίκης ὄντα ἀπελεύθερον τῆς Ἀγρίππου μη-
τρός, διαθήκης δὲ τῆς ἐκείνου δικαίῳ ὑποτελοῦντα τῆς Ἀντωνίας,
157 αὐτῷ γοῦν παρασχεῖν ἐπὶ γράμματι καὶ πίστει τῇ αὐτοῦ. ὁ δέ,
ἐτεκάλει γὰρ τῷ Ἀγρίππᾳ χρημάτων τινῶν ἀποστέρησιν, ἀναγκάζει τὸν Μαρσύαν δύο μυριάδων Ἀττίδων συμβόλαιον ποιησάμενον πεντακοσίαις καὶ δισχιλίαις ἔλασσον λαμβάνειν. συνεχώρει δ' ἐκεῖ-
158 νος κατὰ τὸ μὴ εἶναι ἄλλως ποιεῖν. εἰλημμένου δὲ τοῦ χρήματος τούτου Ἀγρίππας εἰς Ἀνθηδόνα παραγενόμενος καὶ λαβὼν ναῦν ἐν ἀναγωγαῖς ἦν. καὶ γνοὺς Ἐρέννιος Καπίτων ὁ τῆς Ἰαμνείας ἐπίτροπος πέμπει στρατιώτας, οἳ εἰσπράξονται αὐτὸν ἀργυρίου τριάκοντα μυριάδας θησαυρῷ τῷ Καίσαρος ὀφειλομένας ἐπὶ Ῥώμης
159 ὑπ' αὐτοῦ, ἀνάγκας τε ἐπετίθεσαν τοῦ μενοῦντος. καὶ τότε μὲν πείσεσθαι τοῖς κεκελευσμένοις προσποιητὸς ἦν, νυκτὸς δ' ἐπιγενο-

AMWELat Zonaras I p. 488.

1 litt. *λ τῇ δυσμενείᾳ i. ras. angustius scripta m. 2 A 2 *σιδονίοις W *περὶ ὅρων] *pro militibus* (h. e. *limitibus*) Lat 3 ἀκροάσασθαι MWE 4 δύναιτ' ἄν] δύναται E 5 ὡμολόγητο MWE 8 κατηγορεύει E¹ 9 *ἐξώθει A *τῆς ex τὴν corr. A 10 ἀπορίαν περιωσμένος tr. MWE 11 *τὸ om. MW ἀλλαχόθεν WE 14 μηχανῶν] δαπανῶν E τινος] τινων MWE *aliquibus* Lat 15 Πρῶτον] πέτρον E *primum quendam* Lat βερενίκης MWE 16 διαθήκης — Ἀντωνίας] *sed iure testamenti eius factum dicionis antoniae* Lat, om. E τῆς ἐκείνης coni. δικαίῳ] Bekker cum Lat δικαίου A δικαίωσ MW 18 *ἀναγκάζειν M 19 *Μαρσύαν] ἀργίππαν μαρσύαν MW 20 δισχιλίαις] χιλιασ E *ἐλάσσονα MW *δὲ MW 22 καὶ om. E *ναῦσ A *navem* Lat 23 *ἐν ⸗αναγωγαῖσ A ἐν ἀγωγαῖσ MW *λαμνείασ, λα angustius scriptum, εί i. ras. A λαμνίασ W 27 πείθεσθαι E *κελευομένοισ MW *δὲ MW

μένης κόψας τὰ ἀτύγεια ᾤχετο ἐπ' Ἀλεξανδρείας πλέων. ἔνθα Ἀλεξάνδρου θυγατὴρ τοῦ ἀλαβάρχου μυριάδας εἴκοσι δάνειον αὐτῷ δοῦναι. ὁ δ' ἐκείνῳ μὲν οὐκ ἂν ἔφη παρασχεῖν, Κύπρῳ δὲ οὐκ ἠρνεῖτο τήν τε φιλανδρίαν αὐτῆς καταστενάξας καὶ τὴν λοιπὴν ἄκλασαν ἀρετήν. ἡ δὲ ὑπισχνεῖτο, καὶ ὁ Ἀλέξανδρος πέντε τάλαντα 160
αὐτοῖς ἐν τῇ Ἀλεξανδρείᾳ δοὺς τὸ λοιπὸν ἐν Δικαιαρχείᾳ γενομένοις παρέξειν ἐπηγγέλλετο, δεδιὼς τοῦ Ἀγρίππου τὸ εἰς τὰ ἀναλώματα ἕτοιμον. καὶ Κύπρος μὲν ἀναλλάξασα τὸν ἄνδρα ἐπὶ τῆς Ἰταλίας πλευσούμενον αὐτὴ μετὰ τῶν τέκνων ἐπὶ Ἰουδαίας ἀνέζευξεν.

4. Ἀγρίππας δὲ εἰς Ποτιόλους παραβαλὼν ἐπιστολὴν ὡς Τι- 161
βέριον τὸν Καίσαρα γράφει διαιτώμενον ἐν Καπρέαις, παρουσίαν τε τὴν αὐτοῦ δηλῶν ἐπὶ θεραπείᾳ καὶ ὄψει τῇ ἐκείνου, καὶ ἀξιῶν ἔφεσιν αὐτῷ γενέσθαι εἰς Καπρέας παραβαλεῖν. Τιβέριος δὲ οὐ- 162
δὲν ἐνδοιάσας τά τε ἄλλα αὐτῷ γράφει φιλανθρωπίᾳ χρώμενος, ἐκτίνει τε χάριν ἀποσημαίνων ἐπὶ τῷ σῶν ἐπανήκειν εἰς τὰς Καπρέας, ἐπεὶ δ' ἀφικνεῖται μηδὲν ὑφελὼν τοῦ ἐν τοῖς γράμμασι προθύμου ἡσπάζετό τε καὶ ἐξένιζεν. τῇ δ' ἑξῆς Καίσαρι γραμ- 163
μάτων αὐτῷ παρὰ Ἐρεννίου Καπίτωνος ἀφικομένων, ὅτι Ἀγρίπτας μυριάδας τριάκοντα δάνεισμα ποιήσας καὶ πρὸς τὰς καταβολὰς ἐκλιπὼν χρόνον τὸν συγκείμενον ἀπαιτήσεως γενομένης οἴχοιτο φυγὰς ἐκ τῶν ὑπ' αὐτῷ χωρίων ἄκυρον αὐτὸν καθιστὰς τῆς ἐπὶ τῷ εἰσπραξομένῳ ἐξουσίας, ταύτην ἀναγνοὺς τὴν ἐπιστολὴν περιαλ- 164

AMWELat Zonaras I p. 489.

2 *ἀβαλάρχου* E **δάνεια* MW 3 **δὲ* MW **cyprae* cod. ALat 5 **ἡ δὲ ὑπισχνεῖτο* om. Lat, nec intellegitur quid promiserit *ὑπισχνεῖται* E **ὁ* om. MW 6 *ἐν*] *ἐπὶ* E *δικαιαρχίᾳ* AE *δικαρχίᾳ* MW *γενόμενος* MWE *si (in dicaearcheam) veniret* Lat *γενομένῳ* ed. pr. 7 *ἐπηγγέλλετο*] E *ἐπήγγελτο* A *ἐπαγγέλλεται* MW 8 **ἀπαλάξασα* W 11 **παραλαβὼν* MW 12 *τὸν* om. MWE fort. recte *Καπρέας*] ed. pr. *καπραίας* codd. E 13 **ἀξιῶν*] *ἐξιὼν* MW 14 *καπραίασ* codd. E **παραλαβεῖν* W 15 *τά τε — 16 Καπρέας*] *clementer illi et humane rescripsit inter alia quoque gaudere se significans illum ad se sospitem reppedare* Lat 16 *ἐκτίνει τε χάριν*] *καὶ χαίρειν* E *ἔτι χαίρειν* ed. pr. *ἐκτίνειν* Cocceji *τε*] *δὲ* MW *ἐπὶ τῷ σῶν* om. M **ἐπὶ τῷ*] *ἐπὶ τῶν* AW, i. marg. *γρ ἐπὶ τὸ σῶον* A *σῶον* E *καπραίασ* codd. E 17 **δὲ* MW **γράμμασι*] *πράγμασι* A *γράμμασιν* W 18 **Καίσαρι*] *καίσαρ* MW, om. Lat 19 *αὐτῷ* om. ELat *Ἐρεννίου*] *ἐρανίον* MW *ἐρρενίον* E 20 **λ'* M *ποιησάμενος* MWE 21 *γενομένης*] *γϊνόμενοσ* E 22 *αὐτὸν*] *αὐτῶ* MW *καθιστὰς*] *καθιεὶσ* MW *τῆς*] *τὰσ* MW 23 *τῷ εἰσπραξομένῳ*] Bekker *τῶν εἰσπραξομένων* codd. **περιαλγεῖ τε*] *περιαλγεῖται* M¹W

γεῖ τε ὁ Καῖσαρ καὶ διάκλεισιν γενέσθαι τῷ Ἀγρίππᾳ κελεύει εἰσόδων τῶν πρὸς αὐτὸν ἄχρι δὴ καταβολῆς τοῦ χρέους. ὁ δὲ μηδὲν τῇ ὀργῇ τοῦ Καίσαρος καταλλαγεὶς Ἀντωνίᾳ δεῖται Γερμανικοῦ μητρὸς καὶ Κλαυδίου τοῦ ὕστερον γενομένου Καίσαρος, δάνεισμα αὐτῷ δοθῆναι τῶν τριάκοντα μυριάδων, ὡς φιλίας μὴ ἁμάρτοι τῆς πρὸς Τιβέριον. ἡ δὲ Βερνίκης τε μνήμῃ τῆς μητρὸς αὐτοῦ, σφόδρα γὰρ ἀλλήλαις ἐχρῶντο αἵδε αἱ γυναῖκες, καὶ αὐτῷ ὁμοτροφίας πρὸς τοὺς ἀμφὶ Κλαύδιον γεγενημένης, δίδωσι τὸ ἀργύριον, καὶ αὐτῷ ἀποτίσαντι τὸ χρέος ἀνεπικώλυτος ἦν ἡ φιλία τοῦ Τιβερίου. αἴθις δὲ αὐτῷ Τιβέριος ὁ Καῖσαρ συνίστησιν υἱωνὸν τὸν αὐτοῦ κελεύων τὰ πάντα αὐτῷ ταῖς ἐξόδοις παρατυγχάνειν. Ἀγρίππας δὲ φιλίᾳ δεχθεὶς ὑπὸ τῆς Ἀντωνίας καὶ θεραπείαν τρέπεται τὴν Γαΐου υἱωνοῦ τε ὄντος αὐτῇ καὶ εὐνοίᾳ τοῦ πατρὸς εἰς τὰ πρῶτα τιμωμένου. καὶ γὰρ ἦν ἄλλος Σαμαρεὺς γένος Καίσαρος δὲ ἀπελεύθερος· παρὰ τούτου δάνεισμα μυριάδας ἑκατὸν εὑρόμενος τῇ τε Ἀντωνίᾳ καταβάλλει τὸ ὀφειλόμενον χρέος καὶ τῶν λοιπῶν τῷ ἀναλώματι θεραπεύων τὸν Γάιον μείζονος ἐν ἀξιώματι ἦν παρ' αὐτῷ.

5. Προϊούσης δὲ ἐπὶ μέγα τῷ Ἀγρίππᾳ τῆς πρὸς Γάιον φιλίας αἰωρουμένοις ποτὲ λόγος περὶ τοῦ Τιβερίου γίνεται, καὶ τοῦ Ἀγρίππου κατ' εὐχὰς τραπομένου, μόνω δ' ἦστην, ἦ τάχος Τιβέριον ὑπεκσιάντα τῆς ἀρχῆς Γαΐῳ παραχωρεῖν ἀξιωτέρῳ τὰ πάντα ὄντι. τούτων ἀκροᾶται τῶν λόγων Εὔτυχος, Ἀγρίππου δ' ἦν ἀπελεύθερος ἡνίοχος, καὶ παραχρῆμα μὲν σιγῇ παρεδίδου. κλοπῆς δὲ ἱματίων αὐτῷ τοῦ Ἀγρίππου ἐπικαλουμένης, καὶ ἀκριβῶς δὲ ἐκεκλόφει, φυγὼν καὶ ληφθεὶς ἀγωγῆς αὐτοῦ ἐπὶ Πείσωνα γενομένης.

§ 166 cf. bell. Iud. II 178.

AMWELatZonaras I p. 489.

1 ὁ om. E *κελεύει τῶ ἀγρίππα tr. M 2 καταβολῆς τοῦ χρέους] καταβάλη τὸ χρέος MW γρ καταβάλοι τὸ χρέος i. marg. A καταβαλεῖ τὸ χρέος E *debitum redderetur* Lat 3 Γερμανικοῦ] τῆσ γερμανικοῦ E 4 *μητρὸς] τε μητρὸσ MW 5 τὰσ τριάκοντα μυριάδασ E ὡς] ἵνα MWE 6 βερνίκης MWE 7 *αὶ om. MW 8 γενομένησ E 9 *ἀνεπικωλύτωσ A 10 δὲ] τε E 11 *αὐτοῦ] αὐτοῦ MW 12 *φιλεία W 13 αὐτῆσ E *πατρὸς] *matris* Lat 14 καὶ — γένος] *erat ibi forte quidam genere samareus* Lat γὰρ] δή τισ E ἄλλος] om. E Θάλλος Hudson ex Grutero p. 599 n. 7 (C. I. L. VI, 3. p. 1761) *γένος] τὸ γένοσ M 15 *μυριάδων MW εὑρόμενοσ, ὁ ex corr. A εὑράμενοσ ME 18 *ἐπὶ] εἰσ MW 19 *αἰωρουμένοισ, αὶ i. ras. A ἐωρουμένοισ W *τοῦ om. M 20 *ἀγρίππα MW *ἦ] ἢ AM 23 *ἡνίοχοσ] καὶ ἡνίοχοσ Hudson ex Lat 24 καὶ om. E *ἐκεκλόπει A 25 πίσσωνα M πίσωνα WE

ὃς ἦν φύλαξ τῆς πόλεως, ἐρομένου τὴν αἰτίαν τῆς φυγῆς Καίσαρί φησιν ἀπορρήτους ἔχειν λόγους εἰπεῖν ἐπ' ἀσφαλείᾳ τῆς σωτηρίας αὐτοῦ φέροντας, ὥστε δήσας αὐτὸν ἐστέλλεν εἰς τὰς Καισαρείας, καὶ Τιβέριος τῷ αὐτοῦ τρόπῳ χρώμενος εἶχεν αὐτὸν δέσμιον, μέλλητὲς εἰ καί τις ἕτερος βασιλέων ἢ τυράννων γενόμενος. οὔτε γὰρ πρεσ- 170
βειῶν ἐποδοχὰς ἐκ τοῦ ὄξέος ἐποιεῖτο ἡγεμόσι τε ἢ ἐπιτρόποις ὑπ' αὐτοῦ σταλεῖσιν οὐδεμία ἦν διαδοχή, ὁπότε μὴ φθαῖεν τετελευτηκότες· ὅθεν καὶ δεσμωτῶν ἀκροάσεως ἀπερίοπτος ἦν. ὥστε 171
καὶ τῶν φίλων ἐρομένων τὴν αἰτίαν τοῦ ἐπὶ τοιούτοις ὀλιγῇ χρωμένου, ἔφη τὰς μὲν πρεσβείας τρίβειν, ἕως μὴ ἀπαλλαγῆς αὐτὰς ἐκ τοῦ ὄξέος γενομένης ἕτεροι πρέσβεις ἐπιχειροτονηθέντες ἐλαιοτριεν ὄχλος τε αὐτῷ γίγνοιτο ἐπιδοχαῖς αὐτῶν καὶ πομπαῖς προσκειμένῳ. τὰς δ' ἀρχὰς συγχωρεῖν τοῖς ἄπαξ εἰς αὐτὰς ὑπ' αὐτοῦ 172
καταστᾶσιν αἰδοῦς προμηθείᾳ τῶν ὑποτελῶν· φύσει μὲν γὰρ εἶναι πᾶσαν ἡγεμονίαν οἰκείαν τοῦ πλεονεκτεῖν· τὰς δὲ μὴ πατρίους, ἀλλ' εἰς ὀλίγον καὶ ἄδηλον ὁπότε ἀφαιρεθῆναι καὶ μείζονος ἐξοτρύνειν ἐπὶ κλοπαῖς τοὺς ἔχοντας. εἰ μὲν οὖν ἐφεστήκασιν εἰς 173
πλέον, αὐτοὺς ἄδην τῶν κλοπῶν ἕξειν ὑπὸ τοῦ πολλοῦ τῶν κεκερδημένων ἀμβλυτέρους τὸ λοιπὸν αὐτὰς χρωμένους. διαδοχὴς δ' ἐπιπαραγινομένης ἐκ τοῦ ὄξέος μηδαμῶς ἂν ἀρκέσαι τοὺς ἤδη τοις ἄρχουσι προκειμένους ἀναστροφῆς αὐτοῖς οὐ διδομένης καιρῶν, ἐν οἷς πλήρεις οἱ προειλημότες γενόμενοι ὑποδιδοίεν τε σιτοδῆς τῆς ἐπὶ τῷ λαμβάνειν, διὰ τὸ κρὶν ἐν καιρῷ γενέσθαι μεταστῆναι. παράδειγμά τε αὐτοῖς φησι τοῦτον τὸν λόγον· τραυματίᾳ 174
τινὶ κειμένῳ μυῖαι κατὰ πλῆθος τὰς ὀτειλὰς περιέστασαν. καί τις τῶν παρατυχόντων οἰκτείρας αὐτοῦ τὴν δυσκολίαν καὶ νομίσας ἀδυναμίᾳ μὴ βοηθεῖν οἷός τ' ἦν ἀποσοβεῖν αὐτὰς παρασιᾷ. καὶ 175

AMWELat Zonaras I p. 490.

3 *ἔστελλεν] *ἐπίστελλεν* M *καπραίασ* codd. E 4 *αὐτοῦ* MWE *μελητὴσ M et ut uid. Lat 5 *ἑτέρων MW 6 *ὀξέωσ M *ἡγεμόσιν* WE *ἢ] *καὶ* E 7 *ὑπ'] *παρ'* E 8 *ἀπερίοπτοσ] Ernesti ex Thucyd. I 41 3 *περίοπτοσ* codd. E. 9 *τοῦ] *αὐτὴν τοῦ* MW 10 *τὰσ, σ suppl. M 12 *γένοιτο* MWE *ἐπιδοχαῖσ] Dindorf *ἐπὶ δοχαῖσ* MWE *ἐπὶ διαδοχαῖσ* A *προσκειμένῳ] Ernesti *προκειμένων* codd. *προκειμένῳ* ed. pr. 13 *δὲ M 14 *προμηθία W 15 *οἰκείαν om. MW *τὰσ δὲ — 16 *ἀφαιρεθεῖεν] *cum igitur non se aliquis perennem in officio manere perspexerit* Lat *πατρίουσ] *παγίουσ* E et i. marg. A 18 *αὐτοὺσ] *αὐταῖσ* M 19 *δ'] *τ'* MW *δὲ* E 20 *μηδαμῶσ] *οὐδαμῶσ* MW 21 *προσκειμένουσ* E *αὐτοῖσ οὐ] E *αὐτοὺσ οὐ*, litt. *τοὺσ οὐ* i. ras. angustiore m. 2 A *αὐτοῖσ* M 22 *ὑπενδιδοῖεν coni. *τε] *τῆσ* MW, om. E *τι coni. 23 *τῷ] *τὸ* E 24 *παράδειγμα] codd. Zon *παραδείγματά* cod. Busb. E *τοῦτον τὸν λόγον] *τοιοῦτον ἔλεγε* MW, om. E 25 *περιέστησαν* MW *τ'] *τ* A *τε* MWE

δεσμένου καὶ σασθαι τῶν ἐπὶ τοιοῖσδε. ἐπολαβὼν ἤρετο τὴν αἰτίαν
τοῦ ἀπρομηθοῦς εἰς τὴν διαφυγὴν κακοῦ τοῦ ἐφεστηκότος. μειζό-
νως γὰρ ἂν ἀδικοῖς με, εἶπε, ταύτας ἀπαγαγών. ταῖς μέν γε ἤδη
πληρωθείσαις τοῦ ἄματος οὐκέθ' ὁμοίως ἕπειξις ὄχλον μοι παρα-
σχεῖν, ἀλλά πῃ καὶ ἀνίσχουσιν. αἱ δ' ἀκραιφνεῖ τῷ κατ' αὐτὰς 5
λιμῷ συνελθοῦσαι καὶ τετριμένον ἤδη παραλαμβάνουσαι κἂν ὀλε-
176 *θρῳ παραδοῖεν". διὰ τάδε οὖν καὶτὸς ὑπὸ πολλῶν τῶν κλοπῶν*
διεφθαρμένους τοῖς ἐπιτελέσιν προμηθὲς εἶναι μὴ συνεχῆς ἐξαπο-
στέλλειν τοὺς ἐγχωμένους. οἱ ἐν τρόπῳ μιῶν ἐκπολεμοῖεν αὐτοῖς.
φύσει πρὸς κέρδος ὁρωρεγμένοις σύμμαχον παραλαμβάνοντες τὴν 10
177 *ἐλπίδα τοῦ ταχέως ἁρπάσεσθαι τὴν ἐνθένδε ἡδονήν. μαρτι-*
ρήσει δέ μου τῷ λόγῳ περὶ τῆς ἐπὶ τοιούτοις φύσεως Τιβερίου
τὸ ἔργον αὐτό· ἔτη γὰρ δύο πρὸς τοῖς εἴκοσιν αὐτοκράτωρ γενό-
μενος δύο τούτους τοὺς ἱππέας Ἰουδαίους ἐξέπεμψεν διοικήσοντας τὸ ἔθνος,
178 *Γρᾶτόν τε καὶ Πιλᾶτον, ὃς αὐτῷ διεδέξατο τὴν ἡγεμονίαν. καὶ* 15
οὐκ ἐπὶ μὲν Ἰουδαίων τοιοῦτος ἦν, ἑτεροῖος δὲ ἐπὶ τῶν λοιπῶν
ὑπηκόων. ἀλλὰ καὶ τῶν δεσμίων τὴν ὑπερβολὴν τῆς ἀκροάσεως
ἀπεσήμαινεν ὑπὸ τοῦ δικαιωθεῖσι μὲν θανάτῳ κολάζεσθαι
τῶν ἐνεστηκότων κακῶν, διὰ τὸ μὴ ἐπ' ἀρετῇ τῶν ἐπὶ τοιούτοις
τύχῃ συνελθεῖν, τριβομένοις δὲ ἀχθηδόνι τῇ ἐπικειμένῃ μείζονα 20
προσρέπειν τὴν δυστυχίαν.

179 6. *Διὰ μὲν δὴ τάδε καὶ Εὔτυχος ἀκροάσεώς τε οὐκ ἐτύγχανε*
καὶ δεσμοῖς ἐνείχετο. χρόνου δὲ ἐγγενομένου Τιβεριός τε ἐκ τῶν
Καπρεῶν εἰς Τουσκουλανὸν παραγίνεται ὅσον ἀπὸ σταδίων ἑκατὸν

AMWELat Zonaras I p. 490.

1 *δεόμενος M *τοιοῖσδοι M *εἴρετο W 3 *ἄν om. M *ἀδικῶης MW ἀδικοίης E εἶπεν W γε] γὰρ E, fort. recte 4 *οὐκέθ'] οὐκ ἔσθ' W *ἔπειξις, σ ex ν corr. A ἐπίδειξις M 5 *ἀκραιφνεῖσι MWE 6 τετρυμένον] ed. pr. τετρυμέναι A τετρυμέναι MW *κἂν] coni. καὶ codd. E 7 *παραδιδοῖεν M ἂν παραδοῖεν Dindorf *διὰ τάδε, ά i. ras., i. marg. γρ διαταῦτα A καὶ αὐτὸς E καὐτῷ coni. 8 προμηθὲς A προμηθὴς E συνεχῶσ M συνεχεῖσ E 9 ἐκπολεμῶεν codd. E, corr. Dindorf *αὐτοῖσ A 10 *ὁρωρεγμένονσ M *παραλαμβάνοντασ M 11 *ἁφαιρησομένον W *ἐνθέν M ἔνθεν W 12 *μον] μοι W περὶ om. E 14 *τοὺσ, ου ex α corr. A 15 *γράτον A 16 *ἑτεροῖος] ἕτεροσ MW 17 *τὴν — ἀκροάσεως] examinationes se differre Lat, aut hic aut insequentibus aliquid deesse uid. ἀνεβολὴν E 18 *ἀπεσήμανεν A ὑπό τον MW ὑπὲρ τοῦ E θανάτῳ] E θανάτου codd. 22 *τάδε] ταῦτα MW καὶ ὁ εὔτυχοσ E 23 δεσμοῖς ἐνείχετο] E retinebatur in uinculis Lat τὰ δεσμὰ ἠνείχετο codd. 24 καπραιῶν AW καπραίων ME *Τουσκουλανὸν] τουσκούλανον A τοὺσ καλάνον W κάλανον M

τῆς Ῥώμης, καὶ ὁ Ἀγρίππας ἀξιοῖ τὴν Ἀντωνίαν διαπράξασθαι γενέσθαι τῷ Εὐτύχῃ τὴν ἄκρασιν ἐφ' οἱστισι τὴν κατηγορίαν ποιοῖτο αὐτοῦ. τιμία δὲ ἦν Ἀντωνία Τιβερίῳ εἰς τὰ πάντα συγγε- 180
νείας τε ἀξιώματι, Δρούσου γὰρ ἦν ἀδελφοῦ αὐτοῦ γυνή, καὶ ἀρετῇ τοῦ σώφρονος· νέα γὰρ χηρεύειν παρέμεινεν γάμῳ τε ἀπείπατο τῷ πρὸς ἕτερον καίπερ τοῦ Σεβαστοῦ κελεύοντός τινι γαμεῖσθαι, καὶ λοιδορηθεὶς ἀπηλλαγμένον διεσώσατο αὐτῆς τὸν βίον. ἰδίᾳ τε εὐερ- 181
γέτις ἦν εἰς τὰ μέγιστα τοῦ Τιβερίου· ἐπιβουλῆς γὰρ μεγάλης συστάσης ἐπ' αὐτὸν ὑπὸ Σηιάνου φίλου τε ἀνδρὸς καὶ δυναμιν ἐν τῷ τότε μεγίστην ἔχοντος διὰ τὸ τῶν στρατευμάτων εἶναι ἡγεμονίαν αὐτῷ, καὶ τῆς τε βουλῆς οἱ πολλοὶ καὶ τῶν ἀπελευθέρων προσέθεντο καὶ τὸ στρατιωτικὸν διέφθαρτο, προύκοπτέν τε ἡ ἐπιβουλὴ ἐπὶ μέγα κἂν ἐπέπρακτο Σηιάνῳ τὸ ἔργον μὴ τῆς Ἀντωνίας τόλμῃ χρησαμένης σοφωτέρᾳ τῆς Σηιάνου κακοτεχνίας. ἐπεὶ γὰρ μαν- 182
θάνει τὰ ἐπὶ τῷ Τιβερίῳ συντεθειμένα, γράφει πρὸς αὐτὸν τὰ πάντα ἀκριβῶς καὶ Πάλλαντι ἐπιδοῦσα τὰ γράμματα τῷ πιστοτάτῳ τῶν δούλων αὐτῆς ἐκπέμπει πρὸς Τιβέριον εἰς τὰς Καπρέας. ὁ δὲ μαθὼν τόν τε Σηιᾶνον κτείνει καὶ τοὺς συνεπιβούλους, τήν τε Ἀντωνίαν καὶ πρὶν ἀξιολόγως ἄγων τιμιωτέραν τε ἐπελάμβανεν κἀπὶ τοῖς πᾶσι πιθανήν. ὑπὸ δὴ ταύτης τῆς Ἀντωνίας ὁ Τιβέ- 183
ριος παρακαλούμενος ἐξετάσαι τὸν Εὔτυχον, „ἀλλ' εἰ μὲν καταψεύσεται, φησὶν ὁ Τιβέριος, [ἔτι δὲ] Ἀγρίππου τὰ εἰρημένα Εὔτυχος. ἀρκοῦσαν κομίζεται παρ' αὐτοῦ τιμωρίαν, ἣν ἐπινεύσαντα αὐτός· εἰ δὲ βασανιζομένου ἀληθῆ φανείη τὰ εἰρημένα, μήτου κολάζειν ποθῶν τὸν ἀπελεύθερον ἐπ' αὐτὸν μᾶλλον καλοίη τὴν δίκην". καὶ 184
ὁ Ἀγρίππας ταῦτα φαμένης πρὸς αὐτὸν Ἀντωνίας πολλῷ μᾶλλον ἐλέκειτο ἀξιῶν ἐξέτασιν γενέσθαι τοῦ πράγματος, καὶ ἡ Ἀντωνία. οὐ γὰρ ἀνίει πολὺς ὢν ὁ Ἀγρίππας ἐπὶ τοῖσδε δεῖσθαι, καιρὸν

AMWELat Zonaras I p. 490.

2 *γενέσθαι*] *του γενέσθαι, του* suppl. m. 1 A *τὸ γενέσθαι* E 3 *δ'* MW Ἀντωνία] E *αὐτῷ ἀντωνία* codd. **τιβερίῳ* om. i. marg. suppl. M 4 **αὐτοῦ*] *τοῦ αὐτοῦ* MW 6 **κελεύσαντοσ* MW *τινὶ* codd. E 8 *μεγίστης* E **συστάσης* om. M 9 *σηϊανοῦ* E 10 *εἶναι τὴν ἡγεμονίαν* E 13 *σηϊανῷ* E et ex corr. A 14 *σηϊανοῦ* AWE 15 *συντεθειμένα*] *συγκείμενα* MW *συντιθέμενα* E, cf. § 218 17 *καπραίασ* codd. 18 *σηϊάνον* A[1] *σηϊανὸν* MWE et ex corr. A **κηίνει* W 19 **τε* om. M 21 **ἀλλ'* — 22 *εἰρημένα*] *siquidem, inquit tiberius, mendacium est aduersus agrippam quod dicitur* Lat 22 *ὁ τιβέριος*] *ὅπερ* E, mihi insiticium uid. *ἔτι δὲ*] *ὅτι* MW et i. marg. A, om. ELat, recte ut uid. **Εὔτυχος* cum sequentibus coniungit Lat 24 **φανήει* W 25 *ἐφ' ἑαυτὸν* E 27 **ἐπέκειτο*] *instabat* Lat *ἐνέκειτο* coni. 28 *ἀνήει* MW

185 παραλαβοῦσα τοιοῦτον· ἀϊωρεῖτο μὲν Τιβέριος ἐπὶ φορείου κείμε-
νος, προϊόντων Γαΐου τε τοῦ ἐκείνης υἱωνοῦ καὶ Ἀγρίππα, ἀπ᾽
ἀρίστου δ᾽ ἦσαν, παραπεριπατοῦσα τῷ φορείῳ παρεκάλει καλεῖ-
186 σθαί τε τὸν Εὔτυχον καὶ ἐξετάζεσθαι. ὁ δὲ „ἀλλ᾽ ἔστων μὲν
Ἀντωνία, εἶπεν, οἱ Θεοί, ὅτι μὴ τῇ ἐμαυτοῦ γνώμῃ ἀνάγκη δὲ τῆς 5
σῆς παρακλήσεως ἐξαρόμενος πράξω τὰ πραξόμενα.“ ταῦτα εἰπὼν
κελεύει Μάκρωνα, ὃς Σηιανοῦ διάδοχος ἦν, τὸν Εὔτυχον ἀγαγεῖν.
καὶ ὁ μὲν οὐδὲν εἰς ἀναβολὰς παρῆν. Τιβέριος δ᾽ αὐτὸν ἤρετο,
187 τί καὶ ἔχοι λέγειν κατ᾽ ἀνδρὸς ἐλευθερίαν αὐτῷ παρεσχηκότος. ὁ
δέ φησιν· „ὦ δέσποτα, ἀϊωρεῖτο μὲν ἐφ᾽ ἁμάξῃς Γαΐός τε οὗτος 10
καὶ Ἀγρίππας σὺν αὐτῷ καὶ σφῶν ἑξόμην παρὰ τοῖν τροδοῖν, λόγων
δὲ πολλῶν ἀνακυκλουμένων Ἀγρίππας φησὶ πρὸς Γαΐον· εἰ γὰρ
ἀφίκοιτό ποτε ἡμέρα, ἣ μετασὰς ὁ γέρων οὗτος χειροτονοίη σε
ἡγεμόνα τῆς οἰκουμένης· οὐδὲν γὰρ ἡμῖν Τιβέριος ὁ υἱωνὸς αὐτοῦ
γένοιτ᾽ ἂν ἐμποδὼν ὑπὸ σοῦ τελευτῶν, καὶ ἥ τε οἰκουμένη γένοιτ᾽ 15
188 ἂν μακαρία χἀγὼ πρὸ αὐτῆς.“ Τιβέριος δὲ πιστὰ ἡγησάμενος
τὰ εἰρημένα καὶ ἅμα μῆνιν ἀναφέρων τῷ Ἀγρίππᾳ παλαιάν, διότι
κελεύσαντος αὐτοῦ θεραπεύειν Τιβέριον υἱωνόν τε αὐτοῦ γεγονότα
καὶ Δρούσου παῖδα ὄντα, ὁ Ἀγρίππας ἀτίμως ἦγεν παρακρουσά-
189 μενος τὰς ἐπιστολὰς καὶ πᾶς ὡς τὸν Γαΐον μετεκάθιζεν, „τοῦτον 20
μὲν δή, φησί, Μάκρων, δῆσον.“ Μάκρων δὲ τὰ μὲν οὐ σαφῶς
ὄντινα προστάξειεν ἐξεπιστάμενος, τὰ δὲ οὐκ ἂν προσδοκῶν περὶ
τῷ Ἀγρίππᾳ αὐτὸν κελεῦσαί τι τοιοῦτον, ἐκανεῖχεν ἀκριβωσόμενος

§ 187 cf. bell. Iud. II 179.

AMWELatZonaras I p. 491.

1 *ἀϊωρεῖτο — κείμενος om. Lat *ἀϊωρεῖτο, αἰ i. ras. A ἐωρεῖτο MW ᾐωρεῖτο Hudson 2 *τε om. MW *υἱωνοῦ] *filio* Lat 3 δὲ MWE ἡ δὲ post ἦσαν add. E 4 ἔστων μὲν] ἔστωσαν E 5 εἶπεν ἀντωνία tr. MWE et ut uid. Lat *μὴ] καὶ μὴ MW τῇ ἐμαυτοῦ γνώμῃ] γνώμῃ τῇ ἐμαυτοῦ MW ἐμαυτοῦ γνώμῃ E *τῇι ἐμαυτοῦ γνώμῃ ἀνάγκη, litt. τοῦ — ἀνάγκη i. ras. angustiore m. 2 A 6 *πράσσω M πραξόμενα] προσταττόμενα M πρασσόμενα W πραχθησόμενα E πεπραξόμενα Dindorf 8 *ἔφατο W 9 ἔχει E 10 *ἀϊωρεῖτο, αἰ i. ras. A ἐωρεῖτο MW ᾐωρεῖτο Hudson *ἐπ᾽ ἁμάξῃσ W 11 καὶ σφῶν codd. E 12 δὲ] τε MWE 14 *υἱωνὸς] *filius* Lat 16 *πρὸ αὐτῆς] *cum eo* Lat 18 *τε om. MW 19 ὁ om. E ἀτίμως] οὐ τιμίως MWE παρακρουσάμενος MWE *contemperat* Lat 20 ἐπιστολὰς] ἐντολὰς MWE 21 *φησὶν W μάκρωνι MWELat τὰ] τὸν AW τὰ, ὰ ex ὸ corr. M τὸ E 22 *ὅντινα] ὄντα ἂν MW *προστάξειεν M ἐπιστάμενος E 23 τὰ] τὸ WE 23 τῷ] τοῦ ex τῶ corr. A τοῦ E αὐτὸν om. E κελεῦσαι] Naber *βουλεῦσαι* codd. προστάξαι E *cogitare* Lat *ἀκριβωσάμενος M

τὰ εἰρημένα. ἐπεὶ δ' ὁ Καῖσαρ περιοδεύσας τὸν ἱπποδρόμον λαμ- 190
βάνει τὸν Ἀγρίππαν ἑστηκότα, „καὶ μήν δή, φησίν, Μάκρων, τοῦτον
εἶπον δεῆσαι". τοῦ δὲ ἐπανερομένου ὅντινα, „Ἀγρίππαν γε" εἶπεν.
καὶ ὁ Ἀγρίππας τρέπεται μὲν κατὰ δεήσεις, τοῦ τε παιδὸς ᾧ συνε- 191
τέθραπτο μνημονεύων καὶ τοῦ Τιβερίου τῆς ἐκτροφῆς, οὐ μὴν ἤνεγ-
κέ γέ τι, ἀλλ' ἦγον αὐτὸν ἐν πορφυρίσι δέσμιον. καὶ καῦμά τε γὰρ 192
σφοδρὸν ἦν καὶ ὑπὸ οἴνου τοῦ ἐπὶ σιτίοις μὴ πολλοῦ γεγονότος
δίψος ἐξέκαιεν αὐτόν, καί τι καὶ ἡγωνία καὶ τὸ παρ' ἀξίαν προσ-
ελάμβανεν, θεασάμενός τινα τῶν Γαΐου παίδων Θαυμαστὸν ὄνομα
ὕδωρ ἐν ἀγγείῳ κομίζοντα ἤτησε πιεῖν. καὶ ὀρέξαντος προθύ- 193
μως πιών, „ἀλλ' εἶπερ ἐπ' ἀγαθοῖς, φησίν, ὦ παῖ, τὰ τῇδέ
σου τῆς διακονίας γέγονεν, διαφυγῆς μοι γενομένης τῶνδε τῶν
δεσμῶν οὐκ ἂν βραδύνοιμι ἐλευθερίαν εἰσπρασσόμενός σοι παρὰ
Γαΐου, ὃς καὶ δεσμώτῃ μοι γενομένῳ διακονεῖσθαι καθάπερ ἐν τῷ
πρότερον καθεστηκότι σχήματι τῆς περὶ ἐμὲ ἀξιώσεως οὐκ ἐνέλι-
πες." καὶ οὐκ ἐψεύσατο [ταῦτα εἰπών, ἀλλὰ δὴ ἐμείνατο]· ἐν ὑστέρῳ 194
γὰρ βασιλεύσας τὸν Θαυμαστὸν μείζονος ἐλευθερόν τε ἀφῆκε παρὰ
Γαΐου Καίσαρος γεγονότος λαβὼν καὶ τῆς οὐσίας ἐλίπρυνον καθί-
στησι. τελευτῶν τε τῷ υἱεῖ Ἀγρίππᾳ καὶ Βερενίκῃ τῇ θυγατρὶ ἐπι
τοῖς ὁμοίοις διακονησόμενον κατέλιπεν, ἐν τιμῇ τε ὢν ταύτῃ γηραιὸς
τελευτᾷ. καὶ ταῦτα μὲν ὕστερον.

7. Ἀγρίππας δὲ τότε δεθεὶς εἱστήκει πρὸ τοῦ βασιλείου πρός 195
τινι δένδρῳ κλιθείς ὑπὸ ἀθυμίας μετὰ πολλῶν οἳ ἐδέδεντο. καὶ
τινος ὄρνεου καθίσαντος ἐπὶ τοῦ δένδρου, ᾧ Ἀγρίππας προσεκέ-
κλιτο, βοιβῶνα δὲ οἱ Ῥωμαῖοι τὸν ὄρνιν τοῦτον καλοῦσιν, τῶν δεσ-
μωτῶν τις Γερμανὸς θεασάμενος ἤρετο τὸν στρατιώτην, ὅστις εἴη
ὁ ἐν τῇ πορφυρίδι. καὶ μαθὼν μὲν Ἀγρίππαν ὄνομα αὐτῷ, Ἰου- 196

AMWELatZonaras I p. 491.

1 *δ' ὁ] δὲ MW *λαμβάνει M 2 μὴν] E μὲν codd. 3 *ὅντινα] ὁντιναοῦν M ὅντινα. οὖν W γε om. E 4 ὁ om. E 6 *πορφυρίδι M *ostro* Lat 7 *nam aestatis tempus extabat* post *ἦν add. Lat *ἐπὶ σιτίοις] ἐπισίτου M ἐπὶ σιτίον W *μὴ om. Lat 8 *καί τι — 9 τινα] *unde quoque anxius factus praeter decus atque dignitatem coepit cuncta respicere, und posset siti reperire remedium conspiciensque quendam* Lat ἀγωνία E, fort. recte *παρ'] πρὸσ MW προσελάμβανε E ἐλάμβανε · A κατελάμβανε (-εν W) MW 9 τινα] οὗν τινα E 16 ταῦτα — ἠμείνατο] ALat, om. MWE haud male 17 *μείζονως* om. E *ἀφῆκεν W 18 *γεγονότος] E γεγονότα codd. *καθίστησιν W 19 υἱῷ E βερνίκῃ MWE 21 ὕστερον] ὕστερον ἐγένετο MW *postea facta sunt* Lat 23 ἐδέδεντο, ν casu ut uid. deletum A ἐδέδοντο E 25 οἱ om. E 22 *Γερμανὸς] *germanus nomine* Lat

δαῖον δὲ τὸ γένος καὶ τῶν ἐκείνῃ ἀξιολογωτάτων, ἠξίωσεν τὸν συνδεδεμένον αὐτῷ στρατιώτην πλησίον ἐλθεῖν διὰ λόγων· βούλεσθαι
197 γάρ τινα ἀμφὶ τῶν πατρίων ἔρεσθαι αὐτόν. καὶ τυχών, ἐπεὶ πλησίον ἔσταται, δι' ἑρμηνέως „ὦ νεανία, φησίν, καταχθεῖ μέν σε τὸ αἰφνίδιον τῆς μεταβολῆς πολλήν τε οὖσαν καὶ ἀῳθρόαν ἐπαγαγὸν τὴν τύχην, ἀπιστία δέ σοι λόγων, οἳ ἐπὶ διαφυγῇ κακοῦ τοῦ ἐφε-
198 στηκότος διαιροῦντο τοῦ θείου τὴν πρόνοιαν. ἴσθι γε μήν, θεοὺς τοὺς ἐμοὶ πατρῴους καὶ τοὺς τοῖσδε ἐγχωρίους, οἳ τόνδε ἐπρυτάνευσαν ἡμῖν τὸν σίδηρον, ἐτομίμενος λέξω τὰ πάντα οὔτε ἡδονῇ γλωσσάργῳ διδοὺς τὸν ἐπ' αὐτοῖς λόγον οὔτε διακενῆς εὐθυμεῖν
199 σε ἐσιτουδακώς. αἱ γὰρ ἐπὶ τοιοῖσδε προαγορεύσεις ὑστερικότος τοῦ ἀποδείξοντος ἔργου καλεπωτέραν προστίθενται τὴν ἀχθηδόνα τοῦ μηδ' εἰ τὴν ἀρχὴν ἀκροάσαιτο αὐτῶν. ἀλλὰ καὶ τὸ ἐμὸν κιν-
200 δύνοις παραβαλλόμενος δίκαιον ἐγνώσμην σοι διασαφῆσαι τὴν προαγόρευσιν τῶν θεῶν. οὐκ ἔσθ' ὅπως οὐκ εὐθέως ἀπαλλαγή τέ σοι τῶνδε τῶν δεσμῶν παρέσται καὶ πρόοδος ἐπὶ μήκιστον ἀξιώματός τε καὶ δυνάμεως, ζηλωτός τε ἂν γένοιο πᾶσιν, οἳ νῦν δι' οἴκτου τὰς τύχας σου λαμβάνουσιν, εὐδαίμονά τε ἂν ποιοῖο τὴν τελευτὴν παισίν, οἷς ἔσῃ τὸν βίον καταλειπόμενος. μνημονεύειν
201 δέ, ὁπότε εἰσαῦθις τὸν ὄρνιν θεάσαιο τοῦτον, πέντε ἡμέραις σοι τὴν τελευτὴν ἐσομένην. ταῦτα μεμαρήξεται μὲν ἥπερ ἀποσημαίνει

AMWELatZonaras I p. 492.

1 *καὶ* om. Lat **συνδεδεμένον*] *δεδεμένον* W 2 **πλησίον — λόγων*] *ut ad eum copiam acciperet accedendi* Lat *διὰ λόγων* om. E 3 **ἀμφὶ*] *περὶ* A 4 **καταχθεῖ* ex *κατάχθει* corr., i. marg. *καταβαρύνει* man. 1 A 5 **ἐπαγαγὸν* W 6 *λόγων*] *τῶν λόγων* MWE **οἳ — 7 πρόνοιαν*] *quae tibi ex numine diuino fugam totius mali portendunt* (*protendunt* cod. A) Lat *διαφυγῇ*] *ἀποφυγῇ* ME *φυγῇ* W 7 *διηροῦντο* MWE 8 *ἐμοὶ*] *ἐμοὺς* MWE **πατρίους* coni. **τοὺς — ἐγχωρίους*] *huius loci* Lat *τοῖσδε*] *τῇδε* MWE *τῶνδε* W 9 **οὔτε — 10 λόγον*] *neque cupidine fallendi* Lat *γλωσσάργῳ*] *γλωσσαρίῳ* A *γλωσσάλγῳ* ME et i. marg. A 11 post **ἐσπουδακώς* deletum *αἱ γὰρ ἐπὶ τοιοῖσδε προαγορεύσεισ* ‖ M litterae *τος τοῦ ἀπο* i. ras. uid. A 12 *ἀποδείξαντοσ* M *ἔργω* MW 13 *μηδ' εἰ*] *μηδ' εἰσ* A *εἰ μηδὲ* cod. Voss. teste Hauerkamp *ἀρχὴν*] *ἀκοὴν* MW 14 *παραβαλλόμενον* MW *ἠγησάμεν σοι, σ* ex *ο* corr. A *σοι* om. M 15 **οὐκ* ex *οὐ* corr. A 16 **πρόοδος*] *πρόοδόσ τε* MW 18 *εὐδαίμονά*] *εὔδαιμόν* M *εὐδαίμων* WE *τ'* E **εὐδαίμονά — 19 καταλειπόμενος*] *exitus etiam uitae in beatitudine te repperiet constitutum, diuitiasque plurimas omniaque, quae prima mortales ducunt, tuis filiis, qui tibi nati fuerint, derelinques* Lat 19 **τελευτὴν*] *τελευτὴν ἐσομένην* A *οἷς ἔσῃ*] *οἳ εἶεν* E *βίον*] *ὄλβον* MWE **καταλιπόμενοσ* A *μνημόνευε* E 20 **δὲ*] *τὲ* M 21 *πράξεται* E *ἥπερ*] E et i. marg. A *εἴπερ* AMW et ut uid. Lat *ἀποσημαίνει*] *ἀποσημαίνοι* M *ἀποσημαίνει σοι* E

τοῦ θεοῦ τὸ ἐξαπυσιεῖλαν τουτονὶ τὸν ὄρνιν. προγνώσει τε αὐτῶν σίτιστι τὴν παραγενομένην ἀπουσιρτὶν οἱ ἄδικον ἡγησόμενν, ὅτιος ἐπισιάμενος ἀγαθοῦ μέλλοντος ἐυσιτελεῖν ἐν ὀλίγῳ τὴν ἀχθηδόνα τοῦ παρόντος τιθοῖο. μνήμην δὲ ποιεῖσθαι εἰς χεῖράς σου παρα-
5 γενομένου τοῦ εἰδείμονος καὶ τοῦ καθ' ἡμᾶς διαφυξομένου δυσιτιχιαν, ἢ ταυῖν σίτισμεν." καὶ ὁ μὲν Γερμανὸς τοσάδε προειπὼν 202
εἰς τοσόνδε ὤφλεν τῷ Ἀγρίππᾳ γέλωτα, ὑφ' ὅσον ἐν τοῖς ὕστερον καιρόνι τεθαυμάσθαι ἄξιος. ἡ δὲ Ἀντωνία χαλεπῶς φέρουσα τοῦ Ἀγρίππου τὴν δυσιτιχίαν τὸ μὲν Τιβέριν περὶ αὐτοῦ διαλε-
10 γεσθαι ἐργωδέστερον ἐώρα καὶ ἄλλως ἐπ' ἀπράκτοις γενησόμενον, εἰρίσκετο δ' αὐτῷ παρὰ τοῦ Μάκρωνος στρατιωτῶν τε μερῶν 203
ἀνδρῶν οἱ παραφυλάξειαν αὐτὸν ἐν φροντίσιν καὶ ἑκατονταρχοι τοῦ ἐφεστηξομένου τε ἐκείνοις καὶ συνδέτου ἐσομένου, λουτρά τε καθ' ἡμέραν συγκεχωρῆσθαι καὶ ἀπελευθέρων καὶ φίλων εἰσόδοις
15 τήν τε ἄλλην ῥαστώνην, ἣ τῷ σώματι γένοιτ' ἄν. εἰσῆγεσάν τε ὡς 204
αὐτὸν φίλος τε Σίλας καὶ τῶν ἀπελευθέρων Μαρσίας καὶ Στοιχεὶς τροφὰς εἰσκομίζοντες αἷς ἔχαιρεν καὶ δι' ἐπιμελείας πάσης ἔχοντες, ἰμάτιά τε κομίζοντες ἐπὶ προσποιήσει πράσεως ὁπότε νὺξ γένοιτο ἐπεστρώννυσαν αὐτῷ συμπράξει τῶν στρατιωτῶν Μάκρωνος
20 προειρηκότος· καὶ ταῦτα ἐπράσσετο ἐπὶ μῆνας ἕξ. καὶ τὰ μὲν κατὰ Ἀγρίππαν ἐν τούτοις ἦν.

8. Τιβέριος δ' ἐπανελθὼν εἰς τὰς Καπρέας ἐμαλακίζετο τὰ 205
μὲν πρῶτα μετρίως, ἐπιδούσης δ' εἰς τὸ μᾶλλον τῆς νόσου πονηρὰς ἔχων περὶ αὐτῷ τὰς ἐλπίδας Εὔοδον, ὃς ἦν αὐτῷ τιμιώτατος τῶν
25 ἀπελευθέρων, κελεύει τὰ τέκνα προσαγαγεῖν πρὸς αὐτόν· χρῄζειν γὰρ ἀφικέσθαι σφίσι διὰ λόγων πρὶν ἢ τελευτᾶν. ἦσαν δ' αὐτῷ 206
παῖδες γνήσιοι μὲν οὐκέτι· Δροῦσος γὰρ δὴ ὁ μόνος αὐτῷ γεγονὼς

AMWELat Zonaras I p. 492.

1 *τοῦ] σοῦ W ante τε ras. 1—2 litt. A τε] δὲ E *αὐτῶν] αὐτοῦ M 2 *σύνεσιν, ιν i. ras. A σε] σ' E 3 τὸ λυσιτελοῦν Ernesti 4 τίθοιο codd., i. marg. γρ τίθειο A σου] σοι E 5 τὴν δυστυχίαν E 7 γέλωτα τῷ ἀγρίππα tr. MWE 8 τεθαυμάσθαι] τε θαύματος M θαύματος WE 9 *τοῦ Ἀγρίππου om. MW ἀγρίππα E τὸ] τῷ E 10 *ἐργοδέστερον W 12 *παραφυλάξει-αν A *ἐν φροντίσιν] sine districtione Lat ἐκφρόντισιν uel simile coni. 13 τοῦ om. MWE ἐσομένους cod. Busb. E 14 συγχωρεῖσθαι MWE 15 εἰσίεσαν E 16 *σύλας M στυχεὺς MW ὁ στοιχεὺς E stocheus Lat 19 ὑπεστρώννυσαν M et ex corr. A 21 κατὰ τὸν ἀγρίππαν M 22 καπραίας codd. E 24 *περὶ] ἐπ' MW τὰς om. E 25 *προσαγαγέσθαι A χρῄζει E 26 σφίσι] E φησὶ codd. *τελευτᾶ MW δὲ WE 27 *αὐτῷ ex αὐτῶν corr. A

ἐτύγχανεν τεθνεώς· υἱὸς δὲ τούτου κατελέλειπτο Τιβέριος ἐπικαλούμενος Γέμελλος, Γαΐου τε Γερμανικοῦ παῖς, ἀδελφοῦ υἱὸς γεγονώς, νεανίας τε ἤδη καὶ παιδείαν ἐκπεπονηκὼς ἐπὶ πλεῖστον εὐνοίᾳ τε
207 τοῦ δήμου τιμώμενος διὰ τὴν Γερμανικοῦ τοῦ πατρὸς ἀρετήν· ἐπὶ μέγιστον γὰρ δὴ οὗτος προῆλθεν παρὰ τοῖς πλήθεσι τιμῆς εὐσταθείᾳ τρόπου καὶ δεξιότητι τοῦ ὁμιλεῖν ἀνεπαχθὴς ὢν καὶ τὴν ἀξίω-
208 σιν κτώμενος τῷ βούλεσθαι ἴσος πᾶσιν εἶναι. ἐξ ὧν οὐ μόνον ὁ δῆμος καὶ ἡ βουλὴ μειζόνως ἦγον αὐτόν, ἀλλὰ καὶ τῶν ὑποτελῶν ἕκαστον ἐθνῶν, οἱ μὲν ὡμιληκότες ἁλισκόμενοι τῇ χάριτι τῆς ἐντεύξεως, οἱ δὲ πίστει τῆς ἐκείνων ἀφηγήσεως παραλαμβάνοντες.
209 πένθος τε αὐτοῦ τελευτήσαντος προυτέθη, πᾶσιν οὐ θεραπείᾳ τῆς ἀρχῆς ἐπιψευδομένοις τὴν συμφοράν, λύπῃ δὲ ἀληθεῖ οἰκειουμένοις διὰ τὸ ἴδιον τυχεῖν ἑκάστοις τὴν μετάστασιν αὐτοῦ ἐπειληφθαι·
210 οὕτως ἀνεπαχθῶς ὡμίλησε τοῖς ἀνθρώποις. ἐξ ὧν μέγα ὄφελος καὶ τῷ παιδὶ αὐτοῦ παρὰ πᾶσιν κατελέλειπτο τοῖς τε ἄλλοις καὶ μάλιστα τὸ στρατιωτικὸν ἦρτο, ἀρετὴν ἀριθμοῦντες τὸ περὶ τῆς ἀρχῆς ἐκείνῳ περιγενησομένης, εἰ δείσει, καὶ τελευτᾶν.
211 9. Ὁ δὲ Τιβέριος Εὔοδῳ πρόσταγμα ποιησάμενος κατὰ τὴν ἑστεραίαν ὑπὸ τὴν ἕω εἰσαγαγεῖν τοὺς παῖδας εἴχετο τοῖς πατρίοις θεοῖς σημεῖόν τι πρόφαντον αὐτῷ δεῖξαι περὶ τοῦ τὴν ἡγεμονίαν
212 διαδεξομένου, στεύδων μὲν τῷ τέκνῳ τοῦ παιδὸς αὐτὴν καταλιπεῖν, μείζων δὲ δόξης τε καὶ βουλήσεως τῆς αὐτοῦ πεπιστευκὼς τοῦ θεοῦ τὸ ἐπ' αὐτοῖς ἀποφαινόμενον. οἰώνισμα δ' οὖν αὐτῷ προύκειτο, εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν, ὅς ἂν κατὰ τὴν ἐλπισθεῖσαν ἀφίκοιτο πρότερος πρὸς αὐτόν. ταῦτα διανοηθεὶς λέμπει παρὰ τοῦ ἱππικοῦ
213 τὸν παιδαγωγὸν κελεύων ὑπὸ πρώτην ὥραν ἄγειν τὸν παῖδα ὡς αὐτόν, καταμελήσεσθαι στρατηγίας τὸν θεὸν ὑπολαμβάνων· ὁ δ' ἀντεψήφιζεν αὐτοῦ τὴν χειροτονίαν. ὁ μὲν δὴ ταῦτ' ἐνθυμησάμενος, ἐπεὶ τάχιστα ἡμέρα ἦν, κελεύει τὸν Εὔοδον εἰσκαλεῖν τῶν παί-

---

AMWELat Zonaras 1 p. 492.

1 *κατελείπετο, εἰ ex ι corr. A 2 γέμελος E 5 προῆλθεν] ἦλθε (-εν W) WE 8 *ἀλλὰ] ἀλ W 9 ὁμιληκότες W 10 πίστει, ν i. ras. A πίστει MW fide Lat 13 διὰ] i. marg. γρ διὰ τύχην ἰδίαν (i. ras.) A 14 ὁμίλησε WE 15 καταλέλειπτο M, fort. recte 16 ἀρετὴν] gloriam Lat αἰρετὸν ed. pr. τὸ] ed. pr. τὸν A τοῦ MW 20 προφάντων, i. marg. γρ πρόσφατον A προφαντὸν MWE *δεῖξαι] προδεῖξαι A 21 *διαδεξαμένου MW μὲν] ed. pr. δὲ codd. E quidem Lat 22 δὲ om. E πεπίστευκε E 23 *ἀποφαινόμενον A 25 πρὸς αὐτὸν πρότερος tr. MWE 26 ὥραν] ἡμέραν MWE et i. marg. A 27 καταμελήσεσθαι A¹W στρατηγίαι A τῆς στρατηγίας coni. 28 τῇ χειροτονίᾳ coni.

δων τὸν παρόντα πρότερον. ἐξελθὼν δ' ἐκεῖνος καὶ τὸν Γάιον πρὸ
τοῦ δωματίου καταλαβών, ὁ γὰρ Τιβέριος οὐ παρῆν μετεώρου τῆς
προφῆς αὐτῷ γενομένης, ἤδει δὲ οὐδὲν ὧν ἐβούλετο ὁ δεσπότης,
„καλεῖ σε, φησίν, ὁ πατήρ", καὶ εἰσήγαγεν αὐτόν. Τιβέριος δὲ ὡς 214
Θεᾶται Γάιον, τότε πρῶτον εἰς ἐπίνοιαν ἐλθὼν τοῦ θείου τῆς ἐξου-
σίας καὶ τὴν κατ' αὐτὸν ἡγεμονίαν παντελῶς ἀφῃρημένην ἐπικυροῦν
οἷς ψηφίσαιτο δυνάμεως ἐκεῖθεν αὐτῷ μὴ παραγενομένης, πολλὰ
δὴ κατολοφυράμενος αὐτὸν μὲν τοῦ ἐφ' οἷς προβουλεύσειε κυροῦν
ἀφῃρημένου τὸ κράτος, Τιβέριον δὲ τὸν υἱωνόν, ὡς τῆς τε Ῥωμαίων 215
ἀρχῆς ὁμοῦ διαμάρτοι καὶ τῆς σωτηρίας κεχρημένον διὰ τὸ ἐπ'
ἄλλων κρειττόνων οὐκ ἀνεκτὸν εἰσηγησαμένω τὴν συναναστροφὴν
κεῖσθαι τὴν σωτηρίαν αὐτῷ τοῦ συγγενοῦς μὴ ὑφεῖλκυν διαμένοι.
φόβῳ τε καὶ μίσει τοῦ ἐφεστηκότος χρησομένου πρὸς αὐτόν, τὰ μὲν
ὡς προσιδρύοντα τῇ ἀρχῇ, τὰ δὲ ὡς ἀντειπόντα εἶναι ὑπέρ τε τῆς
σωτηρίας καὶ τῆς ἀντιλήψεως τῶν πραγμάτων μὴ ἀφησόμενον. ἦν 216
δὲ καὶ γενέθλιος Τιβερίου μάλιστα προσκείμενος καὶ κατορ-
θώματα αὐτῇ μείζονος τῶν τῇδε ἀνακειμένων ἐκόντων τὸν βίον
ἐξηγμένος. Γάλβαν οὖν ποτε θεασάμενος ὡς αὐτὸν εἰσιόντα φησὶ
πρὸς τοὺς ἐπιτηδειοτάτους αὐτῷ, ὡς παραγένοιτο ἀνὴρ τῇ Ῥωμαίων
προτιμησόμενος ἡγεμονίᾳ. τά τε πάντα μαντειῶν ὁπόσα ἐχόμενα 217
πίθανα ἡγούμενος ἡγεμόνων μάλιστα ἀνὴρ οὗτος ἐπὸ τοῦ ἑταλι-
θέντος αὐτῶν ἐπὶ τοῖς πράγμασιν ἐχρῆτο αὐταῖς. καὶ τότε ἐν 218
χαλεποῖς ἦν συντυχίᾳ τοῦ γεγονότος, ὡς ἐπ' ἀπολωλότι τῷ υἱεῖ
τοῦ παιδὸς ἀχθεινῶς διατιθέμενος καὶ κατάμεμψιν αὐτοῦ ποιού-
μενος τοῦ κατὰ τὴν οἰώνισιν προμηθοῦς· παρὸν γὰρ [ἂν] αὐτῷ
λύπης ἀπηλλαγμένῳ τελειῶν ἁμαθίᾳ τῶν ἐσομένων, διατρίβεσθαι

AMWELatZonaras I p. 493.

2 *δοματίου W μετεώρου — 3 γενομένης] *ciborum acceptione tardatus* Lat 3 δὲ] δ' MW δ' ὁ εὐοδοσ E 4 *εἰσῆγεν A δ' MWE 5 ἔννοιαν E 7 ψηφίσοιτο MWE *αὐτῷ μὴ] αὐτῇ A 8 κατωλοφύρατο omissis insequentibus E αὐτὸν MW προβουλεύσειεν W 9 υἱωνὸν, ω ex ον corr. M 10 ἐπ'] i. marg. γρ ἐπ' ἄλλοι κρείσσονι A 11 κρεισσόνων MW εἰσηγησαμένων Hudson εἰσηγησαμένου Bekker 12 συγγενοῦς μὴ] Bekker μὴ συγγενοῦς codd. 13 καὶ μίσει] κομίσει W 14 δ' MW 15 ἀναλήψεως A ἀφησόμενον] ἀφηγησομένων A ἦν — 22 αὐταῖς om. Lat 16 μάλιστα] τὰ μάλιστα MWE καὶ κατορθούμενα αὐτῇ] κατὰ τὰ κατορθούμενα αὐτῆς Hudson 17 τόδε] τόνδε Ibbetson ἑκόντως Hudson 18 ἐξηγμένων MW 19 παραγένοιτο MWE 20 προτιμησόμενος] ποτε τιμησόμενοσ E 23 ἐπ' om. MW 24 *ἀχθειῶσ MW διατιθέμενος] διακείμενοσ E διατεθειμένος coni. 25 τοῦ κατὰ τήν] ταύτην MW τοῦ — προμηθοῦς] *quod illud augurium postulasset accipere* Lat οἰώνησιν MW ἂν spurium 26 διατρίβεσθαι] διαφθείρεσθαι MWE et i. marg. A

τῷ προεγνωκὼς τὴν ἐσομένην δυστυχίαν τῶν φιλτάτων τελευτᾶν.
219 καίτερ δὲ συντεταραγμένος τῇ παρὰ δόξαν τῆς ἀρχῆς εἰς οὓς οὐκ
ἤθελεν περιόδῳ. ἄκων δὲ καὶ μὴ βουλόμενος φησὶ γοῦν πρὸς τὸν
Γάιον· „ὦ παῖ, καίτερ μοι συγγενεστέρου Τιβερίου ἢ κατὰ σὲ ὄντος
δόξῃ τε τῇ ἐμαυτοῦ καὶ τῷ ὁμοψήφῳ ἐν αὐτῇ τῶν θεῶν σοὶ
220 φέρων ἐγχειρίζω τὴν Ῥωμαίων ἡγεμονίαν. ἀξιῶ δέ σε μηδὲν ἀμυ-
μονεῖν ὁμιλήσαντα αὐτῇ μήτ' εὐνοίας τῆς ἐμῆς, ἣς εἰς τοσόνδε ἀξιώ-
221 ματος καθίστημι μέγεθος, μήτε τοῦ πρὸς Τιβέριον συγγενοῦς. ἀλλ'
ἐπιστάμενον, ὡς σύν τε τοῖς θεοῖς καὶ μετ' αὐτοὺς τοιῶνδέ σοι
καταταίην ἀγαθῶν ποριστής, ἀμείβεσθαί μου τὸ ἐπ' αὐτοῖς πρό-
θυμον καὶ ἅμα Τιβερίου φροντίζειν διὰ τὴν συγγένειαν, ἄλλως τε
γινώσκειν, ὡς τεῖχός σοι καὶ τῆς ἀρχῆς ὁμοῦ καὶ τῆς σωτηρίας πε-
ριὼν γίνοιτο ἂν Τιβέριος, φροίμιον δὲ τοῦ δυστυχοῦς μεθιστάμενος.
222 αἵ τε γὰρ μονώσεις ἐπικίνδυνοι τοῖς εἰς τηλικούτων πραγμάτων
ὄγκον καταστᾶσιν καὶ θεοῖς οὐκ ἀτιμώρητα ὁπόσα παρὰ δίκην
πρασσόμενα ἀφανίζοι τοῦ νόμου τὸ ἕτερος πράσσειν παρακαλοῦν."
223 ταῦτα μὲν ὁ Τιβέριος ἔλεγεν, οὐ μὴν πιθανὸς ἦν Γαΐῳ καίτερ ὑπι-
σχνουμένῳ. ἀλλὰ καταστὰς εἰς τὴν ἀρχὴν τόν τε Τιβέριον μαντείαις
ἀναιρεῖ ταῖς ἐκείνου καὶ τὸς ἐπιβουλῶν ἐπ' αὐτὸν συντεθεισῶν μετ'
οὐ πολὺ τελευτᾷ.

224 10. Τιβέριος δὲ τὸν Γάιον ἀποδείξας διάδοχον τῆς ἡγεμονίας
ὀλίγας ἐπιβιοὺς ἡμέρας ἔθανεν σχὼν αὐτὸς τὴν ἀρχὴν ἡμέρας τρεῖς
καὶ πέντε μῆνας πρὸς ἐνιαυτοῖν δυοῖν καὶ εἴκοσι. Γάιος δὲ ἦν
225 αὐτοκράτωρ τέταρτος. Ῥωμαίοις δ' ἦν μὲν πίστις τῆς Τιβερίου
τελευτῆς εὐφραίνοντό τε τῷ ἀγαθῷ τῆς ἀγγελίας, οὐ μὴν πιστεύειν
γε Φάρσος ἦν αὐτοῖς, οὐ τῷ μὴ βούλεσθαι, πρὸ πολλῶν γὰρ ἂν

§ 224 = bell. Iud. II 180.

AMWELatZonaras I p. 493.

1 τελευτᾶ MW 3 δὲ] τε MW 4 *κατὰ σὲ] τοῦ κατὰ σὲ coni. 5 τῷ] τῇ E 6 δὲ] τε E μηδὲν] μὴ E 7 *ὁμιλήσοντα A *μήτε MW τοσόνδε] τοσόνδέ σε MW 9 ἐπιστάμενος M 10 μοι A 11 ἀλλ' ὥστε W 13 φροίμι · ον ex φρόνι · ον corr. A φροίμιον W 14 ἐπικίνδυνον A 15 κατάστασιν W 16 ἀφανίζει Bekker ἑτέρωσε A 17 ἦν τῷ γαΐῳ MWE 18 *τε om. A 19 ἀναιρεῖ] coni. αἱρεῖται codd. αἴρεται E *extinxit* Lat ἀναιρεῖται Cocceji αἱρεῖ Hudson αὐτὸν] αὐτῷ E 21 *Τιβέριος δὲ] *sed haec postea. tunc autem tiberius* Lat τὸν] τόν τε A τότε τὸν E 23 *πέντε] *VI* Lat ἓξ bell. Iud. 24 Ῥωμαίοις δ' ἦν μὲν πύστις] ῥωμαῖοι μὲν δὴ πίστει MW ῥωμαίοις δὲ ἦκε μὲν πύστις E Ῥωμαίοις — 25 ἀγγελίας] *at romani audientes tiberii mortem hilares agere coeperunt prospero laetificati nuntio* Lat 25 *εὐφραίνονται MW 26 πρὸ om. E

ἐτίμησαν χρημάτων τὸ ἐπαληθεῦσαν τῶν λόγων, δέει δὲ μὴ ψευδοῦς τῆς ἀγγελίας γενομένης προεξαναστάντες ἐπὶ δηλώσει τοῦ αὐτῶν χάρματος εἶτ' ἀπολλύοιντο διαβολῆς αὐτῶν γενομένης· τελεῖ- 226
στα γὰρ ἀνὴρ εἰς οὗτος Ῥωμαίων τοὺς εὐπατρίδας εἰργάσατο δεινὰ δυσόργητος ἐπὶ πᾶσιν ὢν καὶ ἀνήκεστος εἰς τὸ ἐργάζεσθαι καταστάς, εἰ καὶ χωρὶς λόγου τὴν αἰτίαν ἐπανέλοιτο τοῦ μισεῖν, καὶ ἐπὶ πᾶσι μὲν οἷς κρίνοιεν ἐξαριοῦν φύσιν ἔχων, εἰς θάνατον δὲ καὶ τῶν κουφοτάτων ἀνατιθεὶς τὴν ζημίαν. ὥστε ἤδονῇ τοῦ ἐπ' 227
αὐτῷ λόγου φέροντος τὴν ἀκρόασιν εἰς ὅσον ἐβούλοντο ἀπολαύσασθαι χρῆσθαι ἐπεκωλύοντο δείμασι κακῶν, ἃ προεωρᾶτο φυσθεῖσι τῆς ἐλπίδος. Μαρσίας δὲ τοῦ Ἀγρίππου ὁ ἀπελεύθερος πυθόμενος 228
τοῦ Τιβερίου τὴν τελευτὴν ὠθεῖτο δρομαῖος τὸν Ἀγρίππαν εὐαγγελιούμενος. καὶ καταλαβὼν ἐν ἐξόδοις ὄντα εἰς τὸ βαλανεῖον συντείνας πρὸς αὐτὸν γλώσσῃ τῇ Ἑβραίων „τέθνηκεν ὁ λέων" φησίν.
ὁ δὲ σύνεσίν τε τοῦ λόγου ποιησάμενος καὶ χάρματι τῷ ἐπ' αὐτῷ 229
περιεχθείς „ἀλλά σοι τῶν ἁπάντων καὶ τῆς ἐπὶ τῷδε εὐαγγελίας χάριτες ἐν ἐμοὶ παντοίαι γίνοιντο, μόνον ἀληθῆ τὰ λεγόμενα εἴη." καὶ ὁ ἑκατοντάρχης, ὅσπερ τῇ φυλακῇ ἐφειστήκει τοῦ Ἀγρίππου, 230
θεώμενος τήν τε σπουδὴν μεθ' οἵας ὁ Μαρσίας ἀφίκετο καὶ τὸ ἐκ τῶν λόγων χάρμα τῷ Ἀγρίππᾳ συνελθών, ἱστορήσας καίνωσίν τινα γεγονέναι τῶν λόγων ἤρετό σφας περὶ τοῦ λόγου τοῦ ἐφεστηκότος. οἱ δὲ τέως μὲν παρήτρεπον, ἐγκειμένῳ δὲ ἀτοσημαίνει ὁ 231
Ἀγρίππας, ἤδη γὰρ φίλος ἦν, μηδὲν ἐνδοιάσας. ὁ δὲ ἐκοινοῦτό τε τὴν ἡδονὴν τοῦ λόγου διὰ τὸ εἰς ἀγαθὰ τῷ Ἀγρίππᾳ φέρειν

AMWELatZonaras I p. 493.

1 ἐτιμήσαντο E ἐπαληθεῦσον E 2 *ἐπὶ δηλώσει] ἐπίδηλοι ὦσι (ὦσοι W) MW 3 ἀπόλοιντο E 4 *εὐπάτριδας codd. *δυνὰ W 5 ἐργάζεσθαι] ὀργίζεσθαι Ernesti 7 *κρίνειεν ex corr. A *φύσιν om. M *δὲ] τε MW 9 λόγῳ MW φέροντες ed. pr. εἰς ὅσον om. MW 10 ἐκεκώλυντο (ex s. m. 1 M) MW δείγμασι W ψευσθεὶσ MW 11 ἀγρίππα E et ex corr. A 12 *τοῦ om. MW ὠθεῖτο] A¹E ἔθει MW et ex corr. A ὠθεῖτο δρομαῖος] *celer accurrit* Lat δρομαῖος, i. marg. γρ καὶ οὕτωσ δρομέωσ A τῶ ἀγρίππα E εὐαγγελούμενος i. ras. m 2 A ἀγγελιούμενος MWE *bonum deportans nuntium* Lat 15 τῷ] τῶν MW 16 ἀλλὰ σοῖ A *τῆς] τοῖσ A τῷδε] Bekker τῶνδε codd. ἀγγελίασ E 17 *γίνοιντο] γίνονται MW *repositae sunt* Lat μόνον] μόνον ἂν E et i. ras. m. 2 A μόνον εἰ M 18 ἑκατόνταρχοσ E *ὅσπερ] ὅσ γε MW ἐφεστήκει E *ἀγρίππα MW et ex corr. A 20 συνελθὼν W *καίνωσιν — 21 λόγων] *ratus nouitatem quandam significatam* Lat *καίνωσιν] καὶ γνῶσιν M i. marg. γρ καίνωσιν A κοίνωσιν Ernesti 21 τινὰ · A σφᾶσ (σφὰσ ex corr. A) codd. E ἐνεστηκότοσ coni.

προυτίθει τε αὐτῷ δεῖπνον. εὐωχουμένων δ' αὐτῶν καὶ τοῦ πότου
προϊόντος παρῆν τις λέγων ξῆν τε τὸν Τιβέριον καὶ ὀλίγων ἡμερῶν
232 ἐπανήξειν εἰς τὴν πόλιν. καὶ ὁ ἑκατοντάρχης δεινῶς θορυβηθεὶς
τῷ λόγῳ διὰ τὸ εἰς θάνατον ἀνακείμενα πεπραχέναι δεσμώτῃ τε
καὶ ἐπ' ἀγγελίᾳ θανάτου αὐτοκράτορος συνδιητᾶσθαι μετὰ χάρμα-
τος, ἀπωθεῖται τε τὸν Ἀγρίππαν τοῦ κλινιδίου καί ..[5]μου, φησίν,
λήσειν με ἑκουσίοις θάνατον τοῦ αὐτοκράτορος κατεψευσμένος, ἀλλ'
233 οὐ κεφαλῇ τῇ σῇ τοῦτον ἀναμαξόμενος τὸν λόγον;" ταῦτα εἰπὼν
κελεύει δῆσαι τὸν Ἀγρίππαν λέληκώς πρότερον αὐτὸν φυλακήν τε
ἀκριβεστέραν αὐτοῦ ἢ πρότερον καθίστασθαι. καὶ νύκτα μὲν ἐκείνην
234 ὁ Ἀγρίππας ἐν τοιούτοις ἦν τοῖς κακοῖς. τῇ δὲ ὑστεραίᾳ λόγος
τε πλείων ἦν κατὰ τὴν πόλιν ἰσχυριζόμενος ἐπὶ τῇ τελευτῇ τοῦ
Τιβερίου, ἐθάρρουν τε οἱ ἄνθρωποι φανερῶς ἤδη θρασεῖν καί τινες
καὶ θυσίας ἐπετέλουν, ἐπιστολαί τε ἀφίκοντο παρὰ τοῦ Γαΐου, ἡ
μὲν πρὸς τὴν σύγκλητον τοῦ Τιβερίου διασαφοῦσα τὴν τελευτὴν
235 καὶ τὴν αὐτοῦ παράληψιν τῆς ἡγεμονίας γενομένην, ἡ δὲ πρὸς Πεί-
σωνα τὸν φύλακα τῆς πόλεως τοῦτό τε ἀγορεύουσα, καὶ τὸν Ἀγρίπ-
παν ἐκέλευεν ἐκ τοῦ στρατοπέδου μεταστῆσαι εἰς τὴν οἰκίαν, ἐν ᾗ
πρότερον ἢ δεθῆναι δίαιταν εἶχεν. τότε ἐν θάρσει λοιπὸν ἦσαν
τὰ περὶ αὐτῆς· φυλακὴ μὲν γὰρ καὶ τήρησις ἦν, μετὰ μέντοι ἀνέ-
236 σεως τῆς εἰς τὴν δίαιταν. Γάιος δὲ ὡς ἐπὶ Ῥώμης παρῆν ἄγων
τοῦ Τιβερίου τὸ σῶμα, ταφάς τε αὐτοῦ ποιεῖται πολυτελεῖς νόμοις
τοῖς πατρίοις. Ἀγρίππαν τε αὐθημερὸν λύειν ὄντα πρόθυμον κώ-
λυμα Ἀντωνία ἦν οὔ τι μίσει τῷ πρὸς τὸν δεδεμένον προμηθείᾳ
δὲ τοῦ Γαΐου εὐπρεποῦς, μὴ δόξαν ἀπάγοιτο ἰδονῇ δεχομένου τὴν
Τιβερίου τελευτὴν ἄνδρα ἐπ' ἐκείνου δεδεμένον λύων ἐκ τοῦ ὀξέος.

AMWELat Zonaras I p. 494.

1 εὐωχουμένων δ' αὐτῶν] E *eis epulantibus* Lat εὐωχουμένω δ' αὐτῶ codd. 3 ἑκατόνταρχος E 5 *αὐτοκράτορος] καίσαρος MWLat συνδεδιητῆσθαι Dindorf 6 τε om. MWE 7 καταψευσάμενος MW 8 ἀναμαξόμενος] A teste Herwerdeno *ἀναμαξάμενος* MW 10 πρότερον] *πρότερον αὐτοῦ* MW καθιστᾶ E 11 τοῖς om. MWE δ' E 12 πλειόνων E 13 *ἐθάρουν W *θρασεῖν] *θρυλλεῖν* M *θρυλεῖν* W 14 *καὶ om. A 16 *πίσσωνα M *πίσανα W 17 τὸν φύλακα — Ἀγρίππαν] *custodem tunc temporis ciuitatis, in qua iubebat agrippam* Lat τοῦτό τε] τῷ τότε ELat 18 ἐκέλευεν] ἐκέλευσεν W, om. E *μεταστῆσαι] coni. μεταστήσειν AME μεταστήσιν W 19 *τότε] ὥστε ed. pr. 20 αὐτῆς] *αὐτὴν* coni. 21 *δίαι·ταν A *δ' MW *ῥώμην MW 23 *τε] δὲ MW *nero* Lat *ὄντι προθύμῳ Cocceji 24 *οὔ τι μίσει τῷ] *οὐ τιμήσει τῇ* MW 25 *εὐπρεπῶσ, ω ex ου corr. A εὐπρεπεῖ M et i. marg. A δεχομένω E 26 *τιβερίου] τοῦ βερίου M τελευτὴν] *μετάστασιν* MWE *mortem* Lat *ὀξέως W

διελθουσῶν μέντοι οὐ πολλῶν ἡμερῶν μετατεμψάμενος αὐτὸν εἰς 237
τὸν οἶκον ἀποκείρει τε αὐτὸν καὶ μεταμφιέννυσιν, εἶτα δὲ τὸ διά-
δημα περιτίθησιν τῇ κεφαλῇ καὶ βασιλέα καθίστησιν αὐτὸν τῆς
Φιλίππου τετραρχίας δωρησάμενος αὐτῷ καὶ τὴν Λυσανίου τετραρ-
χίαν, ἀλλάττει τε σιδηρᾶ ἁλύσει χρυσῆν ἰσόσταθμον. ἐπάρχην δὲ
ἐπὶ τῆς Ἰουδαίας ἐπέπεμπει Μάρυλλον.

11. Δευτέρῳ δὲ ἔτει τῆς Γαΐου Καίσαρος ἡγεμονίας Ἀγρίπ- 238
πας ἠξίου συγχώρησιν αὐτῷ γενέσθαι πλεύσαντι τὴν τε ἀρχὴν κατα-
στήσασθαι καὶ τὰ ἄλλα εἰς δέον οἰκονομησαμένῳ ἐπανιέναι. καὶ 239
συγχωροῦντος τοῦ αὐτοκράτορος παρ' ἐλπίδας τε ὤφθη πᾶσι
βασιλεὺς πολλήν τε τῆς τύχης ἐπεδείκνυεν ἐπὶ τοῖς ἀνθρώποις τὴν
ἐξουσίαν τοῖς θεωροῦσιν ἐκ λογισμῶν ἀπορίας τε τῆς πρότερον καὶ
τοῦ ἐν τῷ παρόντι εὐδαίμονος. καὶ οἱ μὲν ἐμακάριζον τοῦ μὴ
διαμαρτίᾳ χρησαμένου τῶν ἐλπίδων, οἱ δ' ἐν ἀπιστίᾳ περὶ τῶν
γεγονότων ἦσαν.

VII. 1. Ἡρῳδιὰς δὲ ἡ ἀδελφὴ τοῦ Ἀγρίππου συνοικοῦσα 240
Ἡρῴδῃ, τετράρχῃ δὲ οὗτος ἦν Γαλιλαίας καὶ Περαίας, φθόνῳ
ἀδελφοῦ τὴν ἐξουσίαν ἰδέχετο ὁρῶσα ἐν ἀλλ' μείζονι ἀξιώματι
γεγενημένον ἀνδρὸς τοῦ αὐτῆς, διὰ τὸ φυγῇ μὲν ποιήσασθαι τὴν
ἔξοδον διαλῦσαι τὰ χρέα μὴ δυνάμενον, κάθοδον δὲ μετ' ἀξιώμα-
τος καὶ οὕτως πολλοῦ τοῦ εὐδαίμονος. ἐλυπεῖτο οὖν καὶ βαρέως 241
ἔφερεν τῇ ἐπὶ τοσοῦτον αὐτοῦ μεταβολῇ, καὶ μάλιστα ὁπότε θεα-
σαιτο μετὰ τῶν εἰωθότων παρασήμων τῆς βασιλείας ἐπιφοιτῶντά τε
τοῖς πλήθεσιν, ἐπικρύπτεσθαι οὐκ ἠνείχετο τὴν δυστυχίαν τοῦ φθό-
νου, ἀλλὰ τὸν ἄνδρα ἐξῆρεν κελεύουσα ἐπὶ τῆς Ῥώμης πλεῖν ἐπὶ
μνηστείᾳ τῶν ἴσων· οὐδὲ γὰρ ἀνεκτὸν εἶναι σφίσι τὸ ζῆν, εἰ Ἀγρίπ- 242
πας Ἀριστοβούλου μὲν υἱὸς ὢν θανεῖν ὑπὸ τοῦ πατρὸς κατεγνωσ-
μένου, πενίᾳ δὲ ἀπόρῳ συνιών, ὡς τελέως αὐτῷ ἐπικουφίζεσθαι

§ 237 = bell. Iud. II 181.

AMWELat Eusebius hist. eccl. II 4. Zonaras I p. 494.

1 § 237 excerpsit Eus 2 *μεταμφιέννυσι W δὲ om. E 5 ἀλάττει E *τε] τε τῇ MW ἱππάρχην] magistrum equitum Lat ἔπαρχον Hudson ὕπαρχον propono 6 ἐπὶ] ἐκ E *μάρυλλον M 9 ἐπανεῖναι AE 13 τοῦ ἐν τῷ] ἐν τῷ, ἐν s., τῷ ex τοῦ corr. M 16 i. marg. *XVII* Lat 9′ E *δ' MW ἀγρίππα ex corr. A 18 *πολὺ] πολλῷ M 19 μὲν] μὲν τότε MW 20 καθ' ὁδὸν W 21 *οὖν] δὲ MW 22 *αὐτοῦ om. MW 23 *εἰωθώτων W τε] atque Lat, om. E 24 οὐκ] τε οὐκ E 26 οὐδὲ] οὐ MW σφίσι] φησι MW sibimetipsi Lat 27 μὲν ἀριστοβούλου ὢν υἱὸς tr. M κατεγνωσμένου] ed. pr. et ut uid. Lat κατεγνωσμένος codd. 28 συνὼν MW συζῶν Naber τελέως] ἐλέῳ (et ut uid. ὥστ') Naber, haud male, sed etiam insequentia emendanda sunt

τἀναγκαῖα τοῦ ἐφ' ἡμέρας, φυγῇ δὲ τῶν δεδανεικότων τὸν πλοῦν πεποιημένος ἐπανελήλυθοι βασιλεύς, αὐτὸς δέ γε ὢν παῖς βασιλέως καὶ τοῦ συγγενοῦς τῆς ἀρχῆς καλοῦντος αὐτὸν ἐπὶ μεταποιήσει τῶν
243 ἴσων καθέζοιτο ἀγαπῶν ἐν ἰδιωτείᾳ διαβιοῦν. ἀλλ' εἰ καὶ πρότερόν γε, Ἡρῴδη, μηδὲν ἐλύπει σε τὸ ἐν ἐλάσσονι τιμῇ πατρὸς οὗ γέγονας εἶναι, νῦν γοῦν ὀρέχθητι συγγενοῦς ἀξιώματος μηδὲ ἐπόμενε ἴσσεσθαι προίχοντι τιμῆς ἀνδρὶ πλοῦτον τεθεραπευκότι τὸν σόν, μηδὲ πενίαν ἀποφίνῃς τὴν ἐκείνου τῆς ἡμετέρας εὐπορίας ἀρετῇ μᾶλλον χρῆσθαι δυναμένην, μηδὲ δευτερεύειν ἀνεπαίσχυντον
244 ἐγοῦ τῶν χθές τε καὶ πρώην ἐλέῳ τῷ σῷ διαβεβιωκότων. ἀλλ' ἐπὶ τῆς Ῥώμης ἴωμεν, καὶ μήτε πόνου φειδώ τις ἔστω μήτε ἀργυρίου δαπάνης καὶ χρυσίου, διὰ τὸ μὴ ἐπ' οὐδαμινοῖς ἐν βελτίοσιν γενέσθαι τὴν τήρησιν αὐτῶν ἀναλώσεως τῆς ἐπὶ κτήσει βασιλείας ἐσομένης."

245 2. Ὁ δὲ πέως μὲν ἀπεμάχετο ἀγαπῶν τὴν ἡσυχίαν καὶ τῆς Ῥώμης τὸν ὄχλον δι' ὑποψίας λαμβάνων ἀναδιδάσκειν τε αὐτὴν ἐπειρᾶτο, ἡ δ' ἐφ' ὅσον ἐξαναχωροῦντα ἑώρα μειζόνως ἐπέκειτο
246 κελεύουσα μὴ ἀνέναι πάντα πράσσειν ἐπὶ τῇ βασιλείᾳ. καὶ πέρας οὐκ ἀνῆκεν ἕως ἐξενίκησεν αὐτὸν ὁμογνώμονα αὐτῇ ἀκουσίως γενέσθαι διὰ τὸ μὴ εἶναι ἄλλως ἀποφυγεῖν αὐτῆς τὸ ἐπὶ τοιούτοις ψηφισάμενον. παρασκευασάμενός τε ὡς ἐνῆν πολιτικῶς καὶ φειδοὶ μηδενὸς χρώμενος ἀνήγετο ἐπὶ τῆς Ῥώμης ἅμα καὶ τὴν Ἡρωδιάδα
247 ἀγόμενος. Ἀγρίππας δὲ τήν τε διάνοιαν αὐτῶν καὶ τὴν παρασκευὴν αἰσθόμενος καὶ αὐτὸς παρεσκευάζετο, ἐπεί τε ἐκπεπλευκότας ἀκοίει, πέμπει καὶ αὐτὸς ἐπὶ τῆς Ῥώμης Φορτουνᾶτον αὐτοῦ τῶν ἀπελευθέρων δῶρά τε κομίζοντα τῷ αὐτοκράτορι καὶ ἐπιστολὰς κατὰ τοῦ Ἡρῴδου τὰ δὲ καὶ αὐτὸν διδάξοντα ἢ καιρὸς τὸν Γάιον.
248 ὁ δὲ ἐπαναχθεὶς τοῖς ἀμφὶ τὸν Ἡρῴδην καὶ δεξιῶ χρησαμένῳ τῷ

§ 242 = bell. Iud. II 182.

AMWELat Zonaras I p. 495.

2 πεποιηκότος A ἐπανεληλύθει AM 3 τοῦ συγγενοῦς — 4 ἴσων] *et frater eius qui tetrarchiam illam ante possederat, ut magis ei cognationis iure deberetur* Lat 5 ἐλύπει] ἐλύπη AM τιμῇ A 7 τεθεραπευτικότι W 9 ἀρετὴν A 10 τε om. MW 12 ἐπ'] i. marg. γρ ἐπ' οὐδαμοῖσ ἐν βελτίοισ δε A ἐν] ἂν coni. βελτίοσιν] ed. pr. βελτίοσι δὲ A βελτίοσι M βλτίοσιν W 19 ἐξενίκησεν] coni. ἐξεκίνησεν codd. E ἐξενίκησεν — γενέσθαι] *in suam eum fecit transire sententiam* Lat αὐτῆς E 20 ἀποφυγὴν MW et ut uid. E 21 φειδοῖ ex φυγῇ corr. M 22 *ἅμα] ἅμα δὲ MW 24 *αἰσθανόμενοσ MW τ' E 25 φουρτουνάτον MW φορτούνατον E 27 τὰ δὲ] τάδε MWE ἢ] ἢ A εἰ MWE

πλῆ τοσόνδε ἀπελίπετο τοῦ Ἡρώδου, ὥστε τὸν μὲν ἐντυχεῖν Γαΐῳ, ὁ δὲ ἐπικατάγεται καὶ τὰς ἐπιστολὰς ἀπεδίδου. καὶ προσέπλευσαν ἀμφότεροι δικαιαρχεῖα καὶ τὸν Γάιον ἐν Βαΐαις λαμβάνουσιν. κο- 249
λύδριον δ' ἐστὶ καὶ τοῦτο τῆς Καμπανίας ὅσον ἀπὸ σταδίων πέντε τῆς Δικαιαρχείας κείμενον, βασίλειοί τέ εἰσιν οἰκήσεις αὐτόθι πολυτελέσι κεχρημέναι κατασκευαῖς φιλοτιμηθέντος τῶν αὐτοκρατόρων ἑκάστου τοὺς προγεγονότας ὑπερβάλλεσθαι, λουτρά τε παρέχεται τὸ χωρίον θερμὰ γῆθεν αὐτόματα ἀνιέντα ἀγαθὰ ἐπί τε ἰάσει τοῖς χρωμένοις καὶ ἄλλως τῷ ἀνιμένῳ τῆς διαίτης συμφέροντα. Γάιος 250
δὲ ἅμα τε προσαγορεύων τὸν Ἡρώδην, πρῶτον δὲ αὐτῷ ἐντυγχάνει, ἅμα τε τοῦ Ἀγρίππου τὰς ἐπιστολὰς ἐπιὼν ἐπὶ κατηγορίᾳ τῇ ἐκείνου συγκειμένας, κατηγόρει δὲ αὐτοῦ ὁμολογίαν πρὸς Σημαίου κατὰ τῆς Τιβερίου ἀρχῆς καὶ πρὸς Ἀρτάβανον τὸν Πάρθον ἐπὶ τοῦ παρόντος κατὰ τῆς Γαΐου ἀρχῆς. παράδειγμά τε ἦν αὐτῷ τοῦ λόγου 251
μυρίασιν ἐτῶν ὀλιγίων ἀρκέσουσα κατασκευὴ ἐν ταῖς Ἡρώδου ὀλοθήκαις ἀποκειμένη, ἐκινεῖτό τε ὑπὸ τῶν εἰρημένων καὶ ἤρετο τὸν Ἡρώδην, εἰ ἀληθὴς ὁ περὶ τῶν ὅπλων λόγος. τοῦ δέ, οὐ γὰρ ἦν 252
ἕτερα εἰπεῖν διὰ τὸ ἀντιφθέγξασθαι τὴν ἀλήθειαν, εἰπόντος εἶναι τὰ ὅπλα, πιστὰ ἡγούμενος εἶναι τὰ ἐπὶ τῇ ἀποστάσει κατηγορούμενα. τὴν τετραρχίαν ἀφελόμενος αὐτὸν προσθήκην τῇ Ἀγρίππου βασιλείᾳ ποιεῖται καὶ τὰ χρήματα ὁμοίως τῷ Ἀγρίππᾳ δίδωσιν. αὐτὸν δὲ φυγῇ ἀιδίῳ ἐζημίωσεν ἀποδείξας αἰχμήτριον αὐτοῦ Λούγδουνον πόλιν τῆς Γαλλίας. Ἡρωδιάδα δὲ μαθὼν Ἀγρίππου ἀδελ- 253
φὴν οὖσαν τά τε χρήματα ἐδίδου ὁπόσα ἐκείνῃ ἰδίᾳ ἦν καὶ τοῦ μὴ κοινωνεῖν νομίσας τῷ ἀνδρὶ τῆς συμφορᾶς τεῖχος αὐτῇ τὸν ἀδελφόν

§ 252 = bell. Iud. II 183.

AMWELat Eusebius hist. eccl. II 4. Zonaras I p. 495.

1 *ἀπελείπετο* MWE et ex corr. A *ἐντυγχάνειν* E *τοσόνδε ἀπελείπετο τοῦ ἡρώδου* post **Γαΐῳ* addita deleuit M 3 *δικαιαρχείᾳ*] Dindorf *δικαιαρχία* codd. E *dicaearchea* Lat **βαΐαισ, β* ex *γ* corr. M *πολύδριον*] *πολίδριον* MWE *γρ. πολίδριον ἢ πολίδιον* i. marg. A 5 *δικαιαρχίασ* codd. E *dicaearchea* Lat 7 *τοὺς* om. MW 8 *ἀνιόντα* MW 10 *πρῶτοσ* E *δὲ*] ed. pr. *τε* codd., om. E *ἐτύγχανε* E 11 **ἀγρίππα* ex corr. A *ἐπιὼν*] *ἐπήει* E **ἐπὶ*] *ἐπὶ τῇ* MW 12 *κατηγόρει δὲ*] E ed. pr. *κατηγόρει τε* AM *κατηγόρειται* W *πρὸσ*] *τε πρὸσ* WE 13 **πάρθων* W 17 **ἀληθεῖσ* W § 252 excerpsit Euseb 18 *διὰ τὸ*] *ἢ* M *τὴν* om. MW 22 **δὲ*] *τε* MW 23 *Γαλλίας*] *γαλιλαίασ, λ* secundum ex *α* corr. M *γαλατίασ* E **ἀγρίππα* ex corr. A 24 **ὁπόσα*] *et alia quaecumque* Lat *ἐκείνησ* E *ἰδια* MWE *καὶ τοῦ — 186, 1 ἔλεγεν*] *arbitrans in consilio uiri consciam non fuisse; tutabatur etiam eam quod sororem agrippae cognouerat* Lat **τοῦ*] *τῶ* MW 25 *νομίσασ*] om. E *νομίσαι* coni.

254 ἔλεγεν. ἡ δέ „ἀλλὰ σὺ μέν, αὐτόκρατορ, εἶπεν, μεγαλοφρόνως τε καὶ ἀξιώματι τῷ σαυτοῦ πρεπόντως τάδε λέγεις, κώλυμα δέ μοί ἐστιν χρῆσθαί σου τῇ χάριτι τῆς δωρεᾶς εὔνοια ἣ πρὸς τὸν γεγαμηκότα, οὗ κοινωνόν με τῆς εὐδαιμονίας γενομένην οὐ δίκαιον ἐγκατα-
255 λιπεῖν τὸ ἐπὶ ταῖς τύχαις καθεσταμένον.“ ὁ δὲ ὀργῇ τοῦ μεγα- 5
λόφρονος αὐτὴν ποιησάμενος συνῆλαννεν καὶ αὐτὴν τῷ Ἡρώδῃ καὶ τὴν οὐσίαν αὐτῆς τῷ Ἀγρίππᾳ δίδωσιν. Ἡρωδιάδι μὲν δὴ ᾠφθησαν τοῦ πρὸς τὸν ἀδελφὸν καὶ Ἡρῴδῃ γενεικείων ἀκροασαμένῃ
256 κουφολογιῶν δίκην ταύτην ἐπετίμησεν ὁ Θεός. Γάιος δὲ τὸν μὲν 10
πρῶτον ἐνιαυτὸν καὶ τὸν ἑξῆς πάνυ μεγαλοφρόνως ἐχρῆτο τοῖς πράγμασιν καὶ μέτριον παρέχων αὐτὸν εἰς εὔνοιαν πολλὴν προυχώρει παρά τε Ῥωμαίοις αὐτοῖς καὶ τοῖς ὑπηκόοις. προϊὼν δ' ἐξίστατο τοῦ ἀνθρωπίνως φρονεῖν ἐπὸ μεγέθους τῆς ἀρχῆς ἐκθειάζων ἑαυτὸν καὶ τὰ πάντα ἐπ' ἀτιμίᾳ τοῦ θείου πολιτεύειν ἦρτο.
257 VIII. 1. Καὶ δὴ στάσεως ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων 15
τε οἳ ἐνοικοῦσι καὶ Ἑλλήνων τρεῖς ἀφ' ἑκατέρας τῆς στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν ὡς τὸν Γάιον. καὶ ἦν γὰρ τῶν Ἀλεξανδρέων πρέσβεων εἷς Ἀπίων, ὃς πολλὰ εἰς τοὺς Ἰουδαίους ἐβλασφήμησεν ἄλλα τε λέγων καὶ ὡς τῶν Καίσαρος τιμῶν περιορᾶτε·
258 πάντων γοῦν ὁπόσοι τῇ Ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶσιν βωμοὺς τῷ 20
Γαΐῳ καὶ νεὼς ἱδρυμένων τά τε ἄλλα πᾶσιν αὐτὸν ὥσπερ τοὺς θεοὺς δεχομένων, μόνους τούσδε ἀδοξον ἡγεῖσθαι καὶ ἀνδριᾶσι τιμᾶν
259 καὶ ὅρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι. πολλὰ δὲ καὶ χαλεπὰ Ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀρθῆναι ἤλπιζεν τὸν Γάιον καὶ εἰκὸς ἦν. Φίλων ὁ προεστὼς τῶν Ἰουδαίων τῆς πρεσβείας, ἀνὴρ τὰ πάντα 25
ἔνδοξος Ἀλεξάνδρου τε τοῦ ἀλαβάρχου ἀδελφὸς ὢν καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων.

AMWELat Zonaras I p. 496 Eusebius hist. eccl. II 5. 2.

1 *αὐτοκράτωρ* A¹MWE 2 *σεαυτοῦ* MWE *μοι δέ* tr. AE 3 **εὔνοια ἡ*] *εὐνοίαι τε τῇ* A 5 *τὸ* om. E **καθιστάμενον* MW *ὁ δὲ — 6 ποιησάμενος*] *tum ille magnitudinem animi eius indigne suscipiens* Lat *ὀργὴν* E 7 *δίδωσιν*] MWLat *δῶρον δίδωσιν* AE 9 *ἐπετίμησεν*] i. marg. *γρ ἀπετισεν* A *ἀπήτησεν* E 11 *αὐτὸν* A¹MWE **πολλὴν* om. W 12 **τοῖς ὑπηκόοις*] *apud graecos* Lat **δὲ* M 13 *ἀνθρωπείως* AE 14 **αὐτὸν* M *αὐτὸν* W 15 i. marg. *ι'* E *XVIII* Lat incip. Euseb. 16 **οἳ*] *τοῖς* Eusebii cod. B aliique **τῆς* om. MW 17 **ὡς*] *πρὸς* Eusebii cod. B aliique **καὶ ἦν*] i. marg. *XVIIII* Lat 18 **appio* Lat 13 **τῶν*] *τὸν* W 20 **ὁπόσοι*] *ὅσοι* Eus 21 **ναοὺς* Eus **πᾶσιν*] *ἐν πᾶσιν* Eus 22 **ἡγήσασθαι* MW 23 **τοὔνομα* Eusebii codd. IK et Nicephorus **appione* Lat 24 *ἀναρθῆναι* E **καὶ*] *ὡς* Naber 26 **τε*] *δὲ* MW *τοῦ*, *ου* ex *α* corr. cod. Busb. E

διακλείει δ' αὐτὸν Γάιος κελεύσας ἐκποδὼν ἀπελθεῖν, περιοργής 260
τε ὢν φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. ὁ δὲ Φίλων ἔξεισι
περιβριησάμενος καὶ φησι πρὸς τοὺς Ἰουδαίους, οἳ περὶ αὐτὸν ἦσαν,
ὡς χρὴ θαρρεῖν, Γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἥδη
τὸν θεὸν ἀντιπαρεξάγοντος.

2. Γάιος δὲ ἐν δεινῷ φέρων εἰς τοσόνδε ὑπὸ Ἰουδαίων πε- 261
ριῦφθαι μόνων περυσβευτὴν ἐπὶ Συρίας ἐκπέμπει Πετρώνιον διά-
δοχον Οὐιτελλίου τῆς ἀρχῆς, κελεύων χειρὶ πολλῇ εἰσβαλόντι εἰς
τὴν Ἰουδαίαν, εἰ μὲν ἑκόντες δέχοιντο, ἱστᾶν αὐτοῦ ἀνδριάντα ἐν
τῷ ναῷ τοῦ θεοῦ, εἰ δ' ἀγνωμοσύνῃ χρῷντο, πολέμῳ κρατήσαντα
τοῦτο ποιεῖν. καὶ Πετρώνιος Συρίαν παραλαβὼν ἠπείγετο διακο- 262
νεῖσθαι ταῖς ἐπιστολαῖς τοῦ Καίσαρος, συμμαχίαν τε τελείστην
ὅσην ἠδύνατο ἀθροίσας καὶ τάγματα δύο τῆς Ῥωμαίων δυνάμεως
ἄγων ἐπὶ Πτολεμαΐδος παρῆν αὐτόθι χειμάσων ὡς πρὸς ἔαρ τοῦ
πολεμεῖν οὐκ ἀφεξόμενος, καὶ πρὸς τὸν Γάιον ἔγραφεν περὶ τῶν
ἐπεγνωσμένων. ὁ δὲ ἐπῄνει τῆς προθυμίας αὐτὸν καὶ ἐκέλευεν μὴ
ἀνιέναι πολεμεῖν δὲ μὴ πειθομένοις ἐντεταμένως. Ἰουδαίων δὲ 263
πολλαὶ μυριάδες παρῆσαν ὡς τὸν Πετρώνιον εἰς Πτολεμαΐδα κατὰ
δεήσεις μηδὲν ἐπὶ παρανομίᾳ σφᾶς ἐπαναγκάζειν καὶ παραβάσει
τοῦ πατρίου νόμου. εἰ δέ σοι πάντως πρόκειται τὸν ἀνδριάντα 264
φέρειν καὶ ἱστᾶν, ἡμᾶς αὐτοὺς πρότερον μεταχειρισάμενος πρᾶσσε
τὰ δεδογμένα· οὐδὲ γὰρ δυνάμεθα περιόντες θεωρεῖν πράγματα
ἡμῖν ἀπηγορευμένα ἀξιώματί τε τοῦ νομοθέτου καὶ προπατόρων
τῶν ἡμετέρων τῶν εἰς ἀρετὴν ἀνήκειν αὐτὰ κεχειροτονηκότων."
Πετρώνιος δὲ ὀργὴν λαβὼν εἶπεν· „ἀλλ' εἰ μὲν αὐτοκράτωρ ὢν 265

§ 261 = bell. Iud. II 185.

AMWELatZonaras I p. 497. Eusebius hist. eccl. II 5, 5.

1 *διακλείει] *ex secretario excludi* Lat *περιοργής] i. marg. *γρ περιμανής* A 2 *ἦν] *τε ἦν* E *αὐτούς] *αὐτοῖσ* E *αὐτῷ* Eus. cod. B aliique *ἔξεισι] ἔξεισιν W *egrediens secretario* Lat 4 *λόγῳ om. Eus *ὠργισμένον W 5 *ἀντιπαρεξάγοντος] fin. Euseb. 6 i. marg. *ια'* E *XX* Lat *εἰς] *εἰ·* A *ὑπὸ Ἰουδαίων] *Ἰουδαίων ὕπο* E 8 *οὐϊτελλίου E *εἰσβάλλοντι W *ἐμβαλεῖν E 9 *δέχονται MW *αὐτοῦ om. M 11 *διακονεῖν M 12 *ἐπιστολαῖς] *ἐντολαῖσ* E *τε] δὲ W 13 *δύο] tres in bell. Iud. 19 *μηδὲν] *καὶ μηδὲν* MW *μὴ E *σφᾶς AM *καταναγκάζειν E 20 *νόμου* om. MWE, fort. recte 21 *μεταχειρησάμενος W 22 *οὐδὲ] *οὐ* MW *δυνάμεθα] *ἂν δυναίμεθα* MW *παριόντες E *θεωρεῖν] *συγχωρεῖν* MW *ammittere* Lat 23 *τε] *δὲ* MW 24 *τῶν om. MW 25 *πετρώνιοσ δὲ ὀργὴν προσλαβὼν εἶπεν*, litt. *οσ δὲ — εἶπεν* i. ras. angustiore m. 2 A *ὀργὴν] *ὀργῇ* coni. *ὀργὴν — εἶπεν] *respondit* Lat

βουλεύμασι χρῆσθαι τοῖς ἐμαυτοῦ τάδε πράσσειν ἐπενόουν, κἂν εἰκαιος ἦν ὑμῖν πρός με οὗτος ὁ λόγος. νυνὶ δέ μοι Καίσαρος ἐπεσταλκότος πᾶσα ἀνάγκη διακονεῖσθαι τοῖς ἐκείνῳ προανεψηφισμένοις διὰ τὸ εἰς ἀνηκεστοτέραν φέρειν ζημίαν τὴν παρακρόασιν αὐ-
266 τῶν." „ἐπεὶ τοίνυν οὕτως φρονεῖς, ὦ Πετρώνιε, φασὶν οἱ Ἰουδαῖοι, ὡς μὴ ἂν ἐπιστολὰς τὰς Γαΐου παρελθεῖν, οὐδ' ἂν αὐτοὶ παραβαίημεν τοῦ νόμου τὴν προαγόρευσιν θεοῦ πεισθέντες ἀρετῇ καὶ προγόνων πόνοις τῶν ἡμετέρων εἰς νῦν ἀπαράβατοι μεμενηκότες. οὐδ' ἂν τολμήσαιμεν ἐπὶ τοσοῦτον κακοὶ γενέσθαι, ὥστε ὁπόσα ἐκείνῳ δόξειεν μὴ πρασσόμενα ἀγαθοῦ ῥοπὴν ἡμῖν φέρειν αὐτοὶ
267 παραβαίνειν ποτ' ἂν θάνατον φοβηθέντες. ὑπομενοῦμεν δὲ εἰς τύχας ἰόντες ἐπὶ φυλακῇ τε πατρίων καὶ κινδυνεύειν προθεμένοις ἐλπίδα οὖσαν ἐξεπιστάμενοι κἂν περιγενέσθαι διά τε τοῦ θεοῦ τὸ σπεύδομενον μεθ' ἡμῶν ἐπὶ τιμῇ τε τῇ ἐκείνου τὰ δεινὰ ὑποδεχομένων καὶ τῆς τύχης τὸ ἐπ' ἀμφότερα φιλοῦν τοῖς πράγμασι παρα-
268 τυγχάνειν, ἐκ δὲ τοῦ σοὶ πείθεσθαι πολλὴν μὲν λοιδορίαν τοῦ ἀνάνδρου προσκεισομένην ὡς δι' αὐτὸ παράβασιν τοῦ νομίμου προστοιουμένοις, καὶ ἅμα πολλὴν ὀργὴν τοῦ θεοῦ, ὃς καὶ παρὰ σοὶ δικαστῇ γένοιτ' ἂν βελτίων Γαΐου."
269 3. Καὶ ὁ Πετρώνιος ἐκ τῶν λόγων θεασάμενος δυσνίκητον αὐτῶν τὸ φρονοῦν καὶ μὴ ἂν ἀμαχεὶ δύναμιν αὐτῷ γενέσθαι διακονήσασθαι Γαΐῳ τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος πολὺν δὲ ἔσεσθαι φόνον, τούς τε φίλους ἀναλαβὼν καὶ θεραπείαν, ἣ περὶ αὐτὸν ἦν, ἐπὶ Τιβεριάδος ἠπείγετο χρῆζων κατανοῆσαι τῶν Ἰουδαίων τὰ πραγ-
270 ματα ὡς ἔχοι. καὶ Ἰουδαῖοι μέγαν ἡγούμενοι τὸν ἐκ τοῦ πρὸς Ῥωμαίους πολέμου κίνδυνον, πολὺ μείζονα δὲ κρίνοντες τὸν ἐκ τοῦ

§ 269 = bell. Iud. II 192.

AMWELatZonaras I p. 497.

1 *βουλεύματι W κἂν] ed. pr. καὶ AW, om. ME 2 ὁ λόγος οὗτος tr. MWE νῦν MW 5 οὕτω MWE 6 τὰς] τοῦ E *Γαΐου] caesaris Lat 7 θεοῦ] θεῶ]τε, θεῶ suppl., τε ex θυ (h. e. θεοῦ) corr. A οὖ MW ἀρετῇ] καὶ ἀρετῇ (καὶ suppl.) A 8 προγόνων — ἡμετέρων] πόνοις τῶν ἡμετέρων προγόνων | · · · i. ras. m. 2 A 10 *αὐτοὶ] αὐτονὶ MW 12 τύχας] i. marg. γρ ψυχάς A πατρίων] ex corr. A πατρίοις A¹ πατρίῳ MW *legis nostrae* Lat 14 τε] γε Holwerda, om. Bekker 17 ὡς — 18 προσποιουμένοις] *quod timore transgressores legis efficimur* Lat δι' αὐτὸ] ed. pr. δι' αὐτῶν A δι' αὐτὸν MW δέει αὐτῶν Cocceji τοῦ νόμου MW 19 γίνοιτο A γένοιτο W 20 *δυσκίνητον MW *inmutabile firmumque* Lat 21 ἀμαχὶ MWE γενέσθαι] παραγεγενῆσθαι M παραγενῆσθαι W γενήσεσθαι E διακονίσασθαι MW 22 τῷ γαΐῳ MW 24 *τιβεριάδος W χρῆζον W 25 ἔχει E τὸν ἐκ — 26 κρίνοντες iterat W 26 δὲ μείζονα tr. M

παρανομεῖν, αὐθις πολλαὶ μυριάδες ὑπηντίαζον Πετρώνιον εἰς τὴν
Τιβεριάδα γενόμενον, καὶ ἱκετείᾳ χρώμενοι μηδαμῶς εἰς ἀνάγκας 271
τοιαύτας αὐτοὺς καθιστᾶν μηδὲ μαίνειν ἀνδριάντος ἀναθέσει τὴν
πόλιν, „πολεμήσετε ἄρα Καίσαρι, Πετρώνιος ἔφη, μήτε τὴν ἐκείνου
παρασκευὴν λογιζόμενοι μήτε τὴν ὑμετέραν ἀσθένειαν;“ οἱ δ'
„οὐδαμῶς πολεμήσαιμεν, ἔφασαν, τεθνηξόμεθα δὲ πρότερον ἢ πα-
ραβῆναι τοὺς νόμους.“ ἐπί τε τὰ πρόσωπα κείμενοι καὶ πᾶς σφα-
γὰς προδεικνύντες ἕτοιμοι κτιννύεσθαι ἔλεγον εἶναι. καὶ ταῦτ' 272
ἐπράσσετο ἐπὶ ἡμέρας τεσσαράκοντα, καὶ τοῦ γεωργεῖν ἀπείρητοι
τὸ λοιπὸν ἦσαν καὶ ταῦτα τῆς ὥρας οὔσης πρὸς σπόρον. πολλή τε
ἦν προαίρεσις αὐτοῖς καὶ τοῦ θνήσκειν ἐπιθυμίας προθυσίαι. ἦ τὴν
ἀνάθεσιν θεάσασθαι τοῦ ἀνδριάντος.

4. Ἐν τούτοις ὄντων τῶν πραγμάτων Ἀριστόβουλος ὁ Ἀγρίπ- 273
που τοῦ βασιλέως ἀδελφὸς καὶ Ἑλκίας ὁ μέγας ἄλλοι τε οἱ κράτι-
στοι τῇδε τῆς οἰκίας καὶ οἱ πρῶτοι σὺν αὐτοῖς εἰσίασιν ὡς τὸν
Πετρώνιον παρακαλοῦντες αὐτόν, ἐπειδὴ τὴν προθυμίαν ὁρᾷ τῆς 274
πλήθους, μηδὲν εἰς ἀπόνοιαν αὐτῆς παρακινεῖν. ἀλλὰ γράφειν πρὸς
Γάιον τὸ ἀνήκιστον αὐτῶν πρὸς τὴν ἀποδοχὴν τοῦ ἀνδριάντος, ὡς
τε ἀποστάντες τοῦ γεωργεῖν ἀντικαθέζονται, πολεμεῖν μὲν οὐ βού-
λόμενοι διὰ τὸ μηδ' ἂν δύνασθαι, θανεῖν δ' ἕτοιμοι ἡδονὴν πρὶν
παραβῆναι τὰ νόμιμα αὐτοῖς, ὥστε ἀσπόρου τῆς γῆς γενομένης
λιμοῦ ἂν φύοιντο ἀδυναμίᾳ καταβολῆς τῶν φόρων. ἴσως γὰρ 275
ἂν ἐπικλασθέντα τὸν Γάιον μηδὲν ὠμὸν διανοηθῆναι μηδὲ ἐπ' ἀνα-
στάσει φρονῆσαι τοῦ ἔθνους· ἐμμένοντος δὲ τῇ τότε βουλῇ τοῦ
πολεμεῖν τότε δὴ καὶνὸν ἅπτεσθαι τοῦ πράγματος. καὶ οἱ μὲν 276

§ 270 = bell. Iud. II 192.

AMWELatZonaras I p. 498.

1 *πετρώνιον, ο ex ω corr., i. marg. γρ πετρωνίω A 2 *τιβερειάδα W *χρώμενοι] χρωιένοις aut χρωμένων coni. 6 *οὐδαμῶς πολεμήσαιμεν] *nimirum nos pugnare disponimus* Lat πολεμῆσαι μὲν E πολεμήσομεν Zon 8 κτιννύεσθαι] καὶ κτιννύεσθαι E *ταῦτα MW 9 *τεσσαράκοντα] quinquaginta in bell. Iud. 10 τὸ om. MWE *πρὸς πόρω W 11 ἦ] εἰ E 12 τοῦ ἀνδριάντος θεάσασθαι (θεάσαιντο E) tr. MWE 13 *ἐν — ὄντων] *taliter igitur se rebus habentibus* Lat τούτοις] τοιούτοις δὲ MW τοιούτοις E 14 τοῦ om. E ἑλκίας WE *ὁ μέγας] *maior* Lat 17 *μηδὲν — παρακινεῖν] *ut bene de negotio praesenti consuleret neque de tantae multitudinis perditione cogitaret* Lat αὐτῆς] codd. et ut uid. Zon αὐτοῖς cod. Busb. E *παρακινεῖν] παρακαλεῖν A fort. recte 18 ἀποδοχὴν MWE 21 ὥστε] πῶς τε MWE ἀπόρου E 22 *ληστεῖαι, η ex ν corr. M *ἂν φύοιντο] ἀναφύοιντο MW 24 τότε βουλῇ] βουλῇ καὶ αὖθις E 25 καὶ αὐτὸν E et ex corr. A

ἀμφὶ τὸν Ἀριστόβουλον ἐπὶ τούτοις τὸν Πετρώνιον παρεκάλουν. Πετρώνιος δὲ τοῦτο μὲν τῶν περὶ τὸν Ἀριστόβουλον παντοίως ἐπικειμένων διὰ τὸ ὑπὲρ μεγάλων ποιεῖσθαι τὴν δέησιν καὶ πάσῃ
277 *μηχανῇ χρησαμένων εἰς τὰς ἱκετείας, τοῦτο δὲ τῶν Ἰουδαίων θεώμενος τὴν ἀντιπαράταξιν τῆς γνώμης καὶ δεινὸν ἡγούμενος τοσαῖσδε ἀνθρώπων μυριάσιν μανίᾳ τῇ Γαΐου διακονούμενος ἐπαγαγὼν θάνατον ἐν αἰτίᾳ τὸ πρὸς θεὸν σεβάσμιον ἔχειν καὶ μετὰ πονηρᾶς τὸν μετὰ ταῦτα βίον ἐλπίδος διατᾶσθαι, πολὺ κρεῖσσον ἡγεῖτο ἐπιστείλας τῷ Γαΐῳ τὸ ἀνήκεστον αὐτῶν * ὀργὴν φέροντος μὴ ἐκ*
278 *τοῦ ὀξέος δεδιακονημένου αὐτοῦ ταῖς ἐπιστολαῖς· τάχα μὲν γὰρ καὶ πείσειν· καὶ τῇ τὸ πρῶτον μανίᾳ τῆς γνώμης ἐπιμένοντος ἄψεσθαι πολέμου τοῦ πρὸς αὐτούς, εἰ δ' ἄρα τι καὶ κατ' αὐτοῦ τρέποι τῆς ὀργῆς, καλῶς ἔχειν τοῖς ἀρετῆς μεταποιουμένοις ὑπὲρ τοσῶνδε ἀνθρώπων πλήθους τελευτᾶν, ἔκρινε πιθανὸν ἡγεῖσθαι τῶν δεομένων τὸν λόγον.*

279 5. *Συγκαλέσας δὲ εἰς τὴν Τιβεριάδα τοὺς Ἰουδαίους, οἱ δὲ ἀφίκοντο πολλαὶ μυριάδες, κατασὰς ἐπ' αὐτῶν τήν τε ἐν τῷ παρόντι στρατείαν οὐ γνώμῃς ἀπέφαινε τῆς αὐτοῦ τοῦ δὲ αὐτοκράτορος τῶν πρασσομένων, τὴν ὀργὴν οὐδὲν εἰς ἀναβολάς, ἀλλ' ἐκ τοῦ παραχρῆμα ἐπιφέρεσθαι τοῖς πράγμασιν τοῖς παρακροᾶσθαι θάρσος εἰσφερομένοις· ᾧ καλῶς ἔχον ἐστὶν τόν γε τιμῆς τοσαύτης*
280 *ἐπιτετευχότα συγχωρήσει τῇ ἐκείνου οὐδὲν ἐναντίον πράσσειν· οὐ μὴν δίκαιον ἡγοῦμαι ἀσφάλειάν τε καὶ τιμὴν τὴν ἐμαυτοῦ μὴ οὐχ ὑπὲρ τοῦ ὑμετέρου μὴ ἀπολουμένου τοσούτων ὄντων ἀναλοῦν δια-*

§ 276 = bell. Iud. II 199.

AMWELatZonaras I p. 498.

3 **ἐπικειμένων*] *instante* Lat *ἐγκειμένων* coni. 3 *χρησαμένων*] *προσχρησαμένων* MW 6 **μυριάσιν ἀνθρώπων* tr. MW **ἐπαγαγεῖν* M 7 *ἔχειν*] *σχεῖν* E 8 *τὸν*] *τῶν* cod. Busb. E **ἡγεῖσθαι* M *ἡγείσθω* W 9 *ἐπιστείλας* — 13 *ὀργῆς*] *ut scriberet gaio et aut eius animum mitigans nihil per eum iniquum contingeret, aut si forsitan indignatione concitatur, quod eius minime mandata compleuerit et aduersus eum aliquid mali decerneret* Lat *ἐπιστεῖλαι* E post *Γαΐῳ* lacunam indicat Dindorf **αὐτῶν*] *αὐτῷ* MW *αὐτοῦ* ed. pr. *ὀργὴν* — 10 *ἐπιστολαῖς* om. E *ὀργῇ* ed. pr. 10 *ὀξέος*] Dindorf *ὀξέως* codd. **γὰρ* om. MW 11 **ἐπιμένοντας* M *ἅψεσθαι*] Bekker *ἅψασθαι* codd. E 12 **τι] τί* · A **τρέποι τῆς*] *πρέποιτο τῆσ*, litt. *το τῆσ* i. ras. m. 2 A *πρέποι τῆσ* W 13 **ἔχει* A **τοῖς*] *τῆσ* W 14 **ἔκρινε*] *ἔκρινεν* W *ἔκρινε γοῦν* Hudson *πιθανὸν* W *πιθανὸν* — 15 *λόγον* om. ELat 16 *τὴν* om. E **τιβεριάδα* W 17 *αὐτῶν*] *αὐτοὺσ* A 18 *στρατείαν, εἰ* ex *ι* corr. A *στρατιὰν* MWLat *ἀπέφηνε* MW 21 *ᾧ*] ed. pr. *ὃ* (i. ras. A) AMW *ἔχον ἐστὶν*] *ἔχοντεσ τὴν* MW *τόν*] *τό* W 24 *διακονουμένων* Hudson et Cocceji

κονούμενον τῇ ἀρετῇ τοῦ νόμου, ὃν πάτριον ὄντα πτριμάχητον ἡγεῖσθε, καὶ τῇ ἐπὶ πᾶσιν ἀξιώσει καὶ δυνάμει τοῦ θεοῦ, οὗ τὸν ναὸν οὐκ ἂν περιδεῖν τολμήσαιμι ὕβρει πεσεῖν τῆς τῶν ἡγεμονευόντων ἐξουσίας. στέλλω δὲ ὡς Γάιον γνώμας τε τὰς ὑμετέρας 281
διασαιρῶν καὶ πῃ καὶ συνηγορίᾳ χρώμενος ὑπὲρ τοῦ καθ' ὑμᾶς παρὰ γνώμην πεισομένην οἷς προύθεσθε ἀγαθοῖς. καὶ συμπράσσοι μὲν ὁ θεός, βελτίων γὰρ ἀνθρωπίνης μηχανῆς καὶ δυνάμεως ἡ κατ' ἐκεῖνον ἐξουσία, πρυτανεύων ὑμῖν τε τὴν τήρησιν τῶν πατρίων καὶ αὐτῷ τὸ μηδὲν ἀνθρωπείας παρὰ γνώμην βουλεύσεσι τιμῶν τῶν εἰωθυιῶν ἁμαρτεῖν. εἰ δ' ἐκπικρανθεὶς Γάιος εἰς ἐμὲ τρέψει τὸ 282
ἀνήκεστον τῆς ὀργῆς, τλήσομαι πάντα κίνδυνον καὶ πᾶσαν ταλαιπωρίαν συντιθοῦσαν τῷ σώματι καὶ τῇ τύχῃ ὑπὲρ τοῦ μὴ ὑμᾶς τοιούσδε ὄντας ἐπὶ οἵοις ἀγαθαῖς ταῖς πράξεσι διωλλυμένους θεωρεῖν. ἄπειτε οὖν ἐπὶ ἔργα τὰ αὐτῶν ἕκαστοι καὶ τῇ γῇ ἐπιτονεῖτε. 283
πέμψω δ' αὐτὸς ἐπὶ Ῥώμης καὶ τὰ πάντα ὑπὲρ ὑμῶν δι' ἐμαυτοῦ καὶ τῶν φίλων οὐκ ἀποτραπήσομαι διακονεῖν."

6. Ταῦτα εἰπὼν καὶ διαλύσας τῶν Ἰουδαίων τὸν σύλλογον 284
προμηθεῖσθαι τῶν εἰς τὴν γεωργίαν ἠξίου τοὺς ἐν τέλει καὶ καθομιλεῖν τὸν λαὸν ἐλπίσι χρησταῖς. καὶ ὁ μὲν εὐθυμεῖν τὸ πλῆθος ἐδίδασκεν· ὁ θεὸς δὲ παρρησίαν ἐπεδείκνυτο τὴν αὐτοῦ Πετρωνίῳ καὶ τὴν ἐπὶ τοῖς ὅλοις σύλληψιν· ἅμα τε γὰρ ἐπανέτο τοῦ λόγου, 285
ὃν πρὸς τοὺς Ἰουδαίους εἶπεν, καὶ αὐτίκα ἐτὸν ἡμέραι μέγαν παρ' ἐλπίδα τοῖς ἀνθρώποις γενόμενον διὰ τὸ ἐκείνην τὴν ἡμέραν αἴθριον ἔωθεν οἶσαν οὐδὲν ὄμβριον ἀποσημαίνειν ἐκ τῶν περὶ τὸν οὐρανὸν καὶ τὸ πᾶν ἔτος αὐχμῷ μεγάλῳ κατισχημένον ἐπ' ἀπογνώσει ποιεῖν τοὺς ἀνθρώπους ὕδατος τοῦ ἄνωθεν, εἰ καὶ σύννεφόν

§ 280 = bell. Iud. II 201.

AMWE Lat

2 ἡγεῖσθαι A¹M *ἡγῆσθαι* W οἷ] Cocceji, om. codd. 7 *τολμήσοιμι* MW 4 *στέλλων* MW *scribam* Lat *στελῶ* coni. 5 *καί πῃ — 6 ἀγαθοῖς*] *quantum possim causam adiuuans et uestrum in bono propositum* Lat *καθ' ἡμᾶς — 6 οἷς*] *μὴ ὑμᾶς παρορῶν πεισομένους ἐφ' οἷς* Hudson 6 *παρὰ*] *μὴ παρὰ* Holwerda *πεισομένου* Cocceji *πειθομένου* coni. *προύθεσθαι* W 9 *αὐτῶι* ex corr. A *αὐτὸ* M **ἀνθρωπείοις* MW *βουλεύμασι* M *βουλήσεσι* E 10 **δ' ἐκπικρανθεὶς*] *δὲ καὶ πικρανθεὶς* A *etiam exasperetur* Lat 12 *καὶ τῇ τύχῃ* om. Lat *τῇ τύχῃ*] *ψυχῇ* M *τῇ ψυχῇ* WE **ἡμᾶσ* W 13 *οὕτως*] *ταῖσ* E *ταῖς* om. MWE 14 *ἐπὶ*] *ἐπὶ τὰ* E **αὐτῶν* ex corr. A 18 *τοὺς*] *καὶ τοὺσ* M 20 *ὁ δὲ θεὸσ* tr. E *παρρησίαν*] *παρουσίαν* E *praesentiam* Lat *ἐπιδείκνυτο* W *ἐπεδείκνυεν* E 22 *τοὺς* om. E 24 *ἔωθεν* om. MW *ὄμβριον* MW 25 *κατϊσχημένον* E sententia aliter constructa 26 **τοῦ* ex *τῶ* corr. A *τῶν* MW *σύννεφόν, νν* ex *νμ* corr. A

286 ποτε θεάσαιντο τὸν οὐρανόν. ὥστε δὴ τότε πολλοῦ καὶ παρὰ τὸ εἰωθὸς καὶ παρὰ τὸ ἑτέρῳ δόξαν ἀφιγμένου ὕδατος τοῖς τε Ἰουδαίοις ἐλπὶς ἦν ἐπ' οὐδαμοῖς ἀντιχήσειν Πετρώνιον ὑπὲρ αὐτῶν δεόμενον. ὅ τε Πετρώνιος κατεπέπληκτο μειζόνως ὁρῶν ἐναργῶς τὸν θεὸν τῶν Ἰουδαίων προμηθούμενον καὶ πολλὴν ἀποσημήναντα τὴν ἐπιφάνειαν. ὡς μηδ' ἂν τοῖς ἔργῳ προθεμένοις τἀναντία φρο-
287 νεῖν ἰσχὺν ἀντιλέξεως καταλελεῖφθαι. ὡς δὲ καὶ πρὸς τὸν Γάιον σὺν τοῖς λοιποῖς ὁπόσα ἔγραφεν, ἐταγωγὰ δὲ ἦν τὰ πάντα καὶ παντοίως παρακαλοῦντα μὴ τοσαύτας μυριάδας ἀνθρώπων ἀτονοεῖν, ὡς εἰ κτείνοι, οὐ γὰρ δίχα γε πολέμου παραχωρήσειν τοῦ νομίμου τῆς θρησκείας. προσόδου τε τῆς ἀπ' αὐτῶν ἀποστερεῖσθαι καὶ τῷ
288 τροπαίῳ τῆς ἀρᾶς ὑποτίθεσθαι τὸν μέλλοντα αἰῶνα. κἄλλως θείου τοῦ προεστηκότος αὐτῶν τὴν δύναμιν ὡς ἀκραιφνῆ ἀπέφαινεν καὶ μηδὲν ἐνδοιαστὸν ἐπὶ δυνάμει τῇ αὐτῆς ἐπιδείκνυσθαι καταλείπουσαν. καὶ Πετρώνιος μὲν ἐν τούτοις ἦν.

289 7. Ἀγρίππας δὲ ὁ βασιλεύς, ἐτύγχανεν γὰρ ἐπὶ Ῥώμης διαιτώμενος, προύκοπτε φιλίᾳ τῇ πρὸς τὸν Γάιον μειζόνως. καὶ ποτε προθεὶς δεῖπνον αὐτῷ καὶ πρόνοιαν ἔχων πάντας ὑπερβαλέσθαι τέλεσί τε τοῖς εἰς τὸ δεῖπνον καὶ παρασκευῇ τοῦ εἰς ἡδονὴν φέ-
290 ροντος, ὡς μὴ ὅπως ἄν τινα τῶν λοιπῶν, ἀλλὰ μηδ' αὐτὸν Γάιον πιστεύειν ποτε ἰσωθῆναι θελήσοντα οὐχ ὅπως ὑπερβαλέσθαι· τοσοῦτον ὁ ἀνὴρ τῇ παρασκευῇ πάντας ὑπερῆρεν καὶ τῷ τὰ πάντα

AMWELat Zonaras I p. 498 Exc. Peiresc.

1 *θεάσαιντο, ιν* i. ras. A *δὴ τότε*] *δή ποτε* A **πολλοί* A 2 *ἑτέρωσ* MW *ἐφιγμένου* AE 3 *ἐπ' οὐδαμοῖς ἀντχήσειν*] *ἐπ' οὐδαμοῖσ ἀντχήμασι·* A *οὐδαμῶσ ἀντχήσειν* MW et i. marg. A *οὐκ ἀντχήσειν* E *in nullo frustratum iri* Lat 4 **ὅ τε Πετρώνιος*] *ὁ πετρώνιοσ δὲ* MW *κατεπέπληκτο* W *κατέπληκτο* E 5 **προμηθούμενον, η* i. ras. A 7 ante *ὡς* lacunam statuit Hudson, u. 8 post **ἔγραφεν* Dindorf **δ'* MW 8 **πάντα*] *γράμματα* coni. 10 *εἰ κτείνοι*] *κτείνει* M *ἐκτείνοι* W *μί νομον* M 11 *καὶ τῷ* — 12 *αἰῶνα*] *memoriam etiam non bonam romani nominis in posteriora tempora derelinqui* Lat, quae ualde arrident; in *τῷ τροπαίῳ* Romanorum mentio latere potest 12 *τροπαίῳ*] *ἀποτροπαίῳ* Cocceji *κἄλλως*] *καὶ ἄλλωσ* MW *καὶ καλῶσ* A **θείου, ου* i. ras. A 13 *ἀκραιφνῆ·* A *ἀποφαίνειν καὶ, νκ* paullo pressius scripta A 14 *ἐνδοιαστὸν, οι* i. ras., accentum suppl. m. 1 A *δύναμιν τὴν* MW *καταλιποῦσαν* M *καταλιποῦσα* W 15 *ἐν*] *ἐπὶ* M 16 incip. Exc. 17 **προύκοπτεν* W 18 *προσθεὶσ* E *ὑπερβαλέσθαι*] E Exc *ὑπερβαλλέσθαι* codd. 21 *πιστεύειν* om. MW Exc *θελήσαντα* MW *ὑπερβάλλεσθαι* A[1] *ὑπερβαλλέσθαι* M *τοσοῦτον* — 193, 1 *παρασχεῖν* om. Lat 22 *ὁ* om. MWExc *ἀνὴρ τῇ παρασκευῇ*] *ἀνερ η*, inter *ρ* et *η* lacuna ca. 8 litt. Exc *ἅπαντασ* E

ἡ Καίσαρος ἐκφροντίσαι παρασχεῖν. καὶ ὁ Γάιος ἐκθουμάσας τήν τε 291
διάνοιαν αὐτοῦ καὶ τὴν μεγαλοπρέπειαν, ὡς ἐπ' ἀρίστοις τῇ αὐτοῦ
βιώσοιτο καὶ ὑπὲρ δύναμιν τῶν χρημάτων εὐπορίᾳ χρήσασθαι, βου-
λόμενός τε μιμήσασθαι τὴν Ἀγρίππου φιλοτιμίαν ἐφ' ἡδονῇ τῇ
αὐτοῦ πραττομένην, ἀνιεμένου ὑπὸ οἴνου καὶ τὴν διάνοιαν εἰς τὸ
πλαδαρώτερον ἐντεταμμένος, φησὶν ἐκ συμποσίου παρακαλοῦντος εἰς
πότον· „Ἀγρίππα, καὶ πρότερον μέν σοι τιμὴν συνήδειν ἣ ἐχρῶ τὰ 292
πρὸς ἐμὲ καὶ πολλὴν εὔνοιαν μετὰ κινδύνων ἀποδειχθεῖσαν, οἷς
ὑπὸ Τιβερίου περιέστης δι' αὐτήν, ἐπιλείπειν τε οὐδὲν καὶ ὑπὲρ
δύναμιν ἀρετῇ χρῆσθαι τῇ πρὸς ἡμᾶς. ὅθεν, αἰσχρὸν γὰρ ἡσσᾶ-
σθαι με ἐπὶ τῇ σῇ σπουδῇ, ἀναλαβεῖν βούλομαι τὰ ἐλλελειμμένα
πρότερον· ὀλίγον γὰρ ἂν δοῦναι σοι δωρεῶν ἐχόμενον ἀπτιστο- 293
ράσαμην. τὸ γάρ, ὅπερ σοι ῥοπὴν ἂν προσθείη τοῦ εὐδαίμονος,
δεδιακονήσεται γάρ σοι προθυμία τε καὶ ἰσχύι τῇ ἐμῇ." καὶ ὁ μὲν
ταῦτα ἔλεγεν οἰόμενος γῆν τε πολλὴν τῆς προσόδου αἰτήσεσθαι
ἢ καί τινων προσόδους πόλεων, ὁ δὲ καίπερ τὰ πάντα ἐφ' οἷς 294
αἰτήσαι παρασκευασάμενος οὐκ ἐφανέρου τὴν διάνοιαν, ἀλλ' ἐκ τοῦ
ὄξους ἀμείβεται τὸν Γάιον, ὅτι μήτε πρότερον κέρδος τὸ ἀπ' αὐ-
τοῦ παραδοκῶν παρὰ τὰς Τιβερίου ἐπιστολὰς θεραπεύσειεν αὐτὸν
οὔτε νῦν πράσσειν τι τῶν εἰς χάριν τὴν ἐκείνου κερδῶν οἰκείων ἕν
τισι κήψοι. μεγάλα δὲ εἶναι τὰ προδεδωρημένα καὶ περαιτέρω 295
τοῦ θράσει χρωμένου τῶν ἐλπίδων· καὶ γὰρ εἰ τῆς σῆς ἐλάττονα
γέγονεν δυνάμεως, τῆς γ' ἐμοῦ τοῦ εἰλικρότος διανοίας τε καὶ ἀξιώ-
σεως μεῖζονα." καὶ ὁ Γάιος ἐκπλαγεὶς τὴν ἀρετὴν αὐτοῦ πλειόνως 296

AMWELat Zonaras I p. 498 Exc Peiresc.

κατηγορίας ποιεῖσθαι τῶν δεσποτῶν ἐφ' οἷστισιν ἐθελήσειεν ἐγκλήμασιν· δεινὰ γὰρ πάντα ἦν, ὁπόσα μέλλοι λέγεσθαι, διὰ τὸ χαρίτι τε καὶ ὑπαγορεύσει τῇ ἐκείνου τὰ πολλὰ γίνεσθαι, ὥστε ἤδη καὶ 13 Κλαυδίου ἐπιλῦμα ποιήσασθαι Πολυδεύκης ὁ δοῦλος κατηγορίαν, καὶ Γάιος ἠνείχετο κατὰ πατρώου τοῦ αὐτοῦ δίκης θανάτου λεγομένης ἐπ' ἀκροάσει συνελθεῖν ἐλπίδι τοῦ παραλαβεῖν δύναμιν ἀνελεῖν αὐτόν. οἱ μὲν ἐξεγένετό γε αὐτῷ. ἀναπεπλησμένοι δὲ αὐτῷ 14 συνοφαντιῶν καὶ κακῶν πᾶσαν τὴν οἰκουμένην, ἧς ἐπῆρχεν, καὶ πολλὴν τὴν δουλοκρατίαν ἐπιῤῥωμένου τοῖς δεσπόταις ἐπιβουλαὶ τὰ πολλὰ ἤδη συνίσταντο, τῶν μὲν ἐπ' ἀμύνῃ ὧν πάθοιεν ὀργὴν ποιουμένων, τῶν δὲ πρὶν ἐμπεσόντες κακῶν τιχεῖν μεγάλων τιθεμένων τὸ μεταχειρίσασθαι τὸν ἄνθρωπον. ὅθεν, ἐπειδὴ τοῖς τε 15 ἁπάντων νόμοις καὶ τῷ ἀσφαλεῖ μεγάλην συνήνεγκεν εὐδαιμονίας ῥοπὴν ὁ θάνατος αὐτοῦ ἔθνει τε τῷ ἡμετέρῳ οὐδὲ εἰς ὀλίγον ἐξεγεγόνει μὴ οὐκ ἀπολωλέναι μὴ ταχείας αὐτῷ τελευτῆς παραγενομένης, βούλομαι [δὲ] δι' ἀκριβείας τὸν πάντα περὶ αὐτοῦ λόγον διελθεῖν, ἄλλως τε ἐπειδὴ καὶ πολλὴν ἔχει πίστιν τοῦ θεοῦ τῆς 16 δυνάμεως καὶ παραμυθίαν τοῖς ἐν τύχαις κειμένοις καὶ σωφρονισμὸν τοῖς οἰομένοις ἀίδιον τὴν εὐτυχίαν, ἀλλὰ μὴ ἐπιμεταφέρειν κακῶς ἀρετῆς αὐτῇ μὴ παραγενομένης.

3. Ὁδοὺς μὲν δὴ τρεῖς ὁ θάνατος αὐτοῦ παρεσκευάζετο καὶ 17 τούτων ἑκάστης ἄνδρες ἀγαθοὶ τὴν ἡγεμονίαν εἶχον. Αἰμίλιός τε γὰρ Ῥῆγλος ἐκ Κορδύβης τῆς ἐν Ἰβηρίᾳ γένος συνεῖχέν τινας ἢ δι' ἐκείνων ἢ δι' αὐτοῦ πρόθυμος ὢν ἄρασθαι Γάιον. ἑτέρα δὲ αὖ- 18 τοῖς συνεκροτεῖτο, ἧς Χαιρέας Κάσσιος χιλίαρχος ἡγεμὼν ἦν. Μινουκιανὸς δὲ Ἄννιος οὐκ ὀλίγῃ μοῖρα τῶν ἐπὶ τὴν τυραννίδα παρεσκευασμένων ἦν. αἰτία δ' αὐτοῖς μίσους τοῦ πρὸς Γάιον συνελ- 19

AMWE Lat

1 ἐθελήσειεν MWE 2 *λέγεσθαι] γενέσθαι MW 7 ἀναπεπλη··κότι A ἀναπεπληκότι MWE ἀναπεπληκότος ed. pr. *αὐτῷ] αὐτὸν in αὐτὸν corr. A αὐτοῦ Hudson 9 δουλοκρατίαν, ί i. ras. A δουλοκρατείαν MWE ἐπιβουλαῖσ MWE 10 συνίσταντα E *ὀργῇ MW 11 *τῶν δὲ — 12 ἄνθρωπον] *ab aliis autem praeuenire homines cupientibus, cum sibi ab eis pro culpis suis aliquod supplicium imminere sentirent* Lat 14 τε s. M 16 δὲ] om. Lat consentiente Hudsono recte, nisi δὴ manus 17 καὶ ἐπειδὴ tr. Cocceji 19 ἐπιμεταφέρειν] ἐπιφέρειν W ἐπὶ μέγα φέρειν coni. ἐπὶ μέγιστον φέρειν ed. pr. κακῶς] κακὸν ed. pr. κακῶν coni. 21 δὴ om. MWE 23 γὰρ om. MWE ῥηγῶλος, γοῦ i. ras. A ῥίγλος E *Κορδύβης] *coribe* cod. A Lat 25 *συνεκροτεῖτο] συνεκροτεῖ[το τίσ, τεῖ suppl., το τίσ i. ras. m. 2 A 26 *Ἄννιος om. Lat *τῇι τυραννίδι A 27 *δὲ MW *μίσει τῷ coni. συνελθεῖν — 214, 12 ὑπολαμβάνων om. E

θεῖν. Ῥήγλῳ μὲν τὸ ἐπὶ πᾶσιν ὀργίλον καὶ μίσει χρώμενον πρὸς τὰ μετ' ἀδικίας ἐξαγόμενα· καὶ γὰρ ἔχει τι θυμοειδὲς ἐν τῇ διανοίᾳ καὶ ἐλευθέριον, ὑφ' οὗ μηδὲ στέγειν προστίθεσθαι τῶν βουλευμάτων· πολλοῖς γοῦν ἀνεκοινώσατο καὶ φίλοις καὶ ἄλλοις δο-
20 κοῦσιν αὐτῷ δραστηρίοις. Μινουκιανὸς δὲ τὰ μὲν Λεπίδου τε 5
ἐκδικία, φίλον γὰρ αὐτῷ τὰ μάλιστα ὄντα τοῦτον καὶ τῶν πολιτῶν
σὺν ὀλίγοις ἀναιρεῖ Γάιος, καὶ ἄλλως φοβηθεὶς τὰ περὶ αὐτὸν διὰ
τὸ πᾶσιν ὁμοίως τὸν Γάιον ἐπὶ θάνατον ἀνακειμένην ἐπαφιέναι
21 τὴν ὀργὴν ἐπὶ τὴν ἐγχείρησιν ἐλθεῖν. Χαιρέαν δὲ αἰσχύνην φέ-
ροντα ὀνείδη τε εἰς τὴν ἀνανδρίαν ὑπὸ τοῦ Γαΐου προφερομένου, 10
καὶ ἄλλως τὸ ἐφ' ἡμέρᾳ κινδυνεύειν φιλίᾳ καὶ θεραπείᾳ τὴν Γαΐου
22 τελευτὴν οὐ πάντ' ἐλεύθερον ὑπολαμβάνων. οἱ δὲ καὶ πᾶσι κοινῇ
προτεθῆναι τὴν ἐπὶ τῷ πράγματι σκέψιν τήν τε ὕβριν θεωμένοις
καὶ ἐπιθυμοῦσιν ἀκμὴν ἐπ' ἀλλήλων ἀκμάζουσαν διαφυγεῖν ἀρα-
μένοις τὸν Γάιον· ἴσως μὲν γὰρ ἂν κατορθῶσαι. καλῶς δὲ κατορ- 15
θοῦσι τηλικούτων ἀγαθῶν σχεῖν ἐπὶ σωτηρίᾳ τῆς τε πόλεως καὶ
τῆς ἡγεμονίας πονοῦσι καὶ μετὰ ὀλέθρου ἅπτεσθαι τοῦ πράγματος.
23 παρὰ πάντα δὲ Χαιρέαν ἐπείγεσθαι ὀνόματός τε ἐπιθυμίᾳ μείζονος
καὶ ἄλλως ὑπὸ τοῦ ἀδεέστερον προσιέναι τῷ Γαΐῳ διὰ τὴν χιλιαρ-
χίαν ῥᾳστώνης αὐτῷ κτείνειν ἐσομένης. 20
24 4. Ἐν τούτῳ δ' ἱπποδρομίαι ἦσαν· καὶ σπουδάζεται γὰρ Ῥω-

AMWE Lat

1 οἱ ῥήγλω A 2 μετὰ MW ἔχειν MW εἶχεν ed. pr. 3 στέγην Hudson 5 *Μινουκιανὸν* Hudson 7 *σὺν ὀλίγοις*] om. M *ἐν ὀλίγοις* coni. *φοβηθεὶς — αὐτὸν*] *φοβηθέντα περὶ αὐτοῦ* Hudson 9 *ἐλθεῖν*] *ἦλθε* Cocceji, cf. Holwerda p. 136 *Χαιρέαν — 12 ὑπολαμβάνων*] *chaereas uero confusionem et gai obprobria non ferebat, quibus eum arguebat, quod quasi nihil in se fortitudinis gereret; super haec etiam periculum quoque sibi per dies singulos imminere cernebat; mortem quoque gai omnes honestum opus et liberum libenter excipere putabant* Lat *Χαιρέας* Dindorf *αἰσχύνῃ* Hudson *φέρων τὰ ὀνείδη* Dindorf 10 *τε*] *τὰ* Hudson *ἀνανδρίαν*] *ἀνδρίαν* M *προσφερομένου* MW *προφερόμενα* Hudson 12 *οὐ πάντ' ἐλεύθερον*] *οὐκ ἀνελεύθερον* Hudson *οἱ δὲ* — 17 *πράγματος*] *ceteri uero cupiebant super hoc habere commune consilium uidentes tantas iniurias et exemplum prauum dari cupientibus principatum. omnes ergo ut tantis cladibus liberarentur desiderabant aduersus gaium aliquid geri; decere namque ad talia negotia bonos uiros accedere pro salute pictatis et imperii macula auferenda etiam cum suo discrimine* Lat 13 **προστεθῆναι* M **πράγματι*] *γράμματι* MW *σκέψιν*] *σκέψιν φασί* E 14 *ἀκμὴν*] *ἀρχὴν* ut uid. Lat *αὐτὴν* Hudson *ἐπ' ἀλλήλων*] *ἐπ' ἄλλων* coni. 15 *καλῶς*] *καλὸν* Hudson 16 *ἐπὶ*] *οἱ ἐπὶ* Hudson 17 *ποθοῦσι* Hudson *ὀλέθρου, ου* ex *ον* corr. uid. A 18 **πάντασ* M 19 **προσεῖναι* MW 21 *δὲ* MWE

μαίοις ἥδε ἡ θεωρία δεινῶς, συνίασίν τε προθύμως εἰς τὸν ἱππόδρομον καὶ ἐφ' οἷς χρήζοιεν δέονται τῶν αὐτοκρατόρων κατὰ πλῆθος συλλήδην, οἱ δὲ ἀνταιτίως τὰς δεήσεις κρίνοντες οὐδαμῶς ἀχαριστοῦσιν. ἐκέλευον δὴ καὶ τὸν Γάιον ἐκθύμῳ τῇ ἑκατείᾳ χρώ- 25
5 μενοι τῶν τε τελῶν ἐπανίεναι καὶ τῶν φόρων ἐπικουφίζειν τι τοῦ ἐπαχθοῦς. ὁ δ' οὐκ ἠνείχετο, καὶ πλέον τι τῇ βοῇ χρωμένων ἄλλοις ἄλλη διαπίμπλης κελεύει τοὺς βοῶντας λαβεῖν τε καὶ μιᾶδιν εἰς ἀναβολὰς ἀντιεῖν προαγαγόντας. καὶ ὁ μὲν ἐπίλοιπα ταῦτα καὶ 26
οἷς προσετέτακτο ἔπρασσον, πλεῖστοί τε ἦσαν οἱ ἐπὶ τοιούτοις
10 ἀποθανόντες. καὶ ὁ δῆμος ἐώρα μέν, ἠνίχετο δὲ παυσάμενος τῆς βοῆς, ἐν ὀλίγῳ ἕνεκα τῶν χρημάτων ὀφθαλμοῖς ὁρῶντες τὴν ἐπὶ τοιούτοις παραίτησιν εἰς θάνατον αὐτοῖς φέρουσαν. ταῦτα Χαι- 27
ρέαν ἐπῆγαγεν μειζόνως ἅπτεσθαί τε τῆς ἐπιβουλῆς καὶ καίειν κατὰ τῶν ἀνθρώπων ἐξεγερωκότα τὸν Γάιον, καὶ πολλάκις μὲν καὶ παρὰ
15 τὰς ἑστιάσεις ἐμέλλησεν ἐπιχειρεῖν, οὐ μὴν ἀλλ' ἐπείχετο λογισμῷ, τὸ μὲν κτείνειν οὐκέτ' ἐνδοιαστὸν κεκρικώς, τὸν δὲ καιρὸν περισκοπῶν, ὅπως μὴ εἰς κενόν, ἀλλ' ἐπὶ καταπράξει τῶν βεβουλευμένων ταῖς χερσὶ χρῷτο.

5. Ἐστρατεύετο δὲ πολὺν ἤδη χρόνον οὐχ ἡδονῇ φέρων Γαΐου 28
20 τὴν ἀναστροφήν. ἐπεὶ δὲ αὐτὸν ἴσταται Γάιος εἰσπραξόμενον τούς τε φόρους καὶ ὅσα ἄλλα καταβαλλόμενα εἰς τὸν Καίσαρος θησαυρὸν ἐφυστερίζει τοῖς καιροῖς διὰ τὸ ἐπιδιπλασιάζεσθαι τὴν δύναμιν αὐτῶν, χρόνον ἐκεῖ ποιεῖται τῇ εἰσπράξει τρόπῳ τῷ αὐτοῦ χρώμενος μᾶλλον ἢ τῇ Γαΐου προστάξει, διὰ τὸ φειδοῖ χρῆσθαι 29
25 τὰς τύχας οἴκτῳ λαμβάνων τῶν ὑπὸ τὴν εἴσπραξιν εἰς ὀργὴν προυκαλεῖτο τὸν Γάιον μαλακίαν ἐπικαλοῦντα αὐτῷ τοῦ σχολῇ συνάγεσθαι αὐτῷ τὰ χρήματα. καὶ δὴ τά τε ἄλλα ὕβριζεν εἰς αὐτὸν καὶ ὁπότε τὸ σημεῖον αὐτῷ τὸ τῆς ἡμέρας καθηκούσης εἰς αὐτόν, ἡ-

---

AMWE Lat

1 τε] δὲ MWE 3 *ἀναντιλέκτως MW κρίναντες MWE 4 *καὶ τὸν, litt. καὶ τ i. ras. angustiore m. 2 A 5 τε om. MWE τῶν φόρων om. MWE 6 δὲ MWE et ex corr. A τι om. E 8 προάγοντας MW 9 *ἔπραττον M 10 *ἠνείχετο, ἡ i. ras. A 11 ἐν ὀλίγῳ om. E ἕνεκα] τὴν ἕνεκα MWE τὴν ἕνεκα τῶν χρημάτων ἐπὶ τοιούτοις παραίτησιν ὁρῶντες θάνατον αὐτοῖς φέρουσαν E τὴν om. MWE 12 *αὐτοῖς] αὐτοὺς A 15 *ἐμέλησεν MW 16 οὐκέτι MW 17 ἐπισκοπῶν MWE 19 ἐστρατεύετο] ἐστραγγεύετο Naber *militabat* Lat 20 τὴν συναναστροφὴν MW ἵσταται] ἵᾶται M ἵᾶτε W ἐνιστᾶ E ἵσταται | γάϊος, ται i. ras., γάϊ suppl. A *εἰσπραξόμενος W 21 ἄλλα ὅσα tr. MWE 22 ἐπιδιπλασιάσασθαι M διπλασιάσασθαι WE 23 εἰσπράξει] E ἐκπράξει codd. 25 τὰς τύχας om. E οἴκτῳ MWE 27 αὐτῷ om. MW ὕβριζεν] E ὑβρίζειν codd. 28 αὐτῷ τὸ] αὐτῶ παρεῖχε τὸ E αἰτοῖτο coni.

30 λεά τε ἐδίδου τὰ ὀνόματα. καὶ ταῦτα αἰσχύνης ἀνάπλεα καὶ ταῦτα
ἔπρασσεν αὐτὸς οὐκ ἀτιλλαγμένος ἔν τινων τελεταῖς μυστηρίων,
ὧς αὐτὸς συνίστατο, στολάς τε ἐνδυόμενος γυναικείους καί τινων
περιθέσεις πλοκαμίδων ἐπινοῶν ἄλλα τε ὁπόσα ἐπικαταψεύσασθαι
θηλύτητα τῆς ὄψεως ἔμελλεν. αὐτὸς τὴν ἐπὶ τοιούτοις αἰσχύνην 5
31 ἐτόλμα Χαιρέᾳ προσκαλεῖν. Χαιρέᾳ δὲ καὶ ὁπότε μὲν παραλαμ-
βάνοι τὸ σημεῖον ὀργὴ παρίστατο, μειζόνως δ' ὁπότε παραδιδοίη,
γελώμενος ὑπὸ τῶν παραλαμβανόντων, ὥστε καὶ οἱ συγχιλίαρχοι
παιδιὰν ἐποιοῦντο αὐτόν· ὁπότε γὰρ αὐτὸς μέλλοι τὸ σημεῖον παρ'
αὐτοῦ Καίσαρος κομίζειν, προύλεγόν τινα τῶν εἰωθότων φέρειν εἰς 10
32 παιδιάν. διὰ ταῦτα δὲ αὐτῷ καὶ Θάρσος παρίστατο κοινωνούς
τινας παραλαμβάνειν, ὡς οὐκ ἐπ' ὀλίγοις ὀργῇ χρώμενος. καὶ ἦν
γὰρ Πομπήδιος συγκλητικὸς μέν, τὰς ἀρχὰς δὲ διεληλυθὼς σχεδὸν
ἁπάσας, Ἐπικούρειος δ' ἄλλως καὶ δι' αὐτὸ ἀπράγμονος ἐπιτηδευ-
33 τὴς βίου. τοῦτον ἐνδείκνυσιν Τιμίδιος ἐχθρὸς ὢν ὡς λοιδορίᾳ χρη- 15
σάμενον ἀπρεπεῖ κατὰ τοῦ Γαΐου μάρτυρα παραλαμβάνων Κυιν-
τιλίαν γυναῖκα τῶν ἐπὶ τῆς σκηνῆς ἐπιφανείᾳ τοῦ ὡραίου περισπού-
34 δαστον πολλοῖς τε οὖσαν καὶ τῷ Πομπηδίῳ. καὶ τῆς ἀνθρώπου,
ψευδὸς γὰρ ἦν, δεινὸν ἡγουμένης μαρτυρίαν ἐπὶ θανάτῳ τοῦ ἐρα-
στοῦ παρασχεῖν, βασάνων ἔχρῃζεν ὁ Τιμίδιος, καὶ Γάιος παρωξυμ- 20
μένος κελεύει τὸν Χαιρέαν μηδὲν εἰς ἀναβολὰς ἀλλ' εὐθέως βασα-
νίζειν τὴν Κυιντιλίαν, χρώμενος τῷ Χαιρέᾳ πρός τε τὰ φονικὰ
καὶ ὁπόσα στρεβλώσεως δέοιτο ὑπὸ τοῦ νομίζειν ὠμότερον διακο-
35 νήσεσθαι τὴν λοιδορίαν φεύγοντα τῆς μαλακίας. Κυιντιλία δ' ἐπὶ
τὴν βάσανον ἀγομένη τῶν συνιστόρων τινὸς ἐπιβαίνει τῷ ποδὶ 25
ἀποσιμαίνουσα θαρσεῖν καὶ μὴ τὰς βασάνους αὐτῆς δεδιέναι· διοι-

---

AMWE Lat

1 ἐδίδου] ἑκάλει E *τὸ ὄνομα MW *καὶ ταῦτα ἔπρασσεν] πράσσειν coni. 2 *ἔν τινων] ἔντιμον, μ ex ν corr., i. marg. γρ ατίμων A 3 τε om. MWE γυναικείας (ασ ex αισ corr. A) AE 5 ἔμελλον E 6 *προκαλεῖν A χαιρέας AWE Lat *Χαιρέᾳ — 8 παραλαμβανόντων] *chaereas autem quando haec uestimenta caesar sumebat indignatione ferebatur, maxime autem cum illa uestimenta ministris irripientibus redderet* Lat 7 ὀργὴ] Hudson ὀργῆ codd. E *δὲ MW 8 οἱ χιλίαρχοι E Lat 9 παρ' αὐτοῦ τὸ σημεῖον tr. M παρ' αὐτοῦ] παρὰ τοῦ Cocceji 10 *Καίσαρος] τῇ καίσαρος MW 11 Θάρσος] *fiducia maior* Lat 12 ὀλίγοις] ἀλόγοις MW *causis minoribus* Lat 13 *πομπή|ίος A¹ *pompidius* Lat 14 *ἐπικούρειος, ει i. ras. A ἐπικούριος MW δὲ MWE 15 *χρησάμενος MW 16 τοῦ om. E κυϊντελλιαν cod. Laur. E 18 **pompidio* Lat 19 *θανάτου A 21 *χαιρέαν, αι i. ras. M 22 *κυϊντιλλίαν A κυντιλιαν M *quintillam* cod. ALat 24 *κυϊντιλλία (ί suppl. uid. M) AM δὲ MWE 26 οἴσειν E

σειν γὰρ μετ' ἀνδραγαθίας. βασανίζει δ' αὐτὴν ὡμῶς ὁ Χαιρέας, ἄκων μέν, καὶ' ἀνάγκας δὲ τὰς ὑπὲρ αὐτοῦ, καὶ μηδὲν ἐνδοῦσαν ἦγεν εἰς τὴν ὄψιν τὴν Γαΐου διακειμένην οὐκ ἐν ἡδονῇ τοῖς θεωροῦσι. καὶ ὁ Γάιος παθών τι πρὸς τὴν ὄψιν τῆς Κυιντιλίας δει- 36
5 νῶς ὑπὸ τῶν ἀλγηδόνων διακειμένης τοῦ τε ἐγκλήματος ἡψίει καὶ αὐτὴν καὶ τὸν Πομπήδιον, ἐκείνην δὲ καὶ χρημάτων δόσει τιμᾷ παραμυθίας ἐσομένων λύπης τι ἦν ἐλελοίπειν εἰς τὴν εὐπρέπειαν τοῦ ἀφορήτου τῶν ἀλγηδόνων.

6. Ταῦτα δεινῶς ἠνίασεν τὸν Χαιρέαν ὡς αἴτιον ἀνθρώποις 37
10 καὶ ὑπὸ Γαΐου παρηγορίας ἀξίοις ἐν αἰτίᾳ κακῶν τὸ ὅσον ἐπ' αὐτοῖς γεγενημένοις. φησίν τι πρὸς Κλήμεντά τε καὶ Παπίνιον, ὧν Κλήμης μὲν ἦν ἐπὶ τῶν στρατοπέδων, Παπίνιος δὲ καὶ αὐτὸς ἦν χιλιαρχῶν, „ἀλλ' ἐπὶ φυλακῇ γε, ὦ Κλήμης, τὰ πάντα τοῦ αὐτο- 38
15 κράτορος ἡμῖν πράσσειν οὐκ ἐλλέλειπται· τῶν γὰρ συνομωμοκότων αὐτοῦ κατὰ τῆς ἡγεμονίας προνοίᾳ καὶ πόνοις τοῖς μὲν ἀπεστείναμεν, τοὺς δὲ ἐστρεβλώσαμεν ἐπὶ τοσοῦτον, ὡς ἐκείνους κἀκείνῳ γενέσθαι. μετὰ πόσης τε ἀρετῆς ἡμῖν ἐξάγεται τῶν στρατιῶν;" σιγήσαντος δὲ τοῦ Κλήμεντος καὶ τὸ μὲν αἰσχύνῃ φέρειν τὰ προσ- 39
20 ταττόμενα καὶ τῷ βλέμματι καὶ τῷ ἐρυθήματι παριστάντος, λόγῳ δὲ αὐτοῖς τὴν μανίαν τοῦ αὐτοκράτορος προσκαλεῖν ἄδικον ἡγουμένου προνοίᾳ τοῦ ἀσφαλοῦς, Χαιρέας ἤδη θάρσει χρώμενος ἐν 40
λόγοις ἦν κινδύνων ἀνειμένοις πρὸς αὐτὸν τὰ κατέχοντα δεινὰ τὴν πόλιν καὶ τὴν ἀρχὴν ἐπεξιών, καὶ ὅτι λόγῳ μὲν εἴη Γάιος ὁ τὴν

AMWE Lat

1 μετὰ MW δ' αὐτὴν] ταύτην MWE *ὠμῶς, ὠ ex ὁ corr. A 3 ὄψιν τοῦ γαΐου ME ἡδοναῖς E 4 *παθών τι] παθόντι W *κυϊντιλίασ (ί suppl. uid. M) AM *quintilliae* cod. A Lat 5 *τε] μὲν coni., nisi aut u. 6 τε pro δὲ scribendum est aut post *Πομπήδιον* quid excidit 6 πομπήιον A πομπαίδιον E *pompidium* Lat ἐκείνην — τιμᾷ] καὶ χρημάτων δόσει ἐκείνην τιμᾷ E 7 εὐπρέπειαν] εὐπραγίαν MW *pulcritudo* Lat 8 τοῦ] τοῦ τε coni. 9 ὡς αἴτιον — 13 χιλιαρχῶν] *quod per eum homines torqueretur, unde quoque suam iracundiam non sustinens dixit ad clementem atque papinium, quorum clemens quidem super militiam constitutus erat, papinius autem etiam ipse tribunus inter eos qui gai fuere custodes* Lat 10 ἐν αἰτίᾳ — 11 γεγενημένοις] γενόμενον E κακῶν ὅσον ἐπ' αὐτῷ γενόμενον Hudson 11 γενομένοις W παπήνιον AWE παμπήνιον M 12 ἦν om. MWE παπήνιοσ MWE et ex corr. A 13 *ἦν om. M κλήμη E et ex corr. A 14 ἐλέλειπται E συνωμοκότων MWE 16 ἐστρεβλώκαμεν MWE 17 μετὰ — στρατιῶν] *ita nostram militiam cum nimia seueritate tractamus* Lat πόσης] πάσης Ernesti τῶν στρατιῶν] τὸ τῶν στρατειῶν coni. 19 *περιστάντος A 20 προσκαλεῖν] καλεῖν E *aperire* Lat 21 *ἤδη] δὲ ἤδη W 23 *λόγῳ — 218, 1 προτιθέμενος] *uerbo quidem gaius illorum esse causa malorum diceretur* Lat

41 ἐπὶ τοιούτοις αἰτίαν προτιθέμενος, τοῖς δὲ τάληθὲς ἐξετάζειν πει-
ρωμένοις ἐγώ τε, ὦ Κλήμης, καὶ οὗτοσὶ ὁ Παπίνιος καὶ πρὸ ἡμῶν
σύ, ταύτας Ῥωμαίοις τε καὶ τῷ παντὶ ἀνθρωπείῳ τὰς στρέβλας
προσφερόμενοι, οὐκ ἐπιτάγμασιν τοῖς Γαΐου διακονούμενοι, γνώμῃ
42 δὲ τῇ αὐτῶν, εἰ καιρὸν καῦσαι τοσαύτῃ ἤδη χρώμενον ὕβρει εἴς τε
τοὺς πολίτας καὶ τοὺς ἐπικούρους διακονούμεθα, δορυφόροι καὶ δή-
μιοι καθεστηκότες ἀντὶ στρατιωτῶν καὶ τὰ ὅπλα ταυτὶ φέροντες
οὐχ ἑπτὰ ἐλευθερίας οὐδ' ἀρχῆς τῶν Ῥωμαίων, ἀλλ' ἐπὶ σωτηρίᾳ
τοῦ δουλευμένου τά τε σώματα αὐτῶν καὶ τὰ φρονήματα, μιαινό-
μενοι τῷ καθ' ἡμέραν αἵματι σφαγῆς καὶ βασάνου τῆς ἐκείνων,
43 μέχρι δή τις καὶ καθ' ἡμῶν διακονήσεται τοιαῦτα Γαΐῳ. οὐ γὰρ
εὐνοίᾳ γε πολιτεύσει διὰ τάδε πρὸς ἡμᾶς, δι' ὑφοράσεως δὲ μᾶλ-
λον καὶ ἄλλως τοῦ πολλοῦ τῶν ἀπολλυμένων ἀποδεδωκότος· οὐ
γὰρ δὴ στήσεταί ποτε Γαῖος τὰ τῆς ὀργῆς διὰ τὸ μὴ δίκην ἀλλ'
ἡδονὴν πέρας αὐτῆς τυγχάνειν· σκοποὶ δὲ προσκεισόμεθα καὶ οἱ,
δέον καὶ τοῖς πᾶσιν τὸ ἀνεπιβούλευτόν τε καὶ ἐλεύθερον βεβαιοῦν
καὶ ἡμῖν κινδύνων ἀπαλλαγὰς ψηφίσασθαι.
44 7. Κλήμης δὲ τὴν μὲν διάνοιαν τὴν Χαιρέου φανερὸς ἦν ἐπαι-
νῶν, σιγᾶν δ' ἐκέλευε, μὴ καὶ φοιτῶντος εἰς πλείονας τοῦ λόγου
καὶ διαχεομένων ὅπόσα κρύπτεσθαι καλῶς ἔχοι πρὶν τυχεῖν πρά-
ξαντας ἐκπύστου τοῦ ἐπιβουλεύματος γενομένου κολασθεῖεν, χρόνῳ
δὲ τῷ αὖθις καὶ τῇ ἀπ' αὐτοῦ ἐλπίδι παραδιδόναι τὰ πάντα ὡς
45 παραγενησομένης τινὸς αὐτοῖς ἐπικουρίας τυχαίου· αὐτὸν μὲν γὰρ
ἐπὶ γήρως ἀφῃρῆσθαι τὴν ἐπὶ τοιῷδε τόλμαν, τῶν μέντοι γε ὑπὸ
σοῦ, Χαιρέα, συντεθέντων τε καὶ ῥηθέντων ἀσφαλέστερα μὲν ἴσως

AMWE Lat

1 *ἐπὶ*] *ἐν τοῖσ* E **αἰκίαν* Dindorf *προστιθέμενοσ* MWE *προστεθειμέ-
νος* coni. **πειρομένοισ* W 2 *κλήμη* E et ex corr. A *παπήνιοσ* MW et ex
corr. A 3 **ῥωμαίοις* A *ἀνθρωπίω* W *ἀνθρωπίνω* E 4 **οὐκ*] *οὐ, ου* ex *οι*
corr. uid. A *καὶ* MW 5 *δὲ*] *τὲ* MWE **εἰ* om. ed. pr. **παρὼν* MW
**παῦσαι*] *παύσαιτο* M 8 *οὐδὲ* MWE 10 *τῷ*] E *τὸ* codd. 11 **δή*] *ἂν δή*|, i.
ras. m. 2 A *διακονήσεται*] coni. *διακονήσηται* codd. E *οὐ* — 12 *ἡμᾶς*]
non enim propter haec quae gerit cum fauore circa nos conuersabitur Lat
12 *γε*] coni. *τε* AW, om. M *τι* Dindorf *πολιτεύσει*] ex Lat *πολιτεύει* codd.
πρὸς] *τὸ πρὸς* coni. 13 *καὶ ἄλλως — ἀποδεδωκότος*] *ad haec etiam cum perem-
ptium multam stragem effecerit* Lat 15 *σκοποὶ* — 17 *ψηφίσασθαι*] *tum demum
etiam nos cunctis peremptibus coniungemur* Lat *προκεισόμεθα* W *καὶ αὐτοὶ*
W 17 **ψηφίσεσθαι* M 18 **τὴν*] *τοῦ* A 19 *δὲ* MWE *καὶ* om. E
**φοιτῶντασ* M **πλέονασ* MW 23 *αὐτοῖς*] *αὐτῇσ* E *αὐτὸν*] *αὐτὸσ* E,
fort. recte 24 *ἀφῃρῆσθαι*] *ἀφεῖσθαι* MWE 25 *Χαιρέα*] *χερεία* E *τε* om.
MW *μὲν* om. MWE *ἂν ἴσωσ* tr. MWE

ἂν ὑποθοίμην, εὐτρεπέστερα δὲ πῶς ἂν τις καὶ δύναιτο;" καὶ 46
Κλίμης μὲν ὡς αὐτὸν ἀναλύει διὰ λογισμῶν τῶν τε ἀνρωσθέντων
καὶ ὁπόσων αὐτὸς εἰρίζει περιφερόμενος. Χαιρέας δὲ ὁπόσος ὡς
Κορνήλιον Σαβῖνον ἠτείγετο καὶ αὐτὸν μὲν χιλίαρχον ὄντα, ἀξιό-
λογον δ' ἄλλως ἐξεπιστάμενος αὐτὸν καὶ τοῦ ἐλευθέρου ἐραστὴν
καὶ δι' αὐτὸ τῇ καταστάσει τῶν πραγμάτων πολεμίως διακείμενον,
χρῆζον ἐκ τοῦ ὀξέος ἔχεσθαι τῶν ἐγνωσμένων τῆς ἐγχειρήσεως 47
ἐπ' αὐτοῦ καλὰ νομίσας εἶναι προσθέσθαι καὶ δέει, μὴ ὑπὸ Κλί-
μεντος ἐπιφοίτησις γένοιτο αὐτῶν, ἄλλως τε τὰς μελλήσεις καὶ τῶν
καιρῶν τὰς ὑπερβολὰς πρὸς τῶν ὑπερβαλλομένων τιθέμενος.

8. Ἐπεὶ δὲ ἀσμένῳ καὶ τῷ Σαβίνῳ τὰ πάντα ἦν, ἅτε καὶ 48
αὐτῷ γνώμης μὲν οὐκ ἰστερουῦντι τῆς ἴσης, ἀπορίᾳ δὲ πρὸς ὄντινα
τινῶν ἀσφαλῆς εἴη τὰ πρὸς ἐκείνους σιγῇ παραδιδόντος, ἐπεί τε
ἀνδρὸς ηὐπόρητο οὐ μόνον στέγειν ὧν πύθοιτο προσθησομένου,
ἀλλὰ καὶ γνώμην φαιεροῦντος τὴν αὐτοῦ, πολλῷ μᾶλλον ἤρτο, καὶ
μηδὲν εἰς ἀναβολὰς ἐᾶτο τοῦ Χαιρέου. τρέπονταί τε ὡς Μινου- 49
κιανόν, αὐτοῖς μὲν ἐπιτηδεύσει ἀρετῆς καὶ τῷ ὁμοζήλῳ τοῦ μεγα-
λοφρονος συγγενῆ. Γαΐῳ δ' ὕποπτον τῆς Λεπίδου τελευτῆς, πάνυ
γὰρ δὴ φίλοι ἐγένοντο Μινουκιανός τε καὶ Λέπιδος, καὶ δείματι
κινδύνων τῶν καθ' αὑτόν. πᾶσι γὰρ τοῖς ἐν τέλει φοβερὸς ἦν 50
Γάιος, ὡς ἐπ' αὐτὸν ἕκαστον καὶ πρὸς οὕστινας τῇ μανίᾳ χρῆσθαι

AMWE Lat

1 *ὑποθείμην MW 2 αὐτὸν codd. E διὰ — 3 περιφερόμενος om. E 3 ὁπόσον MW 4 *sabinum cornelium tr. Lat 5 *δὲ MW αὐτὸν om. E 6 δι' αὐτὸ] διὰ τὸ MW, om. E propterea Lat 7 χρῆζων — 8 δέει] opus itaque putans, ut celeriter quae cogitabat inciperet, oportunum est ratus ut cum eo rem communicaret maxime timore Lat ὀξέως MWE 8 ὑπ' — προσθέσθαι om. E καλὰ] καλὸν MW 9 γένηται E *μελήσεις M 10 ὑπερβολὰς] ἀναβολὰς MWE 11 ἀσμένῳ ex corr. A ἀσμένως E 12 ὑστερουῦντι] ὑστεριοῦντι A ὑστεροῦν MW litt. ιοῦντι τῆσ i. ras. m. 2 A ἀπορίᾳ — 16 Μινουκιανόν] tunc quidem tacere se dixit et ad nullum de tali re suam proferre voluntatem, si uero tempus et hominem nanciscereturr, tunc non solum silentium abicerturum sed etiam suam uoluntatem manifestaturum esse firmabat. sed si aliquid uiriliter inquit uolumus efficere, nihil dilatione penitus detur. his igitur dictis exinde conuertuntur ad minucianum Lat ἀπορίᾳσ MW ὅντιν' ἂν coni. 13 παραδιδόντι Bekker ἐπεί τε] ἐπεὶ οὖν, litt. εἰ οὖν i. ras. angustiore A 14 *οὐ — 15 ἦρτο om. M στέγειν] στέργειν AE ὧν] ἃ E προσθησομένου] προσθεμένου E 16 ἐδεῖτο] ἐδεῖτο ποιεῖν E *τε om. W 18 *συγγενῆ — τελευτῆς] consanguineum tamen gai sed suspectum propter mortem lepidi Lat Γαΐῳ] E γαΐου codd. δὲ MWE 20 κινδύνων] E κινδυνεύων codd. periclitabatur Lat αὐτόν A αὐτόν, ο i. ras. M αὐτούσ E 21 ἐπ' αὐτὸν i. ras. M ἐπ' αὐτῶν ed. pr.

51 μὴ ἀφισόμενος, φανεροί τε ἀλλήλοις ἦσαν τῆς ἐπὶ πράγμασιν
ἀχθηδόνος, διασαφεῖν μὲν ἀλλήλοις ἄντικρυς τὴν διάνοιαν καὶ μῖσος τὸ πρὸς Γάιον φόβῳ τε κινδύνων ἀφέμενοι ἄλλως τε αἰσθανόμενοι τοῦ ἀλλήλων μίσους πρὸς τὸν Γάιον καὶ δι' αὐτὸ εὐνοίᾳ χρῆσθαι τὰ πρὸς ἀλλήλους μὴ ἀπηλλαγμένοι.

52 9. Γενομένων δ' αὐτοῖς ἀξιώσεων ἐπείτερ συνέβαλον, εἰωθότες καὶ πρότερον ὁπότε συνέλθοιεν τίμιον ἡγεῖσθαι τὸν Μινυκιανὸν ὑπεροχῇ τε ἀξιώματος, γενναιότατος γὰρ ἦν τῶν πολιτῶν, καὶ τῷ
53 ἐπὶ πᾶσιν ἐπαινουμένῳ, μᾶλλον ὡς ἄττοιτό τινος λόγου φθάσαι κἀκεῖνος εἴ ποτε Χαιρέαν, ὅ τι καὶ παραλάβοι σημεῖον τῆς ἡμέρας ἐκείνης· ἀοίδιμος γὰρ διὰ τῆς πόλεως ἦν ἡ εἰς τὸν Χαιρέαν διὰ τῶν
54 σημείων τῆς δόσεως προασσομένη ὕβρις. ὁ δὲ χάρματι τοῦ λόγου μηδὲν μελλήσας ἠμείβετο τοῦ Μινυκιανοῦ τὸ ἐπὶ τοιοῖσδε πιστεῦσαν δμιλίᾳ χρήσασθαι πρὸς αὐτόν, καί „σύ μοι δίδως, εἶπεν, σημεῖον ἐλευθερίας, χάρις δέ σοι τοῦ ἀνεγείραντός με μειζόνως ἥπερ εἴωθα
55 ἐμαυτὸν ὁρμᾶν, οὐδέν μοι χρεία πλειόνων ἔτι λόγων, οἵ με θαρσοῖεν, εἰ δὴ καὶ σοὶ ταῦτα δοκεῖ, γνώμης τε τῆς αὐτῆς κοινωνοὶ καὶ πρότερον ἦ συνελθεῖν γεγόναμεν. καὶ ἓν μὲν ὑπέζωμαι ξίφος,
56 ἀμφοῖν δ' ἂν ἀρκέσειεν. ὥστε ἴθι καὶ ἔργων ἐχώμεθα, ἡγεμών τ' ἴσθι, ἢ βούλοιο αὐτὸς κελεύων με χωρεῖν, ἢ καὶ προσοίσομαι, ἐπικουρίᾳ τῇ σῇ συμπράσσοντος τε πίσυνος. οὐδὲ ἀπορία σιδήρου τοῖς τὴν ψυχὴν εἰς τὰ ἔργα προσφερομένοις, δι' ἣν καὶ ὁ
57 σίδηρος δραστήριος εἴωθεν εἶναι. ὥρμηκά τε εἰς τὴν πρᾶξιν οὐχ

AMWE Lat

1 *ἀφισόμενος* W *φανεροί*] *φοβεροί* AELat, *γρ φανεροί* i. marg. A
ἐπί] ἐπὶ τοῖσ MWE 3 *φόβῳ τε*] *φόνω* E 4 *τὸν* om. E *δι' αὐτὸ*] E *δι' αὐτοῦ* codd. *ob cuius — suspicionem* Lat 5 *ἀπηλλαγμένοι*] E *ἀπηλλαγμένων* codd. 6 *δὲ* MWE **ἀξιώσεων*] *ἀξιώσεσω* MW *ἀξίων* E *συνέβαλλον* MWE
8 **γενναιώτατος* W **τῷ*] *τὸ* W 9 **μᾶλλον* — 10 *ὅ τι*] *inter principia sermonum praecedens ille verba facit ad cheream requirens quid* Lat *φθάσαι* WE 10 *εἴ ποτε*] *εἶπετο* W *ἤρετο* E 11 *ἀοίδιμοι* E *τῆς* om. E *εἰς*] *εἰ* W *τῆσ τῶν σημείων δόσεωσ* tr. E 12 **προασσομένη*] *πλανωμένη* M
13 **μελήσασ* M 14 *διδῶσ* WE *da* Lat 15 *ἀνεγείροντοσ* MW *ἀναγείρειν* E
**ἤπερ*] *εἶπερ* MW 16 **οὐδέν*] *neque* Lat *οὐδέ* ed. pr. *ἔτι*] *ἐστὶ* WE *erit* Lat **θαρσεῖεν* M *θαρσύνοιεν* Bekker 17 *γνώμησ, νω* et *η* i. ras. M *τε*] *γε* MW *αὐτῆς*] *αὐτοῖσ* E 18 *καὶ* (ante *ἓν*) om. E *ὑπέζωμαι, ξ* ex *ξ* corr. A *ὑπέζωσαι* ME 19 *ἀρκέσει* MWE *τ' ἴσθι ἢ βούλοι*] *τ' ἴσουσ* E 20 *ἴσθι ἢ*] Ernesti *ἴσθι εἰ* AM *ἰσθείη* W **κελεύον* W **με* ex *μεν* corr. A
ἢ] *οἱ* W *ἤ* E *ἢ καὶ* — 23 *εἶναι*] *quod si coepero tui operationi solatii persequar grassationi ferri concessa mihi te confortante fiducia, per quam scilicet ipsum quoque ferrum efficacius solet existere* Lat litt. *ἢ καὶ προσοί* i. ras. m. 2 A *προείσομαι* E 21 *πίσυνος οὐδὲ*] *ἐπὶ συνόδου* A 23 *ὥρμηκατε εἰσ* MW

ὧν ἂν αὐτὸς πάθοιμι ἐλπίδι περιφρόμενος· οὐ γὰρ σχολὴ κινδύνους μοι κατανοεῖν τοὺς ἐμαυτοῦ δουλώσει τε κατρίδος ἐλευθερωτάτης ἐναλοχεύοντι τὸν νόμον τῆς ἀρετῆς ἀμφιρρήτης τούς τε πάντας ἀνθρώπους ὀλέθρου διὰ Γάϊον κατειληφότος. ἄξιος δ' ἂν εἴην παρὰ σοὶ δικαστῇ πίστεως ἐπὶ τοιούτοις τυγχάνειν ὑπὸ τοῦ ὅμοια φρονεῖν αὐτοῖς καὶ σὲ μὴ ἀπηλλάχθαι."

10. Μινουκιανὸς δὲ τὴν ὁρμὴν τῶν λόγων θεασάμενος ἠσπάζετό τε ἀσμένως καὶ προυπαρίστατο τὴν τόλμαν αὐτοῦ ἐπαινέσας τε καὶ ἀσπασάμενος μετ' εὐχῶν καὶ ἱκετείας ἀπελύοντο. καὶ ἰσχυρίζοντό τινες ὡς βεβαιοῦν τὰ εἰρημένα * εἰσιόντος γὰρ εἰς τὸ βουλευτήριον Χαιρέου φωνὴν ἐκ τοῦ πλήθους γενέσθαι τινὸς ἐπ' ἐξορμήσει κελεύοντος παραίνειν μὲν δὴ τὸ πρακτέον καὶ προσλαμβάνειν τὸ δαιμόνιον. καὶ τὸν Χαιρέαν τὸ μὲν πρῶτον ἐπιδέσθαι, μὴ καί τινος τῶν συνωμοτῶν προδότου γεγονότος ἁλίσκοιτο, καὶ τέλος συνέντα ἐπὶ προτροπῇ φέρειν πρῶτον εἴτε παραινέσει τῶν συνεγνωκότων ἀντισημαίνοντός τινος, εἴτε δὴ καὶ τοῦ Θεοῦ, ὃς ἐξορᾷ τὰ ἀνθρώπινα, αἴροντος αὐτόν. διελήλυθει δὲ διὰ πολλῶν τὸ ἐπιβούλευμα καὶ πάντες ἐν ὅπλοις παρῆσαν, οἱ μὲν τῶν βουλευτῶν ὅπως οἱ δὲ ἱππεῖς καὶ διώσοι τοῦ στρατιωτικοῦ συνῄδεσαν· οὐδεὶς γὰρ ἦν, ὃς μὴ ἐν εὐδαιμονίᾳ ἂν ἡρίθμει τὴν Γάϊου μετάστασιν· καὶ δι' αὐτὸ πάντες ἠπείγοντο ὁπωσοῦν δύναιτό τις τρόπῳ μηδὲ ἑκὼν εἶναι τῆς ἐπὶ τοιούτοις ἀρετῆς ὑστερεῖν, ἀλλ' ὡς ἔχοι προθυμίας ἢ δυνάμεως καὶ λόγοις καὶ δι' ἔργων ἦρτο ἐπὶ τῇ τυ-

---

AMWE Lat

1 ἂν om. A *κινδύνοις* MW 2 *μοι* om. MW *τοῖσ* MW 3 *τῶν*] *τῶν καὶ* MW 4 *ἀνθρώπουσ* i. marg. suppl. m. 1 M *ἄξιος — 6 ἀπηλλάχθαι*] *dignus enim sum apud te iudicem fidem rerum huiusmodi, quando etiam tu saperc talia comprobaris* Lat 5 *εἴη* A *ὑπὸ*] *ἐπὶ* MW 8 **ἀσμένως*] *ἄσμενοσ* MW *libenter* Lat *προσπαρίστατο*] *προσηρέθιζε* E 9 **ἀπελύετο* MWE *dimisit* Lat **καὶ* om. MW *καὶ ἰσχυρίζοντό* — 10 *τὰ εἰρημένα*] *quidam enim adseuerabant ea quae cogitabantur quodam auspicio fuisse firmata* Lat *ἰσχυρίζοντό* — 10 *εἰρημένα* om. E 10 *βεβαιοῦν τὰ*] *βεβαίωσ ταῦτα* MW *γὰρ*] *δὲ* MW *nam* Lat, om. E *φωνὴν*] *φωνὴν λέγεται* E 11 *γενέσθαι*] *fertur emissa* Lat *τινὸσ* om. E 12 *κελεύοντοσ*] *κελεύουσαν* E *πέραινε* ELat *προσλαμβάνοιτο* E 13 *ὑπιδέσθαι, ι* i. ras. A *ὑπειδέσθαι* MWE 14 *συνομοτῶν* E 15 *προτροπῇ*] *τροπῇ* E *πρῶτον* om. ELat 17 *ἀνθρώπεια* E *αὐτὸν*] *αὐτὸν θαρσῆσαι* E 18 **ἐπιβούλευμα*] *ἐπιτήδευμα* M **τῶν* om. MW 20 **οὐδεὶσ*] *γρ εἰσ γὰρ οὐδεὶσ ἦν* i. marg. A **ἦν ὅσ*] *τινόσ* MW *μὴ*] *οὐκ* E, om. MW **ἐν* om. M *ἂν ἠρίθμει*] coni. *ἀνηρίθμει* codd. *ἠρίθμει* E 21 **δι' αὐτοῦ* MW 22 **τῆσ*] *τοῖσ* MW **ὑστερεῖν ἀρετῆσ* tr. MW 23 *ἦρτο*] *ἦρκτο* A *erant* — *praeparati* Lat *τῇ* om. MW

64 ρωνοκτονίᾳ. ἐπεὶ καὶ Κάλλιστος, ἀπελεύθερος δ' ἦν Γαΐου πλεῖστά τε ἀνὴρ εἰς οὗτος ἐπὶ μέγιστον δυνάμεως ἀφίκετο καὶ οὐδὲν ἄλλο ἢ ἰσοτύραννον εἶχε τὴν δύναμιν φόβῳ τε τῶν πάντων καὶ
65 μεγέθει χρημάτων, ἅπερ ἐγένετο αὐτῷ· δωροδοκώτατος γὰρ ἦν καὶ ὑβριστότατος παρ' ὁντινοῦν γίνεται, ἐξουσίᾳ χρησάμενος παρὰ τὸ εἰκός· καὶ ἄλλως τε τοῦ Γαΐου τὴν φύσιν ἐξεπιστάμενος ἀνήκεστον οὖσαν καὶ ἐφ' οἱστισι κρίνειν οὐδαμῶς ἀντισπάσματι χρωμένην. αὐτῷ τε πολλὰς μὲν καὶ ἄλλας αἰτίας τοῦ κινδυνεύειν, οὐχ
66 ἥκιστα δὲ τὸ μέγεθος τῶν χρημάτων· ὥστε δὴ καὶ Κλαύδιον ἐθεράπευε κρυπτῶς μετακαθίζων πρὸς αὐτὸν ἐλπίδι τοῦ κἂν εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν Γαΐου μεταστάντος. αὐτῷ τὴν ὑπόθεσιν τῆς τιμῆς τὴν ἐφ' ὁμοίοις ἰσχὺν προκαταθέμενος χάριν καὶ φιλαν-
67 θρωπίας λόγον. ἐτόλμησεν γοῦν εἰπεῖν, ὡς κελευσθεὶς διαχρήσασθαι φαρμάκῳ τὸν Κλαύδιον μυρίας εὕροιτο τοῦ χρήματος τὰς
68 ὑπερβολάς. δοκεῖν δὲ προσελοιεῖτο Κάλλιστος ἐπὶ θήρᾳ τῇ Κλαυδίου τὸν λόγον τοῦτον, ἔπειτα οὔτε Γάιος ὥρμησε μεταχειρίσασθαι Κλαύδιον ἠνείχετο τῶν Καλλίστου προφάσεων οὔτε Κάλλιστος κελευσθείς που τὴν πρᾶξιν εὐκτὸν ὑπελάμβανεν ἢ κακουργῶν εἰς τοῦ δεσπότου τὰς ἐπιστολὰς οὐκ ἂν ἐκ τοῦ παραχρῆμα τὸν μισθὸν
69 ἐκομίζετο. ἀλλὰ δὴ Κλαυδίῳ μὲν ἔκ τινος θείας δυνάμεως χρήσασθαι μανιῶν τῶν Γαΐου, Κάλλιστος προσποιήσασθαι χάριτος κατάθεσιν μηδαμῶς ὑπ' αὐτοῦ γενομένης.

70 11. Τοῖς ἀμφὶ τὸν Χαιρέαν ὑπερβολαὶ τὸ καθ' ἡμέραν

AMWE Lat

1 δὲ MWE 2 *ἀφίκοιτο MW ἀφῖκτο Naber 3 ἄλλως W 4 ἅπερ ἐγένετο] ὑπερεγένετο M 5 ὁντιναοῦν M ὁντοιναοῦν W 8 πολλὰς μὲν i. marg. suppl. m. 1 M τοῦ κινδυνεύειν αἰτίας tr. MW 9 δὲ om. MW 10 μετακαθίζειν MW ἐλπίδι — 13 λόγον] *sperans quia si ei cederet principatus defidente gaio honorem similem ei praeberet. eo quod illi gratiam et uerba clementiae primitus impendisset* Lat 11 ὑπόθεσιν] ὑπόσχεσιν A 13 *διαχρήσασθαι] χρήσασθαι MW 14 εὕροι E 15 δοκεῖν] δοκεῖ ME δὲ] δέ μοι E et ut uid. Lat δοκεῖν — 16 τοῦτον] *sed mihi uidetur, quia fingebat haec callistus uolens capere claudium* Lat προσεποιεῖτο] προσποιεῖσθαι E τῇ] τῆς A τοῦ E 16 ἔπειτα] ἐπεὶ E γρ ἐπεί τε i. marg. A *nam* Lat 17 ante *Κλαύδιον* ras. 4 litt. M *ἠνείχετο] ἂν ἠνείχετο coni. οὔτε — 21 *Γαΐου*] *neque callistus iussus optabilem gaio rem perpetrare si distulisset mandata domini sui potuit pericula declinare. sed claudium diuinitas quidem a gai uesania liberauit* Lat 18 εὐκτὸν] φευκτὸν Bekker ὑπελάμβανεν] ὑπερέβαλεν Hudson 18 ἐπιστολὰς] ἐντολὰς E 20 χρήσασθαι] σώσασθαι ἐκ Hudson περιγενέσθαι ἐκ Bekker 21 *Κάλλιστος] *callistus autem* Lat *Κάλλιστον δὲ Hudson 23 τοῖς] τοῖσ δ' E *hi siquidem qui* Lat *ὑπερβολῇ MW

ἦσαν ὀκνούντων πολλῶν οὐ γὰρ Χαιρέας ἔσται ἑκὼν εἶναι τοῦ πράσσειν ἀναβολὴν ἐποιεῖτο, πάντα καιρὸν ἐπιτήδειον τῇ πράξει νομίζων. καὶ γὰρ εἰς τὸ Καπιτώλιον ἀνιόντα καὶ τὰς θυσίας ὑπὲρ 71
τῆς θυγατρὸς ἐπιτελουμένας ὑπὸ τοῦ Γαΐου παρῆν πολλάκις καιρὸς, καὶ ὑπὲρ τῆς βασιλικῆς ἱστάμενον καὶ τῷ δήμῳ χρυσίου καὶ ἀργυρίου χρήματα διαρριπτοῦντα ὅσαι κατὰ κεφαλῆς, ὑψηλὸν δ' ἐστὶ τὸ τέγος εἰς τὴν ἀγορὰν φέρον, ἐπί τε τῶν μυστηρίων ταῖς ποιήσεσιν ἃ συνίστατο· πάντων γὰρ αὐτὸν ἀπερίοπτον εἶναι προ- 72
νοίᾳ τοῦ ἐν αὐτοῖς εὐτρεπῶς ἀναστραφησομένου καὶ ἀπογνώσει τοῦ ἐν ἐπιχειρήσει τινὶ γενέσθαι πιστεύοντα εἰ δὲ μηδὲν τίμιον ὡς τῶν Θεῶν αὐτῷ δύναμιν τοῦ θανάτου παρασυγχάνειν, αὐτῷ δ' 73
ὃν ἰσχὺν ἐγγενέσθαι καὶ μὴ σιδηροφορουμένῳ διαχρήσασθαι τότε Γάιον. οὕτως εὐχῆς εἶχε τοὺς συνωμότας ὁ Χαιρέας δεδιὼς τοὺς καιροὺς μὴ διαρρυεῖεν. οἱ δὲ ἑώρων μὲν νομίμων τε χρῄζοντα καὶ 74
ἐπ' ἀγαθοῖς τοῖς αὐτῶν ἐπειγόμενον, οὐ μὴν ἀλλ' ἠξίουν εἰς ὀλίγον γοῦν ὑπερβολὴ χρήσασθαι, μὴ καὶ τῇ σφάλματος τῇ ἐπιχειρήσει συνελθόντος παράξαιεν τὴν πόλιν ζητήσεων τῶν συνεργιαζόντων τὴν πρᾶξιν γιγνομένων καὶ τοῖς αὐτοῖς μελλήσουσιν ἐπιχειρεῖν ἄπορον τὴν ἀνδραγαθίαν φραξαμένου Γαΐου πρὸς αὐτοὺς μειζόνως. καλῶς 75
οὖν ἔχειν θεωρῶν ἐν τῷ Παλατίῳ ἐπιτελουμένων ἅπτεσθαι τοῦ χρήματος· ἄγονται δὲ ἐπὶ τιμῇ τοῦ πρώτου μεταστησαμένου τὴν ἀρχὴν τοῦ δήμου Καίσαρος εἰς αὐτὸν μικρόν τε πρὸ τοῦ βασιλείου καλέβης πίκτοῦ γενομένης. καὶ Ῥωμαίων τε οἱ εὐπατρίδαι θεωροῦσιν ὁμοῦ παισὶν καὶ γυναιξὶν καὶ ὁ Καίσαρ· ῥᾳστώνην τε αὐτοῖς 76
ἔσεσθαι πολλῶν μυριάδων ἀνθρώπων εἰς ὀλίγον χωρίον καθειργνυ-

---

AMWE Lat

1 ὀκνούντων, οὐ ex o corr. M ὀκνωντων W ὀκνούντων πολλῶν] ὄκνω τῶν πολλῶν E *dum multos segnities detineret* Lat ἔσται ἑκὼν] ···· ἑκὼν A ἑκὼν E 2 τῇ πράξει] E πράξειν AM πρᾶξιν W *ad agendum* Lat 3 καπιτώλιον (ι ante τ i. ras. A) AME καὶ τὰς] κατὰ E *ὑπὲρ τῆς θυγατρὸς] ὑπὸ τοῦ πατρὸς M 5 τῷ om. MW 6 *ὧσε W δέ MWE 7 *τέγος] στέγος MW ἐπὶ] ἔτι E *adhuc* Lat 8 συνίστατο] συνίστα τότε MWE περίοπτον E 10 τινὶ γενέσθαι πιστεύοντα] τινὰ πιστεύειν γενέσθαι E τίμιον ὡς] σημεῖον ὡς ἀπὸ Hudson 12 τότε] τόν τε MW 13 οὕτως — *Χαιρέας] tantum habuit cum coniuratis chaereas ardorem* Lat εὐχῆς] δι' ὀργῆς E ὀργῆς i. marg. A 14 διαρρυεῖν M διαρρύειν W *δ' MW νομίμων] νόμων A χρῄζοντα W 15 ἀλλὰ E 16 *ὑπερβολὴν A καὶ τῇ σφάλματος] καὶ ἐπισφάλματος MW καὶ σφάλματος E 17 παράξαιε E 18 γιγνομένων MW καὶ τοῖς — 19 μειζόνως] *et insidiarum iam non ualeret militas in futuro* Lat αὐτοῖς] αὖθις Holwerda αὐτῇ Bekker μελήσουσιν M 19 ἀνδραγαθίαν] ἀνδραγαθείαν W ἀνδραγαθίαν ποιήσαιεν Hudson 22 *αὐτὸν] *semetipsum* Lat 23 τε] δὲ E 24 *τε s. M 25 καθειργμένων E

μένων ὥστε εἰσιόντι τὴν ἐπιχείρησιν ποιήσασθαι δυνάμεως τοῖς ἐπαναστάταις, εἰ καί τινες προθυμοῖντο, μὴ παρατευξομένης αὐτῇ βοηθεῖν.

77 12. Εἴχετο δὲ Χαιρέας, καὶ τῶν θεωρῶν ἐπελθουσῶν τῇ πρώτῃ δεδογμένον ἅπτεσθαι τῆς πράξεως ἰσχυρότερον ἦν τοῦ κατ' ἐκείνους προβεβουλευκότος τὸ τῆς τύχης συγχωροῦν ὑπερβολάς, καὶ τὰς τρεῖς ὑπερβαλλομένου ταῖς νομίμοις ἡμέραις μόλις κατὰ τὴν
78 τελευταίαν αὐτοῖς ἐπράχθη τὸ ἔργον. Χαιρέας δὲ συγκαλέσας τοὺς συνωμότας „τολὺς μέν, εἶπεν, καὶ ὁ παρεληλυθὼς χρόνος ὀνειδίσαι τὸ ἐπιμέλλον ἡμῶν ἐπὶ τοῖς οὕτω βουλευθεῖσιν μετ' ἀρετῆς, δεινὸν δέ, εἰ καὶ μηνίματος γενομένου διαπεσεῖται ἡ πρᾶξις καὶ Γάιος
79 ὑβριεῖ μεῖζόνως. ἢ οὐχ ὁρῶμεν, ὡς τῆς ἐλευθερίας ἀφαιροῦμεν ὁπόσας τῶν ἡμερῶν προσθήκην τῇ Γαΐου τυραννίδι χαριζόμεθα, δέον αὐτοὺς τ' ἀδεεῖς τὸ λοιπὸν εἶναι καὶ τοῖς ἄλλοις αἰτίαν τοῦ εὐδαίμονος παρασχόντας δι' αἰῶνος τοῦ ἅπαντος τοῖς αὖθις ἐν θαύματι μεγάλῳ
80 καὶ τιμῇ καταστῆναι;" τῶν δὲ οὔτε ἀντειπεῖν ὡς οὐ πάνυ καλοῖς δυναμένων οὔτε τὴν πρᾶξιν ἄντικρυς δεχομένων σιγὴ δὲ καταπεπληγότων „τί, φησίν, ὦ γενναῖοι, διαμέλλομεν; ἢ οὐχ ὁρᾶτε τὴν σήμερον τῶν θεωρῶν ἡμέραν ὑστάτην οὖσαν καὶ Γάιον ἐκπλευσού-
81 μενον;" ἐπὶ γὰρ Ἀλεξανδρείας παρεσκεύαστο πλεῖν κατὰ θεωρίαν τῆς Αἰγύπτου. „καλὸν δὲ ἡμῖν προέσθαι τῶν χειρῶν τὸ ἔνειδος τῇ Ῥωμαίων μεγαλαυχίᾳ πομπεῦσον διά τε γῆς καὶ θαλάσσης:
82 πῶς δ' οὐκ ἂν δικαίως κρίνοιμεν αὐτοὺς αἰσχύνῃ τῶν γενησομένων.

AMWE Lat

2 *παρατευξομένης] παραταξαμένης M παραταξομένης W 4 Εἴχετο] ἠνείχετο E *expectabat* Lat ἠπείγετο Naber 5 *δεδογμένον] δεδομένον A *praecogitatum* Lat *ἦν] δ' ἦν W 6 ἐκείνου AE 7 *ὑπερβαλλομένους Ernesti *τὰς νομίμους ἡμέρας Lowthius 8 *δὲ συγκαλέσας] γὰρ καλέσας MW 10 τὸ] τὸ τε τὸ MW ἐπιμέλον M ἔτι μέλλον Bekker μετὰ MW 11 γενομένου A καὶ Γάιος — 13 χαριζόμεθα] *et potius gaius nos officiat emeturumque auferat libertatem his diebus quos nos tyrannidi eius adicimus* Lat 12 ὁπόσας τῶν ἡμερῶν] Lat et i. marg. A ὁπόσα τῶν ἡμετέρων AMW 13 προσθήκην] ἢ προσθήκην MW εἰ προσθήκην, εἰ i. ras. A τῇ] τοῦ MW αὐτούσ A¹ 14 τ' ἀδεεῖς] τάδε εἰς MW 15 παρασχόντος W ἅπαντος] ἀπόντος MW *praeteriti* Lat τοῖς] τοῦ MW ἐν θαύματι — 16 τιμῇ om. MW 16 οὔτε] Dindorf οὐκ AE οὐδὲ MW *ἀντιπεῖν W ὡς οὐ om. E *ὡς οὐ — καλοῖς] *quasi non bene fuisset hortatus* Lat καλοῖς] Hudson καλῶσ AE καλῶν MW 18 *διαμέλομεν M 19 ἡμέραν ὑστάτην] ἐσχάτην ἡμέραν M ὑστάτην ἡμέραν W τελευταίαν ἡμέραν E 21 ἡμῖν] ὑμῖν A *uobis* Lat 22 Ῥωμαίων μεγαλαυχίᾳ] μεγαλοχία ῥωμαίων M θαλάττης W 23 πῶς δ' — γενησομένων] *nam quomodo non iuste crimus confusionis obnoxii* Lat δὲ MW κρίνοιμεν] coni. κρίνωμεν A κρίνομεν MW

εἴ τις αὐτὸν Αἰγύπτιος κτείνειεν τὴν ὕβριν οὐχ ἡγησάμενος ἀνα- 82
σχετὸν τοῖς ἐλευθέροις γεγονόσιν; ἐγὼ μὲν οὖν οὐκέτι εἰς πλείονα
ἀνέξομαι τὰς σκήψεις ὑμῶν, χωρήσω δὲ τοῖς κινδύνοις ὁμοῦ σήμε-
ρον ἡδονῇ φέρων πᾶν ὅ τι καὶ γένοιτο ἐξ αὐτῶν, οὐδ' ἂν ὑπερ-
βαλοίμην εἴτερ εἴη· τί γὰρ δὴ καὶ γένοιτ' ἂν ἀνδρὶ φρόνημα
ἔχοντι τούτου σχετλιώτερον, ἕτερον Γάιον ἀναιρεῖν ἐμοῦ ζῶντος ἐμὲ
τὴν ἐπὶ τῷδε ἀρετὴν ἀρρηνιένον;"

13. Καὶ ὁ μὲν ταῦτα εἰπὼν αὐτός τε ὡρμήκει πράξων τὸ 84
ἔργον καὶ τοῖς λοιποῖς ἐνεποίησε θάρσος πᾶσίν τε ἦν ἔρως ἅπτε-
σθαι τοῦ ἐγχειρήματος μηδὲν ὑπερβαλλομένοις, ἔωθέν τε ἐπὶ τοῦ 85
Παλατίου εἰώθει τὸ ξίφος ὑπεζωσμένος τῶν ἱππικῶν· ἔθος γὰρ
δὴ τοῖς χιλιάρχοις τοῦτο ἐζωσμένοις αἰτεῖν παρὰ τοῦ αὐτοκράτορος
τὸ σημεῖον, ἣν τε ἡ ἡμέρα καθήκουσα εἰς αὐτὸν τῆς παραλήψεως
τοῦ σημείου. ἄρτι τε συνῆει πληθὺς εἰς τὸ Παλάτιον ἐπὶ προ- 86
κατολήψει θεᾶς ἑωθινῇ θυρῶν καὶ οἰκιῶν, χαρᾷ φέροντος Γάϊον
τὴν ἐπὶ τοιοῖσδε τῶν πολλῶν στουδήν, παρὸ καὶ διακέκριτο οὐδὲν
οὔτε τῇ συγκλήτῳ χωρίον οὔτε τοῖς ἱππεῦσιν, φύρδην δὲ ἔζοντο
καὶ τοῖς ἀνδράσιν ὁμοῦ αἱ γυναῖκες καὶ τῷ δούλῳ ἀναμεμιγμένον
τὸ ἐλεύθερον. Γάιος δὲ προόδων αὐτῷ γενομένων ἔθυσε τῷ Σε- 87
βαστῷ Καίσαρι, ᾧ δὴ καὶ τὰ τῆς Θεωρίας ἤγετο, καὶ πίπτοντος
τῶν ἱερείων τινὸς συνέβη αἵματι τὴν Ἀσπρῆνα στολὴν ἑνὸς τῶν
συγκλητικῶν ἀνάπλεων γενέσθαι. τοῦτο Γαΐῳ γέλωτα μὲν παρέ-
σχεν, ἦν δ' ἄρα εἰς οἰωνὸν τῷ Ἀσπρῆνι φανερόν· ἐπικαιασφάττε-
ται γὰρ τῷ Γαΐῳ. Γάιον δ' ἱστορεῖται παρὰ φύσιν τὴν ἑαυτοῦ 88
ἐπιρροιγορώτατον γενέσθαι κατ' ἐκείνην τὴν ἡμέραν καὶ δεξιότητι
χρώμενον ὁμιλίας πάνθ' ὁτινοῦν ἐκπλῆξαι τῶν παραντιχανόντων.
μετὰ δὲ τὴν θυσίαν ἐπὶ τὴν θεωρίαν τραπεὶς ἐκαθέζετο καὶ περὶ 89

AMWE Lat

1 *τις αὐτὸν*] *τισ οὖν αὐτὸσ* MW *κτείνειεν*] *κρίνειε* Ẁ *ἡγησάμενος* MW 3 *σκήψεις*] *σκέψεισ* MW *cogitationes* Lat *ἐμοῦ*] *ἐμῶν* W *ὁμοῦ*] *ὁμόσε* Hudson 4 *ὑπερβαλοίμην* MWE 5 *εἴτερ*] *ὅτι περ* Hudson *ἄν* om. MW 6 *ἕτερον* om. MW *ἐμὲ*] *εἶμε* MW *καὶ ἐμὲ* Lowthius 8 *ταῦτ'* E *τε*] *γε* AME 10 **μηδὲν* — 11 *ἱππικῶν*] *nihilque differens diluculo ad palatium multitudo equestrium armata conuenit* Lat *ὑπερβαλομένοις* coni. **ἑωθέν*] *εἰωθέ* MW 11 *εἰώθει*] *γέγονε* E, om. MW *ὠθεῖ* aut simile coni. **τῶν ἱππικῶν*] *ἱπποκομῶν* MW 12 *δὴ* om. MWE **τοῦτε* W 14 **πληθὺς*] *πλῆθοσ* MW 16 *παρὸ*] *παρ' ὧι* A *διεκέκριτο* E 17 *ἔζοντο* E 19 *ἔθυε* MWE 21 **συνέβη* — *ἑνὸς* om. W *αἵματοσ* E *ἀσπρίνα* E et ex corr. A 23 *δὲ* MWE *ἀσπρίνα* E et ex corr. A *ἐπικατασφάττεται* E 24 *γάϊοσ* A *δὲ* MW *ἱστορεῖται*] *ferunt* Lat

90 αὐτὸν τῶν ἑταίρων οἱ ἀξιολογώτατοι. κατεσκεύαστο δὲ τὸ θέατρον, πυκτὸν δὲ ἐγίνετο κατὰ ἕκαστον ἐνιαυτόν. τοιόνδε τρόπον· θύρας ἔχει δύο φερούσας τὴν μὲν εἰς ἄϋθριον, τὴν δ' εἰς στοὰν εἰσόδοις καὶ ἀποχωρήσεσιν, ὅπως μὴ ταράσσοιντο οἱ ἔνδον ἀπειλημμένοι, ἐκ δ' αὐτῆς τῆς καλύβης ἐνδοτέρω διαφράγμασιν ἑτέραν ἀπειλη- 5
φυίας ἐπ' ἀναστροφῇ τοῖς ἀνταγωνισταῖς καὶ ὁπόσα ἀκροάματα.
91 συγκαθημένης δὲ τῆς πληθύος καὶ τοῦ Χαιρέου σὺν τοῖς χιλιάρχοις οὐκ ἄνωθεν τοῦ Γαΐου. δεξιὸν δὲ τοῦ θεάτρου κέρας ὁ Καῖσαρ εἶχεν. βαθύβιός τις τῶν συγκλιτικῶν ἀνὴρ ἐστρατηγηκὼς ἤρετο Κλούιον παρακαθεζόμενον αὐτῷ καὶ τοῦτον ἐνιαύσιον, εἰ δή τις 10
αὐτῷ νεωτέρων πραγμάτων περὶ ἀφίκοιτο πίστις, προμηθὴς γενό-
92 μενος τοῦ μὴ ἐξακουστὸς εἶναι τάδε λέγων. τοῦ δὲ φαμένου μηδὲν πεπύσθαι σημεῖον „τοιγαροῦν, ὦ Κλούιε, τυραννοκτονίας ἀγὼν πρόκειται." καὶ ὁ Κλούιος „ὦ γενναῖε, φησίν, οἶγε, μή τις τ' ἄλλος
93 Ἀχαιῶν μῦθον ἀκούσῃ." πολλῆς δ' ὑλώρας ἐπιχεομένης τοῖς θεω- 15
ροῖς καὶ πολλῶν ὀρνέων ὁπόσα τῷ σπανίῳ τίμια τοῖς κτωμένοις. ὁ Γάιος ἰδὼν τὰς περὶ αὐτοῖς ἐθεώρει μάχας καὶ διαριταγὰς οἰ-
94 κειουμένων αὐτὰ τῶν θεωρῶν. ἔνθα δὲ καὶ σημεῖα μανθάνει δύο γενέσθαι· καὶ γὰρ μῖμος εἰσάγεται. καθ' ὃν σταυροῦται ληῳθὴς ἐγχεμών, ὅ τε ὀρχηστὴς δρᾶμα εἰσάγει Κινύραν. ἐν ᾧ αὐτός τε ἐκτεί- 20
νετο καὶ ἡ θυγάτηρ Μύρρα, αἱμά τε ἦν τεχνητὸν πολὺ καὶ περὶ

AMWELat

1 *ἑταίρων, *αἱ* i. ras. A *κατεσκεύαστο*] i. marg. *γρ ἐν ἄλλοις οὕ, κατεσκεύαστο* A 3 *εἶχε* coni. *δὲ* MW 4 *ταράσσοιντο*] *παρατάσσοιντο* MW 5 *ἐκ δ'* — 6 *ἀκροάματα*) *est etiam illic et alia cella, ubi lusores exerceri solent atque cantores* Lat *δὲ* MW *ἑτέρας ἀπειλημφίας* Ernesti 6 *ἐπ' ἀναστροφὴν* MW 7 *δὲ*] *δὴ* MWE *καὶ τὸν χαιρέαν (χαιρέα* W) MW *χιλιάρχοις* W et ex corr. M 8 *ἄπωθε* A[1] *ἄποθεν* ME et ex corr. A *δεξιὰν* A 9 *Βαθύβιος*] *βατίβιος* E *batybius* Lat *Οὐατίνιος* Hudson 10 *Κλούιον*] *κλούιτον* codd. *κλαύιτον* E *cluitum* Lat *Κλούβιον* Hudson hic et infra *παρεζόμενον* AE *δή* om. MW 11 *αὐτὸν* W *πέρι ἀφίκοιτο] περιαφίκοιτο* codd. *ἀφίκοιτο* E *πίστισ, ύ* i. ras. A *πίστισ* MW 12 *τοῦ δὲ* — 14 *πρόκειται*] *quo dicente nihil sibi ea die (de* cod. Ambr.) *nuntiatum, o cluite, inquit, hodie tyranni cidii certamen agitatur* Lat 13 *σημεῖον*] om. E fort. recte, i. marg. *γρ σήμερον* A, quod habuit etiam Lat *κλούιτε* codd. Lat *κλαύιτε* E 14 *προύκειται* W *κλούιτοσ* codd. Lat *κλαύιτοσ* E *τ'* om. WE et Lat, qui Cluuii responsum (= Homeri Il. XIV 90) graecis litteris expressit 15 *δὲ* MW *ἐπιχεομένοις* W 16 *τῷ σπανίῳ*] *τῶν σπανίων* A *pro raritate sua* Lat 17 *αὐτοῖς*] *αὐτῆσ* MW 18 *ἔνθα δὲ* — 19 *γενέσθαι*] *in illo siquidem spectaculo duo ei augurii prouenerunt* Lat *ἔνθα δὲ*] *ἐνθεῦδε* MW *δὲ*] i. marg. *γρ δὴ* A *μανθάνει*] *συμβαίνει* Bekker 19 *ληῳθὴς*] *ληστὴς* Bulengerus *λῃστῶν* Hudson *deprachensus* Lat 20 *ὀρχῆστὴσ* M *κινύραν* M *τε αὐτὸσ* tr. A 21 *περὶ*] *τὸ περὶ* M *τὸν περὶ* W

τὸν σταυρωθέντα ἐκκεχυμένον καὶ τῶν περὶ τὸν Κινύραν. ὁμολο- 95
γεῖται δὲ καὶ τὴν ἡμέραν ἐκείνην γενέσθαι, ἐν ᾗ Φίλιππον τὸν
Ἀμύντου Μακεδόνων βασιλέα κτείνει Παυσανίας εἰς τῶν ἑταίρων
εἰς τὸ θέατρον εἰσιόντα. Γαΐου δ' ἐνδοιάζοντος, εἴτε παραμείνειεν 96
εἰς τέλος τῇ θεωρίᾳ διὰ τὸ τελευταίαν εἶναι τὴν ἡμέραν εἴτε λου-
τρῷ χρησάμενος καὶ σίτῳ εἶτα ἐπανίοι καθὰ καὶ οἱ πρότερον, Μι-
νουκιανὸς ὑπὲρ τοῦ Γαΐου καθεζόμενος καὶ δεδιώς, μὴ διαλυθείη
τὰ τῶν καιρῶν εἰς κενόν, ἐξαναστὰς ἐπειδὴ καὶ Χαιρέαν ἑώρα
προθυμούμενον, ἐπείγετο θαρσύνειν αὐτὸν προελθών. λαμβάνεται 97
δ' αὐτοῦ τῆς σκιᾶς Γάιος καὶ φιλοφρονούμενος δήθεν καὶ „καὶ δή,
φησίν, ὦ μακάριε;" καὶ ὁ μὲν αἰδοῖ δοκεῖν τοῦ Καίσαρος καθίζει,
κρείσσων δ' ὁ φόβος ἦν ὀλίγον τε διαλιπὼν εἶτα διανίσταται. καὶ 98
ὁ Γάιος οὐδὲν ἐμποδὼν ἦν ἐξιόντι δοκῶν ἐπί τινι τῶν ἀναγκαίων
ποιεῖσθαι τὴν ἔξοδον. Ἀμβρώνας δὲ καὶ αὐτὸς παρῆνει τῷ Γαΐῳ
καθὼ πρότερον ὑπεξελθόντι πρός τε λουτρῷ καὶ ἀρίστῳ γενέσθαι
καὶ ἔπειτα δὲ εἰσελθεῖν. χρήζων ἐπὶ πέρας ἀχθῆναι τὰ ἐγνωσμένα.

14. Καὶ οἱ περὶ τὸν Χαιρέαν ἔτασσον μὲν ἀλλήλους ἢ καιρός 99
τε καὶ ἐχρῆν ἕκαστον στάντα ἢ προσιαχθείη μὴ ἀπολιμπάνεσθαι
ἐπιπονοῦντες. ἤχθοντο δὲ τῇ διατριβῇ καὶ τῷ μέλλεσθαι τὰ ἐν
χερσίν. ἐπεὶ καὶ περὶ ἑνάτην ὥραν ἤδη τὰ τῆς ἡμέρας ἦν. καὶ 100
Χαιρέας βραδύνοντος Γαΐου προθύμως ἦν ἐπεισελθεῖν ἐν ᾧ καθ-

AMWE Lat

1 *σταυρωθέντα*] *iudicem crucifixum* Lat *τῶν*] *τὸν* MW *κινύραν* M 3 **κτίνει* W 4 **δὲ* MW **παραμένοιεν* M *παραμένειεν* W 6 *οἱ πρότερον*] *prius* Lat *πρότερον* ed. pr. 7 *διαλυθείη*] E *διαχυθείη* codd. *effluere* Lat S **κενὸν, ε* i. ras. M 9 **ἐπείγετο* W **θρασύνειν* MW 10 *δὲ* MWE 11 **καθίζειν* MW 12 **δ' ὁ*] *δὴ* MW *διανίσταται* E 13 *ἐξιόντι*] Lowthius et Hudson *ἄξιόν τι* codd. *egredienti* Lat *ἀναγκαίων*] *ἐν αἰτίᾳ ἑκὼν* MW *necessaria* Lat *ἀναντιλέκτων* ed. pr. 14 *Ἀμβρώνας*] *ἀμβρωνᾶς* A *ἀμπρώνας* MW *γρ ἀσπρίνας* i. marg. A *ἀσπρήνας* E *aspronas* Lat *καὶ αὐτὸς παρῆνει*] *μετεῖχε δὲ καὶ αὐτὸς παρήνει* E *cum esset et ipse participes operis ammonebat* Lat 15 *καθὸ*] *καθ' ὃν* MW *καὶ* E 16 *δὲ* om. E **εἰσελθεῖν*] *remearet* Lat **χρῆζον* M¹W 17 *καὶ οἱ — 20 χερσίν*] *illi siquidem, qui circa chaeream erant, exercebant alternuros quasi tempus esset singulos praeparari, ne ad opus absentes inuenirentur et negligentes opportunum tempus amitterent* Lat 18 *καὶ* om. MW *ᾗ* om. MW 19 *ἐπιπονοῦντες*] *ἐπεὶ πονοῦντες* A *ἐπιπονοῦντος* W *ἐπιπονοῦντας* ed. pr. *δὲ*] *δὴ* AW *μέλεσθαι* M 20 *ἑνάτην* WE 21 *καὶ Χαιρέας — 228, 4 ἀπολουμένους*] *chaereas itaque tardante gaio erat paratus, ut ingrederetur ad sedem eius, praescius tamen quia illic necem principis cum multo sanguine senatorum et simul equestrium adimpleret, liceque arderet, melius tamen esse iudicauit omnium tutamen libertatemque seruari* Lat **βραδύναντος* A *ἐπεισελθὼν* WE

δρᾳ προσπεσὼν μέντοι προῄδει τοῦτο σὺν πολλῷ φόνῳ τῶν τε βουλευτῶν καὶ ὁπόσοι τῶν ἱππέων παρῆσαν καίπερ δεδιὼς πρόθυμος ἦν, καλῶς ἔχειν ἡγούμενος πᾶσιν ἀσφάλειαν καὶ ἐλευθερίαν
101 *ὠνούμενος ἐν ὀλίγῳ τίθεσθαι τὰ κατὰ τοὺς ἀπολουμένους. καὶ δὴ τετραμμένων εἰς τὸ θέατρον εἰσόδῳ σημαίνεται Γάιος ἐξαναστὰς καὶ θόρυβος ἦν. ἀνέστρεφον δὲ καὶ οἱ συνωμόται καὶ ἀνεωθοῦντο*
τὴν πληθύν, λόγῳ μὲν διὰ τὸ δυσχεραίνειν τὸν Γάιον, ἔργῳ δὲ ἐπ' ἀδείας βουλόμενοι ἐν ἐρημίᾳ τῶν ἀμυνουμένων κατασήσαντες αὐ-
102 *τὸν ἅπτεσθαι τῆς σφαγῆς. προεξῆσαν δὲ Κλαύδιος μὲν ὁ πάτρως αὐτοῦ καὶ Μᾶρκος Βινίκιος ὁ τῆς ἀδελφῆς ἀνὴρ ἔτι δὲ Οὐαλέριος Ἀσιατικός, οὓς οὐδὲ βουλομένοις διακλεῖσαι δύναμις ἦν αἰδοῦ τῆς*
103 *ἀξιώσεως. εἵπετο δ' αὐτὸς σὺν Παύλῳ Ἀρουντίῳ. ἐπεὶ δ' ἐντὸς ἦν τοῦ βασιλείου, τὰς μὲν ἐπ' εὐθείας ὁδοὺς λείπει, καθ' ἃς διεστήκεσαν τῶν δούλων οἱ θεραπεύοντες αὐτὸν καὶ προῆσαν οἱ*
104 *περὶ τὸν Κλαύδιον· τρέπεται δὲ κατὰ στενωπὸν ἠρεμηκότα καὶ ἐπὶ τόπον πρὸς λουτροῖς γεγενημένον ἅμα καὶ παῖδας οἳ ἦκεσαν ἐκ τῆς Ἀσίας κατανοήσων, τομῆς αἰτίων ἐκεῖθεν γενομένης ἐπὶ*
105 *ἔνιοις μυστηρίοις ἃ ἐτετέλει, ἔνιοι δὲ κατὰ πυρρίχισμούς, οἳ ἐν τοῖς θεάτροις ἔσοιντο. ἐπαντιάζει δ' αὐτὸν Χαιρέας καὶ ᾔτησεν*
σημεῖον. τοῦ δὲ τῶν εἰς χλεύην ἀνακειμένων εἰπόντος οὐδὲν ἐνδοιάσας λοιδορίαις τε ἐχρᾶτο κατὰ τοῦ Γάϊου καὶ σιτασάμενος τὸ
106 *ξίφος ἐπάγει πληγὴν σφοδράν· οὐ μήν γε ἦν καίριος. καίτοι γέ φασίν τινες προνοίᾳ τοῦ Χαιρέου γενέσθαι τοῦ μὴ μιᾷ πληγῇ διεργάσασθαι τὸν Γάιον, ἀλλὰ τιμωρεῖσθαι μείζονος πλήθει τραυ-*
107 *μάτων. οὐ μὴν ἐμοὶ πιθανὸς οὗτος ὁ λόγος διὰ τὸ μὴ ἐπιχωρεῖν*

AMWELat

1 *προσπεσεῖν* E *προσήδει M *προῄδει μέντοι* tr. E *φόνῳ] φόνῳ ἐσόμενον* E 2 *ὅσοι* E *δεδιὼς] δὲ εἰδὼς* E 3 *πᾶσιν] πᾶσαν* E 5 *εἰς — εἰσόδῳ] ad spectaculorum uota* Lat *τοῦ θεάτρου* Lowthius *εἰσόδῳ] τὴν εἴσοδον* MW 6 **ἀνωθοῦντο* A 8 *ἀμυνομένων* MWE 9 **πάτρος* MW *πατρῶος* et i. marg. *γρ πάτρως* A 10 *Βινίκιος] μινουκιανὸς* codd. ELat *Οὐινίκιος* Hudson, cf. infra § 252 ubi itidem *Μινουκιανὸς* traditur et Tacit. ann. VI 15 *μινουκιανὸς μάρκος* tr. E *δὲ] δὲ καὶ* E **οὐαλέριος* M 11 *Ἀσιατικός] ἀσουατικὸς* A *ἀνθυπατικὸς* MW *ἀνθυπατινὸς* E *asiaticus* Lat *οὕς] ex* Lat Hudson *οἷς* codd. 12 *δὲ αὐτὸς* MWE *Παύλῳ Ἀρουντίῳ]* ed. pr. *ταλαπωρουντίω* codd. *paulo arruntio* Lat; cf. § 148, ubi Arruntius Stella memoratur **δὲ* MW 13 **ἐπ'* om. ed. pr. *διεστήκεσαν] δὲ (δὴ* E) *ἑστήκεσαν* MWE 14 **θεραπεύοντες* coni. 16 **ἐπὶ τόπον] ἐπίσοτον* Bekker *ἐπίτομον* coni. **παῖδες* W **ἦκεσαν] ἦσαν* M *uenerant* Lat 19 *δὲ* MWE 21 **λοιδορίαισ, αι* i. ras. M **ἐχρῆτο. η* i. ras. A 23 *τοῦ] τὸ* MW *μὴ] μ$^{\eta}$* i. ras. M 25 *οὐ μὴν ἐμοὶ πιθανος] ALat ἐμοὶ δὲ ἐπίθανος* MW

ἐν ταῖσδε ταῖς πράξεσιν λογισμῷ χρῆσθαι τὸν φόβον, Χαιρέαν δέ, εἴπερ οὕτως ἠρῴητο, πάντων ἥγημαι μωρίᾳ διαφέρειν ἡδονὴν τῇ ὀργῇ χαριζόμενον μᾶλλον ἢ ἐκ τοῦ ὄξέος ἀπαλλαγὴν αὐτῷ τε καὶ τοῖς συνωμόταις κινδύνων χαριζόμενον, διὰ τὸ πολλὰς ἂν μηχανὰς ἔτι γενέσθαι βοηθειῶν Γαΐῳ μὴ φθάντι τὴν ψυχὴν ἀφεῖναι κἀνταῦθα Χαιρέᾳ λόγον ἂν γενέσθαι οὐ περὶ τῆς Γαΐου τιμωρίας, ἀλλὰ τῆς αὐτοῦ καὶ τῶν φίλων, ὅτου γε καὶ πράξαντι καλῶς ἂν 108
εἶχε σιγῇ χρωμένῳ διαδιδράσκειν τὰς ὀργὰς τῶν ἀμυνομένων. σιγὴ δ' ὅτως ἄδηλον εἰ τύχοι κατορθῶν ἐπ' ἀλόγοις χρήζειν αὐτόν τε ἀπολέσαι καὶ τὸν καιρόν. καὶ τάδε μὲν εἰκάζειν παρέστω τοῖς βουλομένοις ἢ καὶ θέλοιεν. ὁ δὲ Γαιος ἀλγηδόνι τῆς πληγῆς περι- 109
φερόμενος, μεσσηγὺς γὰρ τοῦ τε ὤμου καὶ τοῦ τραχήλου φερόμενον τὸ ξιφος ἔπεσχεν ἡ κλὶς προσωτέρω χωρεῖν, οὔτε ἀνεβόησεν ἐπ' ἐκπλήξεως οὔτε ἐπεκαλέσατό τινας τῶν φίλων εἴτε ἀπιστίᾳ εἴτε καὶ ἄλλως ἀφρονήσει, στόνῳ δὲ χρησάμενος πρὸς τὴν ἀλγηδόνος τὸ περιὸν εἰς τὸ πρόσθεν ἔετο φυγῇ. καὶ δεξάμενος αὐτὸν 110
Κορνήλιος Σαβῖνος τὴν διάνοιαν ἤδη προπαιτιασάμενον ὥθει καὶ κλιθέντα ἐπὶ γόνυ πολλοὶ περιστάντες ἀφ' ἑνὸς ἐγκεκλίσματος ἕκαστον τοῖς ξίφεσιν, παρακελευσμός τι τὰ πρὸς ἀλλήλους καὶ πρὸς ἔρις αὐτοῖς ἦν. τελευταῖα δὲ Ἀχίλλας, ὁμολογεῖται δὲ ὑπὸ πάντων πληγὴν ἐπαγαγών, μεθίστησιν αὐτὸν ἀκριβῶς. ἀναθεὶς δ' 111
ἄν τις τὴν πρᾶξιν Χαιρέᾳ· καὶ γὰρ εἰ σὺν πολλοῖς ἐπράχθη τὸ

AMWELat

1 ταῖσδε ταῖς] *huiusmodi* Lat χρήσασθαι MW φόβον] φόνον MW 2 διαφέρειν] ἂν διαφέρειν coni. 3 χαριζόμενον eicit Ernesti, uid. Holwerda p. 53 ὀξέως MW αὐτῶ MW 4 μηχανὰς om. M in confinio paginarum 5 βοηθείας M βοήθειαν W φθάσαντι MW 6 λόγον] λοιπὸν MW 7 φίλων] φίλων σωτηρίας coni. γε om. A πράξαντι] πρᾶξαί τι MW 8 ὀργὰς] ὁρμὰς M *iracundiam* Lat 9 αὐτόν — 10 εἰκάζειν om. MWE 11 περιφερόμενος] φερόμενος MWE *ferebatur* Lat 12 *μεσηγὺς M *φερόμενον, φε i. ras. angustiore A 15 *στόνῳ — 16 περιὸν] *sed dolorem fortiter ferens* Lat 16 *περιὸν] περιττὸν ed. pr. καὶ δεξάμενος — 20 ἦν] *quem suscipiens cornelius sabinus et ipse iam sua mente praestructus impulit. tum genu flexo cadentem multi circumstantes singuli ad inuicem gladiis et quasi ad certamina discerpserunt* Lat 17 *προκατειργασμένος MWLat καὶ κλιθέντα] κλιθέντα MW κλιθέντα δ' E 18 *πολλοὶ] πολλοὶ δὲ MW *ἀφ'] ἐφ' M *ἐκκεκλεύσματος MW 19 τὰ om. ME 20 *πρὸς ἔρις] προσέρισ A πρόσερισ M τελευταῖα — 21 ἀκριβῶς] *constat autem quia ultimus aquilas ei mortis intulit plagam* Lat τελευταῖα A τελευταίαν E δὲ om. ed. pr. ὑπὸ] παρὰ M 21 ἁπάντων W *μεθίστησιν] μεθίστησιν ed. pr. 22 *χαιρέα· A

ἔργον αὐτῷ, ἀλλ' οἷν πρῶτός τε ἐνεθυμήθη εἶναι μέντοι αὐτῶ ὃς
112 προλαβὼν πολὺ τῶν ἀπάντων. καὶ πρῶτος μὲν τολμηρῶς ἐξεῖπεν
τοῖς λοιποῖς. δεχομένων δὲ τὸν ἐπὶ τῷ φόνῳ λόγον σπουδάς τε
ἤθροισεν καὶ τὰ πάντα φρονίμως συγκροτήσας ἔνθα γνωμῶν εἰσ-
ηγήσεως ἐχρῆν πολὺ κρείσσων ἐγίγνετο καὶ λόγοις καθομίλησεν χρη-
113 στοῖς ὡς οὐ τολμῶντας ἠνάγκασέν τε τοὺς ἅπαντας, ἐπεί τε καιρὸς
ἐλάμβανεν χειρὶ χρήσασθαι, φαίνεται κἀνταῦθα πρῶτός τε ὁρμήσας
καὶ ἀψάμενος ἀρετῇ τοῦ φόνου καὶ τοῖς ἄλλοις εὐεπίβατον παρα-
σχὼν καὶ προτεθνεῶτα Γάιον, ὥστ' ἂν δικαίως καὶ ὁπόσα τοῖς
λοιποῖς εἴη πεπραγμένα τῇ Χαιρέου γνώμῃ τε καὶ ἀρετῇ προστί-
θεσθαι καὶ πόνῳ τῶν χειρῶν.

114 15. Καὶ Γάιος μὲν τοιούτῳ τρόπῳ χρησάμενος τῆς τελευτῆς
115 ὑπὸ τοῦ πολλοῦ τῶν τραυμάτων ἀπουηχθεὶς ἔκειτο. οἱ δὲ περὶ
τὸν Χαιρέαν ἐπειδὴ κατείργασιο αὐτοῖς ἤδη Γάιος, ὁδοὺς μὲν τὰς
αὐτὰς ἰόντες σῴζειν αὐτοὺς ἀμίχανον ἐώρων, ὅκνῳ τε τῶν γεγονό-
των, οἳ γὰρ μικρὸν ἦν τὸν αὐτοκράτορα ἀνῃρηκότι τὸ κινδύνευμα
ὑπό τε ἀνοίας τοῦ δήμου τιμώμενον καὶ ὄντα προσφιλῆ καὶ τῶν
116 στρατιωτῶν μὴ ἀναμωτὶ ποιησομένων τὴν ζήτησιν αὐτοῦ, ἄλλως
τε στενῶν οὐσῶν τῶν ὁδῶν, καθ' ἃς ἔπραξαν τὸ ἔργον, καὶ μεγά-
λου πλήθους ἐμφράξαντος αὐτὰς τῆς τε θεραπείας καὶ ὁπόσοι τῶν
στρατιωτῶν ἐπὶ φυλακῇ τοῦ αὐτοκράτορος ἐκείνῳ παρῆσαν τὴν
117 ἡμέραν, ὁδοίς τε ἑτέρας χωρεῖτε παρῆσαν εἰς τὴν Γερμανικοῦ
μὲν οἰκίαν τοῦ Γαΐου πατρός, ὃν τότε ἀνῃρήκεσαν, συνημμένη δὲ
ἐκείνῃ, διὰ τὸ ἓν τὸ βασίλειον ὂν ἐπ' οἰκοδομίαις ἑκάστου τῶν ἐν
τῇ ἡγεμονίᾳ γεγονότων ἀσκηθὲν ἀπὸ μέρους ὀνόματι τῶν οἰκοδο-
μηθησομένων ἢ καί τι τῶν ἡμερῶν οἰκήσεις ἀρξάντων τὴν ἐπωνυ-

AMWE Lat

1 εἶναι — 2 πολὺ] *eiναι μέντοι αὐτὸ ὡσ πραχθείη προυλαβεῖν πολὺ*, litt. *τοι αὐτὸ — πρου* i. ras. m. 2, litt. *ιν π* i. ras. m. 1 A *τοιαῦτα ὡς πραχθείη προλαβὼν πολὺ* ed. pr. 5 *ἐγίνετο* MW **καθομίλησε* W 6 *πάντασ* MW 7 *χρῆσθαι* M 8 *ἀρετῇ*] *ἀρχῇ* Hudson 9 *ὥστε* MW 10 *τοῦ Χαιρέου*] *τοῦ χαιρέα* W *τῶ χαιρέα* M 14 *τὰς αὐτὰς*] Hudson *τοσαύτασ* codd. E *eadem* Lat 15 **σώιζειν* A **αὐτοὺσ* codd. 16 *τὸν* om. E 20 **ἐμφράξαντασ* M *τῆς τε θεραπείας* om. Lat *τε* om. MW 22 *τε*] *γε* A *δέ γε* E 23 *συνημμένη* — 231, 2 *ἦσαν*] *erat enim haec domus coniuncta regalibus eo quod hi qui in eminentia constituti sunt diebus suae potentiae in talibus habitare noscuntur. et declinantes multitudinis inuasionem esse iam uidebantur in requie* Lat *συνημμένη*, litt. *συνημ* i. ras. angustiore m. 1 A *συνημμένην δὲ ἐκείνην* Bekker *συνημμένην δ' ἐκείνῃ* Lat recte ut uid., quamquam haec grauiter corrupta sunt

24 *ἐποικοδομίαισ* A *ἐποικοδομαῖς* Holwerda 25 *γεγονότος* coni. *οἰκοδομησαμένων* ed. pr. 26 *τῶν* om. ed. pr. *ἡμερῶν*] *ἡμετέρων* MW et i. marg. A *μερῶν* ed. pr. *οἴκησισ* MW *οἰκήσεως* ed. pr. *ἐπονυμίαν* W

μίαν παρασχέσθαι. καὶ διεκπεσόντες ἐκ τοῦ πλήθους τὴν ἔφοδον 118
ἐν ἀδείᾳ τὸ παρὸν ἦσαν λανθάνοντος ἀκμὴν κακοῦ τοῦ τὸν αὐτο-
κράτορα παρειληφότος. πρώτους δὲ εἰς τοὺς Γερμανοὺς ἡ αἴ- 119
σθησις ἀφίκετο τῆς Γαΐου τελευτῆς. δορυφόροι δ' ἦσαν οὗτοι
ὁμώνυμοι τῷ ἔθνει ἀφ' οὗ κατειλέχατο Κελτικοῦ τάγμα παρισχομέ-
νοι τὸ αὐτῶν. θυμῷ δὲ χρῆσθαι τάτριόν ἐστιν αὐτοῖς, ὥσπερ 120
σπάνιον εἴ τισιν ἑτέροις βαρβάροις διὰ τὸ ἰσσόντως λογισμῶν ἐπιδέ-
χεσθαι τῶν τοιουμένων, ῥωμαλέοι τε τοῖς σώμασι καὶ τῇ πρώτῃ
ὁρμῇ συνιόντες τοὺς πολεμίους. οἷς ἂν νομίσωσι, μεγάλα κατορθοῦν-
τες. οὗτοι οὖν πυθόμενοι τοῦ Γαΐου τὴν σφαγὴν καὶ περιαλγή- 121
σαντες διὰ τὸ μὴ ἀρετῇ κρίνειν ἐπὶ τοῖς ὅλοις, ἀλλὰ συμφέροντι
τῷ αὐτῶν, μάλιστα δὲ αὐτοῖς προσφιλὴς ἦν Γάιος δόσεσι χρημάτων
τὸ εἶνον αὐτῷ κινήσαντες. στασάμενοι τὰ ξίφη, προεστήκει δ' αὐτῶν 122
Σαβῖνος χιλιαρχῶν οὐ δι' ἀρετὴν καὶ γενναιότητα προγόνων, μονο-
μάχος γὰρ ἦν, ἰσχὺι δὲ σώματος τὴν ἐπὶ τοιούτοις κτησάμενος
ἄθροισιν ἀρετήν, διεξῆσαν τὰς οἰκίας ἀνερευνώμενοι τοὺς σφαγέας
τοῦ Καίσαρος. Ἀστερίναν τε χρουργήσασιν αὐτοῖς διὰ τὸ πρώτῳ 123
περιπεσεῖν, οὗ τὴν στολὴν μιᾶναν τὸ αἷμα τῶν θυμάτων, ὥς μοι
λέλεκται πρότερον, οὐκ ἐπ' ἀγαθῷ τὴν συντυχίαν ἀπεσήμαινε τοῦ
γεγονότος δεύτερος Νωρβανὸς ὑπαντίαζεν ἐν τοῖς γενναιοτάτοις τῶν
πολιτῶν καὶ πολλοὺς αὐτοκράτορας παρεχόμενος τῶν προστατούντων.
καὶ μηδὲν αἰδουμένων αὐτοὺς τὴν ἀξίωσιν ἰσχύι προίχων ἀφαιρεῖ- 124
ται τὸ ξίφος τῷ πρώτῳ τῶν ἐπιόντων συμπλακεὶς φανερός τε ἦν

AMWELat

ἀλλ' ἴθι καὶ τῶν προγόνων ἀπολάμβανε τὸν θρόνον.“ ἀνεβάσταξέν 220
τε αὐτὸν οὐ πάνυ τοῖς ποσὶ βαίνειν δυνάμενον ὑπό τε φόβου καὶ
χάρματος τῶν εἰρημένων.

2. *Συνεστρέφοντο δὲ περὶ τὸν Γράτον ἤδη καὶ πλείους τῶν* 221
σωματοφυλάκων καὶ θεωροῦντες τὸν Κλαύδιον ἀγόμενον δόξῃ τοῦ
*ἐπὶ κόλασιν ἕλκεσθαι * τῶν ἐπὶ τοιοῖσδε ζημιῶν ὡς ἄνδρα ἀπράγ-*
μονα διὰ βίου τοῦ παντὸς καὶ κινδύνοις οὔτι μετρίως ἐπὶ τῆς
Γαΐου ἀρχῆς ὁμιληκότα, τινὲς δὲ καὶ αὐτῶν τοῖς ὑπάτοις ἐντρέπειν
κρίσιν ἠξίουν τὴν περὶ αὐτόν. καὶ πλειόνων τοῦ στρατιωτικοῦ 222
συστρεφομένων φυγαί τε ἦσαν τοῦ ὁμίλου καὶ προόδων ἀπορία τῷ
Κλαυδίῳ δι' ἀσθένειαν τοῦ σώματος, ἐπεὶ καὶ οἱ τὸ φορεῖον αὐτοῦ
φέροντες περὶ τὴν ἁρπαγὴν αὐτοῦ παραγενομένης φυγῆς ἔσωζον
αὐτοὺς ἀπ' ἐλπίδος θέμενοι τὴν σωτηρίαν τοῦ δεσπότου. ἐν εὐρυ- 223
χωρίᾳ δὲ τοῦ Παλατίου γενομένοις, πρῶτον δὲ οἰκηθῆναι τῆς
Γερμίνι πάλεως τοῦτο παριδίδωσιν ὁ περὶ αὐτῆς λόγος, καὶ ἤδη
τοῦ δημοσίου ἀντιλαμβανομένοις πολὺ πλείων ἡ ἐπιροίτησις ἦν
τῶν στρατιωτῶν χαρᾷ τὴν ὄψιν δεχομένοις τοῦ Κλαυδίου. περὶ
πλείστου τε ἦν αὐτοῖς αὐτοκράτορα στήσασθαι τὸν ἔνθουσιον εὐνοίᾳ
τε τῇ Γερμανικοῦ, ἀδελφὸς δὲ ἦν αὐτοῦ ἔτι μέγα πᾶσιν τοῖς ὁμιλη-

---

AMWE Lat

1 *ἀνάμνησιν — ὑποτιθεὶς*] *ἀναμμνήσκων αὐτοὺς* E *αὐτοῖς*] *αὐτοὺς* MW 5 *συνεχορήγησαν* E 7 *τε*] *δὲ* MWE *βαίνειν τοῖς ποσὶ* tr. MWE 9 **δὲ*] *δὲ καὶ* M 10 *ἀγόμενον*] *ἀγόμενον ἐσκυθρώπαζον* E; quae desunt u. 11 post *ἕλκεσθαι* excidisse uid. 11 *τοῖσδε* W *ὡς ἄνδρα* — 13 *ὁμιληκότα*] *tamquam pro uiro sua uita quieto et multa periculi in principatu gaii perpesso dolebant* Lat 13 **ὡμηληκότα* W *τινὲς* — 14 *περὶ αὐτόν* om. Lat *αὐτῶι*] *αὐτῷ* MW, om. E *ἐντρέπειν*] *ἐμπρέπειν* MW *ἐπιτρέπειν* E et i. marg. A 14 *περὶ αὐτόν*] *ἐπ' αὐτῷ* E *αὐτόν*] *αὐτῶν* W *αὐτῷ* Bekker 15 *προόδων*] E *προσόδων* codd. *fugere* Lat **τοῦ κλαυδίου* MW 16 *ἐπεὶ καὶ οἱ* om. spatio 6 litt. uacuo relicto M *καὶ οἱ τὸ*] *κέοιτο* W *φορεῖον* MW 17 *φέροντες περὶ*] *φέροντεσ πύστεωσ περὶ*, litt. *τεσ* — *περὶ* i. ras. m. 2 A *τῆσ ἁρπαγῆσ*, utrasque *ῆσ* ex *ὴν* corr. A *φυγῆς*] *φυγῆι*, *ι* i. ras. A 18 *αὐτοὺς* MW *ἀπ'*] *ἄπ*^{o} A **ἐν* — 19 *γενομένοις* om. W 19 *γενομένοις*] E et ex corr. A *γενόμενοι* A^{1} et ut uid. Lat *γενομένου* M *πρῶτον δὲ οἰκηθῆναι*] MWE et i. marg. A *πρῶτον ἀδικηθῆναι* A 20 **περὶ αὐτῆς* om. M 21 **πλεῖον* W 22 *δεχομένων* E 23 *στήσασθαι*] coni. *στήσεσθαι* codd. E 24 *τῇ*] E *τοῦ* codd. **αὐτοῦ*] *αὐτοῦ τοῦ* A

224 κόσιν καταλειποιτὼς κλέος τὸ αὐτοῦ. ἀναλογισμός τε αὐτοὺς εἰσῄει
τῆς τε πλεονεξίας τῶν ἐν τῇ συγκλήτῳ δυναστευόντων καὶ ὁπόσα
225 ἐπὶ τῆς πρὶν ἀρχῆς ἡμάρτητο αὐτῇ. πρὸς δὲ καὶ τὸ ἀμήχανον
τοῦ πράγματος κατενόουν, καὶ πάλιν εἰς ἑνὸς ἀρχὴν μεθισταμένων
τῶν ὅλων κινδύνους αὐτοῖς φέρειν δι' ἑνὸς κτησαμένου τὴν ἀρχὴν 5
[μεθισταμένων τῶν ὅλων] καθ' ὃν ἐπιχωρήσει καὶ εὐνοίᾳ τῇ αὐτῶν
λαβόντα Κλαύδιον μνημονεύσεις τε χάριτος αὐτοῖς ἀποδιδόντα τιμήν,
ἣ ἐπὶ τοιούτοις γένοιτ' ἂν ἀρκοῦσα.

226 3. Ταῦτα πρός τε ἀλλήλους καὶ δι' ἑαυτοὺς διεξῇσαν καὶ
τοῖς ἀεὶ προσπίπτουσιν διηγοῦντο. οἱ δὲ πυνθανόμενοι προθύμως 10
ἐδέχοντο τὴν πρόκλησιν, συμφράξαντές τε καὶ περικλάσαντες ἦγον
ἐπὶ τοῦ στρατοπέδου φοράδην ἀναβαστάσαντες, ὡς μὴ ἐμποδίζοιτο
227 αὐτοῖς ἡ ἔπειξις. διειστήκεσαν δὲ αἱ γνῶμαι τοῦ δήμου καὶ τῶν
ἐκ τῆς βουλῆς· οἱ μὲν ἀξιώματός τε τοῦ πρότερον ὀρεγόμενοι καὶ
δουλείαν ἔπακτον αὐτοῖς ὄφρει τῶν τυράννων γενομένην φιλοτιμού- 15
228 μενοι διαδιδράσκειν χρόνῳ παρασχόν, ὁ δὲ δῆμος ᾠθόνῳ τε πρὸς
ἐκείνην καθισταμένης καὶ τῶν πλεονεξιῶν αὐτῆς ἐπιστόμισμα τοῖς
αὐτοκράτορας εἰδὼς καὶ αὐτοῦ καταφυγὴν ἔχαιρεν Κλαυδίου τὴ
ἁρπαγῆ στάσιν τε ἔμφυλον, ὁποία καὶ ἐπὶ Πομπηίου γένοιτο,
ἀναλλάξειν αὐτῶν ὑπελάμβανον τοῦτον αὐτοκράτορα καθισταμένου. 20
229 γνοῦσα δ' ἡ βουλὴ τὸν Κλαύδιον ὑπὸ τῶν στρατιωτῶν ἀφιγμένον
εἰς τὸ στρατόπεδον πέμπει πρὸς ἐκεῖνον ἄνδρας ἀρετῇ τοὺς ἐξ

AMWE Lat

1 καταλειποιτὼς] E καταλειποίτοσ codd. τὸ om. E 3 πρὸς δὲ — 8 ἀρκοῦσα] *inter haec eium rursus cogitabant, quia imperium deductum ad unum periculo non careret, quando quodcumque solus uellet efficeret, sed etiam quia claudius cum imperium susciperet, pro fauore senatui gratiam repensaret sufficienter* Lat 4 αὐτοὺσ M δι' ἑνὸς] διά τινοσ MW 6 μεθισταμένων τῶν ὅλων om. Hudson παρὸν W 8 *γένοιτο ἂν MW 9 δι' om. E *ἐξῇσαν W 10 διηγοῦντο] Cocceji διηροῦντο codd. E 11 *ἐδέχοντο, δ i. ras. A διεδέχοντο MW *συμπράξαντέσ MW περικλάσαντες] περικλείσαντεσ, ει ex α corr. A 12 ἐπιποδίζοιτο A 13 ἔπειξις] ἐπίδειξισ A διειστήκεισαν AE διεστήκεσαν MW *γνῶμαι τοῦ i. ras. A τοῦ] τοῦ τε E 14 *ἀξιώματός τε τοῦ πρότερον] *dignitatem pristinam* Lat τοῦ] ELat οὗ codd. 15 ἔπακτὴν (ἡ ex ὸ corr. A) AE 16 παρασχόν] Hudson παρέσχον codd. E 17 ἐκεῖνον E 18 αὐτοκράτοροσ (ο (in οσ) ex corr. W) MWE Κλαυδίου τῇ] τῇ κλαυδίου MW τοῦ κλαυδίου τῇ E 19 στάσιν — 20 καθισταμένου] *tunc itaque paene bellum iam ciuile quale sub pompeio flagrabat, quod tamen imperatore constituto sedatum est* Lat στάσιν] ed. pr. ex Lat πᾶσι codd. ἔμφυλα ὁπόσα M 20 ἀπαλλάξειν Λ ἀπαλλάξει MW αὐτὸν, ὁ ex ω corr. A ὑπελάμβανον] ὑπολαμβανομένων MW τοῦτον] τοῦ τὸν A καθισταμένου Hudson 21 δὲ MWE *ἀφιγμένων M 22 *ἄνδρας — 251, 1 αὐτῶν] *uiros de suo coetu uirtute claros* Lat *ἄνδρα M

αὐτῶν, οἳ διδάξειαν μὴ δεῖν ἐπὶ καθέξει τῆς ἀρχῆς βιάζεσθαι, παραχωρεῖν δὲ τῇ συγκλήτῳ τοσῶνδε ἀνδρῶν ἕνα ὄντα ἡσσώμενον καὶ τῷ νόμῳ παραχωροῦντα τοῦ ἐπὶ τοῖς κοινοῖς κόσμου τὴν πρόνοιαν, μνημονεύοντα ὧν οἱ πρότεροι τύραννοι κακώσειαν τὴν πόλιν καὶ ὧν ὑπὸ Γαΐου καὶ αὐτὸς κινδυνεύσειεν σὺν αὐτοῖς, μηδὲ μισήσαντα τὴν βαρύτητα τῆς τυραννίδος ὑφ' ἑτέρων πρασσομένης τῆς ἴδρεως αὐτὸν ἐθελουσίως ἐπὶ παροινίᾳ θαρσεῖν τῆς πατρίδος. καὶ πειθομένῳ μὲν τοί πρότερον ἀπράγμονος τὴν ἀρετὴν ἐπιδείκνυ- 231
μένῳ βέβαιον τιμάς τε ὑπάρξειν, αἳ ὑπὸ ἐλευθέρων ψηφισθεῖεν τῶν πολιτῶν, καὶ ἐπιχωρήσει τοῦ νόμου τὸ μέρος ἄρχοντά τε καὶ ἀρχόμενον κερδανεῖν ἔπαινον ἀρετῆς. εἰ δὲ ἀπονοοῖτο μηδὲν ἐκ 232
τῆς Γαΐου τελευτῆς σωφρονιζόμενος οὕτι γε αὐτοὶ ἐπιτρέψειν· τῆς τε γὰρ στρατιᾶς πολὺ εἶναι τὸ συνεσταλκὸς αὐτοῖς ὅπλων τε εὐπορίαν καὶ πλῆθὺν οἰκειῶν, οἳ χρήσαιντο αὐτοῖς. μέγα δὲ μέρος 233
τὴν τε ἐλπίδα εἶναι καὶ τὴν τύχην, τούς τε θεοὺς οὐκ ἄλλοις συμμαχεῖν, ἀλλὰ τοῖς μετ' ἀρετῆς καὶ τοῦ καλοῦ τοὺς ἀγῶνας ποιουμένοις. εἶναι δὲ τούτους, οἳ ἂν περὶ ἐλευθερίας μάχωνται τῆς πατρίδος.

4. Καὶ οἱ μὲν πρεσβευταὶ Οὐηράνιός τε καὶ Βρόγχος, δήμ- 234
αρχοι δὲ ἦσαν ἀμφότεροι, τοιαῦτ' ἐχρῶντο τοῖς λόγοις καὶ καθικέτευον τοῖς γόνασιν αὐτοῦ προσπεσόντες μηδαμῶς πολέμοις καὶ κακοῖς ἐμβαλεῖν τὴν πόλιν. θεωροῦντες στρατιᾶς πλῆθός τὸν Κλαύδιον πεπραγμένον καὶ τὸ μηδὲν τοῖς ὑπάτοις ὄντας συγχρίσει τῇ πρὸς αὐτούς. εἴ τι τῆς ἀρχῆς ὀρέγοιτο, παρὰ τῆς βουλῆς δέχεσθαι 235

AMWE Lat

1 αὐτῶν] αὐτῶν προὔχοντας E μὴ δεῖν — βιάζεσθαι] *ut pro adeptione regni nullam uim faceret* Lat *μὴ δεῖν] μηδὲν E et i. marg. A et ut uid. Lat *ἐπὶ καθέξει] ἐπικαθίζειν MW *ἀρχῆς] ἀρετῆς MW 2 *ἡσσώμενον] ἢ ἐσόμενον MW 3 παραχωροῦντι E *τοῦ] τῷ MW 4 ὧν] ὧν τε E *πρότεροι] τε πρότερον i. ras. m. 2 A 7 *ἐθελουσίως] ἐθέλουσιν ὡσ MW 8 τοῦ] καὶ τοῦ MWE 9 τιμὰς τε ὑπάρξειν] τιμᾶσθαι MW 10 τῶν iterat W 11 κερδανεῖν] coni. κερδαίνειν codd. E *ἔχ om. MW 12 οὔτι] οὔ τέ A αὐτοὶ] αὐτοῖσ MW et i. marg. A αὐτοὺσ E 13 *σνεστηκὸσ, ν i. ras. A 14 *οἳ χρήσαιντο αὐτοῖς] *quibus aduersus eum fortiter uterentur* Lat, unde οἷς χρήσαντο αὐτοί Hudson 16 μετὰ MWE 19 Οὐηράνιός] ed. pr. ex Lat οὐϊράνιόσ A οὐηϊράνιοσ M οὐϊηράνιοσ W, γρ ἐν ἄλλοισ οὐράνιοσ i. marg. A Βρόγχος] βροῦχοσ MW βρόχοσ E *braccus* Lat Βρόκχος Hudson Βροῦτος Casaubonus 22 ἐμβαλεῖν A ἐμβάλλειν E θεωροῦντες] θεωροῦντεσ δὲ E 24 εἴ τε] ἐπῆγον εἰ δὲ E *εἴ τε — ὀρέγοιτο] *suadebantque simul ut si appeteret principatum* Lat *ὀρέγοιντο MW

διδομένην· αἰσιώτερον γὰρ καὶ εὐδαιμονέστερον χρῆσθαι τὸν μὴ μετὰ ὕβρεως ἀλλ' εὐνοίᾳ τῶν διδόντων παραλαμβάνοντα.

236 IV. 1. Κλαύδιος δέ, ἠπίστατο γὰρ μεθ' οἵας αὐθαδείας ἀποσταλεῖεν, καὶ πρὸς τὸ παρὸν γνώμῃ τῇ αὐτῶν ἐπὶ τὸ μετριώτερον τρεπόμενος, οὐ μὴν ἀλλὰ καὶ τῷ περὶ αὐτοὺς φόβῳ διαναστὰς ἅμα μὲν θάρσει τῶν στρατιωτῶν ἅμα δὲ Ἀγρίππου τοῦ βασιλέως κελεύοντος μὴ προέσθαι τῶν χειρῶν τηλικαύτην ἀρχὴν ἥκουσαν
237 αὐτόματον. πράξας μὲν καὶ περὶ Γάιον οἷον εἰκὸς ἄνδρα υἱὸν αὐτοῦ διὰ τιμῆς ἠγμένον, καὶ γὰρ τὸν νεκρὸν περιέσπεν τοῦ Γαΐου καὶ ἀναθέμενος ἐπὶ κλίνης καὶ περιστείλας ἐκ τῶν ἐνδεχομένων εἰς τοὺς σωματοφύλακας ὑπεχώρει, ζῆν μὲν τὸν Γάιον ἀπαγγέλλων
238 κακοπαθοῦντί γε ὑπὸ τραυμάτων ἰατροὺς μετέσεσθαι λέγων· πυθόμενος δὲ τοῦ Κλαυδίου τὴν ὑπὸ τῶν στρατιωτῶν ἁρπαγὴν ὠθεῖτο πρὸς αὐτὸν καὶ καταλαβὼν τεταραγμένον καὶ οἷόν τε ἐκχωρεῖν τῇ
239 στρατιᾷ ἀπήγειρεν ἀντιλαμβάνεσθαι κελεύων τῆς ἡγεμονίας. ταῦτα δὲ πρὸς τὸν Κλαύδιον εἰπὼν προσεχώρει πρὸς αὐτόν, καὶ μεταπεμψάμενος αὐτὸν τῆς βουλῆς χρισάμενος μύρῳ τὴν κεφαλὴν ὡς ἀπὸ συνουσίας γινομένης ἀναλύσεως αὐτῷ παρῆν καὶ ἤρετο τοὺς
240 βουλευτάς, τί πέπραχε Κλαύδιος. τῶν δὲ τὰ ὄντα φαιένων καὶ προσανερωμένων, ἥντινα γνώμην ἔχοι περὶ τοῖς ὅλοις, τελευτῶν μὲν ὑπὲρ τοῦ κατ' ἐκείνην εὐκλεοῖς ἕτοιμος ἦν τοῖς λόγοις, σκοπεῖν δὲ ἐκέλευε περὶ τῷ συμφέροντι πᾶν ὅ τι καὶ εἰς ἡδονὴν φέροι ὑπεξε-
241 λομένους· χρείαν γὰρ εἶναι τοῖς ἀρχῆς μεταποιουμένοις καὶ ὅπλων καὶ στρατιωτῶν, οἳ φράξαιντο αὐτοῖς, μὴ καὶ ἀπαράσκευοι κατα-

§ 236 = bell. Iud. II 206.

AMWELat

2 ἀλλὰ E 3 γὰρ om. E ἀποσταλεῖεν] E et i. marg. A ἀποστείλειε (-εν A¹) AMW *senatus — direxisset* Lat 5 τρεπόμενος] ἐτέραπτο E τῷ περὶ αὐτοὺς φόβῳ] τὸ περὶ αὐτοὺς αὖθις φόβῳ E τοῦ περὶ αὐτῷ φόβου Bekker *αὐτοὺς ex αὐτοῦ corr. A *ἐξαναστὰς coni. 6 *ἀγρίππου A 7 *μὴ] om. Lat προέσθαι MWE 8 πράξας] ὃς πράξας E i. marg. *III* Lat οἷα E 9 καὶ γὰρ — 12 λέγων] *et eius lectum lugubriter prosecutus* Lat περιέσπε] Bekker περιέπεσε (-σεν A¹) codd. E περιέπλεξε Hudson 12 κακοπαθοῦντα E γε] δὲ MWE ὑπὸ] E ἀπὸ codd. *τραυματιῶν A μετέσεσθαι] μετιέσθαι M et i. marg. A μεθίεσθαι W μετελθεῖν E μετείσεσθαι coni. dubitans 16 τὸν om. E *πρὸς αὐτὸν Hudson 17 χρησάμενος M χρησάμενος W 18 αὐτῶι ex corr. A αὐτῇ Hudson 19 *πεπράχει MW τὰ ὄντα] τά τε ὄντα E 20 *προσανερωμένων W *ἥντινα] τίνα MW 22 περὶ τοῦ συμφέροντος E *ὑπεξελόμενος MW 23 *τοῖς] τῆς W 24 *αὐτοῖς] αὐτοὺς Cocceji

στάντες εἰς τάδε σφαλεῖεν. ἀποκριναμένης δὲ τῆς βουλῆς ὅτλων 242
τε εὐπορίαν καὶ χρήματα εἰσοίσειν, καὶ στρατιᾶς τὸ μέν τι αὐτοῖς
εἶναι συνεπικός, τὸ δὲ συγκρατήσειν ἐλευθερώσεως δούλων γενο-
μένης, „ἀλλ' ἡμέν, ὦ βουλή, φησὶν ὁ Ἀγρίππας ὑπατικόν, πρόσσειν
ὁπόσα θυμὸς ὑμῖν, λεκτέον δὲ οὐδὲν ἐνδοιάσαντί μοι διὰ τὸ ἐπὶ
σωτηρίᾳ φέρειν τὸν λόγον. ἴστε μὴν στρατόν, ὃς ὑπὲρ Κλαυδίου 243
μαχεῖται, πλῆθει χρόνον ὁπλιτεύειν μεμελετηκότα, τὰ δ' ἡμέτερα,
αὐγελδὸν ἀνθρώπων πλῆθος δ' ὅσοι καὶ τῶν παρὰ δόξαν τῆς
δουλείας ἀπηλλαγμένων, δυσκράτητα. πρὸς δὲ τεχνίτας μαχούμεθα
προαγαγόντες ἄνδρας μηδ' ὅπως σπάσαι τὰ ξίφη εἰδότας. ὥστε 244
μοι δοκεῖ πέμπειν ὡς Κλαύδιον πείσοντας κατατίθεσθαι τὴν ἀρ-
χήν, πρεσβεύειν τε ἕτοιμός εἰμι."

2. Καὶ ὁ μὲν ταῦτα εἶπεν, καὶ συγκαταθεμένων πεμφθεὶς 245
σὺν ἑτέροις τὴν τε παραχὴν τῆς βουλῆς διηγεῖται καταμόνας πρὸς
τὸν Κλαύδιον ἰδίᾳ σοφώτερόν τε ἀποκρίνασθαι καὶ τῷ
ὄχλῳ μᾶλλον εἰς ἐξουσίαν χρώμενον. ἔσχεν οὖν Κλαύδιος, οἱ θαυμά- 246
ζειν τὴν βουλὴν ἡδονῇ μὴ φέρουσαν ἄρχεσθαι διὰ τὸ ὠμότητι
τετρῦσθαι τῶν πρότερον ἐπὶ τὸ ἡγεμονεύειν καταστάντων, γεύσειν
τε αὐτοὺς ἐπιεικείᾳ τῇ καθ' αὑτὸν μετρίων καιρῶν, ὀνόματι μὲν
μόνῳ τῆς ἀρχῆς ἐσομένης, ἔργῳ δὲ κοινῆς πᾶσι προκεισομένης εἰς
μέσον. διὰ πολλῶν δὲ καὶ ποικίλων ὠδευκότι πραγμάτων ἐν ὄψει
τῇ ἐκείνων καλῶς ἔχειν μὴ ἀπιστεῖν. καὶ οἱ μὲν πρέσβεις τοιού- 247
των ἀρχὴν λόγων καθομιληθέντες ἐξεπέμποντο. Κλαύδιος δὲ
τῇ στρατιᾷ συλλεχθέντι διελέγετο ὅρκους λαμβάνων ἢ μὴν ἐμμενεῖν

§ 246 = bell. Iud. II 208.

AMWELat

1 *σφαλοῖεν M 2 *εὐπορίαν] εὐπορεῖν coni. *μέν τι] μέντοι W αὐτοῖς] E αὐτῶν codd. 3 *συγκρότησιν A 6 μὴν] δὴ E 7 *δὲ MW *ἡμέτερα] ἡμέτερα, A ἡμέτερα εἰ Bekker 8 δ'] δὲ MW, om. E 9 *ἀπηλλαγμένων, ω ex corr. W δυσκράτητα] E δυσκράτητον codd. 10 μηδ'] μηδὲ MWE σπᾶσαι A σπάσειν M πᾶσιν W σπάσειεν E σπῶσι Hudson 11 *δοκεῖ MW 13 συγκαταθεμένω· A 15 ἀποκρίνεσθαι E 18 *προτέρων A¹MWE ἐπὶ τὸ] ἐπὶ τῷ (ω ex o corr. A) AE 19 τε] δὲ E αὐτοὺς om. E *τῇ] ex τῆσ corr. uid. A κατ' αὐτὸν E *ὀνόματι — 20 ἐσομένης] cum nomine tantum ipse princeps foret Lat 20 ἐσομένης] ἐσομένησ αὐτῷ E *ἔργῳ — προκεισομένης om. MW προκειμένης E 21 διὰ πολλῶν — πραγμάτων] eo quod multarum uariarumque rerum uideretur expertus Lat ὠδευκότι] Hudson ὠδευκότων codd. ὠδευκότων τῶν E 22 *τῇ] τῆσ MW 24 ἐμμενεῖν] Dindorf ἐμμένειν codd. E

πίστει τῇ πρὸς αὐτόν. δωρεῖται τοὺς σωματοφύλακας πεντακισχιλίαις δραχμαῖς κατὰ ἕκαστον ἄνδρα, τοῖς τε ἡγεμόσιν αὐτῶν ἀνάλογον τοῦ ἀριθμοῦ καὶ τοῖς ὅποι ποτὲ στρατοπέδοις ὑπισχνεῖτο τὰ ὅμοια.

248 3. Συνεκάλουν δὲ οἱ ὕπατοι τὴν βουλὴν εἰς τὸ ἱερὸν τοῦ νικηφόρου Διός· ἔτι δὲ νὺξ ἦν. τῶν δὲ οἱ μὲν ἐν τῇ πόλει κλέπτοντες ἑαυτοὺς ἐνεδρίαζον πρὸς τὴν ἀκρόασιν, τοῖς δὲ ἐπὶ τῶν ἰδίων ἀγρῶν ἐγεγόνεισαν ἔξοδοι προορωμένοις ἢ χωρήσει τὸ πᾶν ἐν ἀπογνώσει τοῦ ἐλευθέρου γεγονότος, καὶ πολὺ κρεῖττον ἐν ἀκινδύνῳ τοῦ δουλεύειν ὑπειληφότες διαβιοῦν ἀργίᾳ τοῦ πονεῖν ἢ κτώμενοι τὸ ἀξίω-
249 μα τῶν πατέρων περὶ τῆς σωτηρίας ἀμφίβολοι καταστῆναι. συνελέγησαν δ' ὅμως ἑκατὸν οὐ πλείους, καὶ διαβουλευομένων περὶ τῶν ἐν χερσὶν αἰφνίδιον ἄρεται βοὴ τοῦ συνεστηκότος αὐτοῖς στρατιωτικοῦ στρατηγὸν αὐτοκράτορα κελεύοντων τὴν βουλὴν ἑλέ-
250 σθαι καὶ μὴ φθείρειν πολυαρχίᾳ τὴν ἡγεμονίαν. καὶ τὸ μὲν καθ' ἑαυτοὺς ἀπεφαίνοντο περὶ τοῦ μὴ πᾶσιν, ἀλλ' ἐπὶ τὴν ἀρχὴν ἐφέσιμον εἶναι. ὁρᾶν δὲ ἐκείνοις ἐπιτρέπειν. ὅστις τοσαύτης προστασίας ἄξιος. ὥστε ἐν ἀνίᾳ τὰ τῶν συγκλητικῶν ἦν πολὺ πλέον δι' ἁμαρτίαν μὲν τοῦ κατὰ τὴν ἐλευθερίαν αἰχήματος. φόβῳ δὲ τοῦ Κλαυ-
251 δίου. οὐ μὴν ἀλλ' ἦσαν οἱ ἐφιέμενοι γένους τε ἀξιώματι καὶ οἰκειότητι γάμου· καὶ γὰρ Μινουκιανὸς Μᾶρκον καὶ τὸ καθ' αὑτὸν γενναιότητι ἀξιόλογον ὄντα καὶ δὴ ἀδελφὴν Γαΐου γεγαμηκότα Ἰουλίαν, πρόθυμός τε ἦν ἀντιτοιεῖσθαι τῶν πραγμάτων, κατεῖχον
252 δὲ οἱ ὕπατοι πρόφασιν ἐκ προφάσεως ἀναρτῶντες. Οὐαλέριον δὲ

AMWE Lat

1 *δωρεῖται*] *καὶ δωρεῖται* ed. pr. *δωρεῖται τε* coni. *δωρεῖται οὖν τοὺς σωματοφύλακας*, litt. *αι* οὖν *τους σ* i. ras. m. 2 A 3 *ὑπισχνεῖται* MW 6 *ἦν νὺξ* tr. E 8 **προορωμένοις* — 9 *γεγονότος*] *prospicientes quoniam si res ad effectum ueniret in libertatis desperatione consisterent* Lat 9 *γεγονότες* E **κρείττων* M *κρείττω* W *ἐν ἀκινδύνῳ* — 10 *πονεῖν*] *ἐν ἀκινδύνοις τὸ δουλεύειν ὑπειληφότες* E 11 *περὶ τῆς*] *περί τε* MW *περὶ* E 12 *δὲ* MWE 13 **χερσὶν* M 14 **στρατηγὸν αὐτοκράτορα*] *στρατηγικὸν αὐτοκράτορα* Hudson *militaris imperator* Lat 15 *μὲν* om. E 17 **ὁρᾶν*] *ἐᾶν* Naber *τοιαύτης* E 18 *ἐναίαι* A *ἐναντίᾳ* MWE *contraria* Lat *δι' ἁμαρτίαν μὲν*] *διαμαρτία* E 19 *φόβῳ δὲ*] *καὶ φόβῳ* E 20 **τε*] *γε* MW 21 *οἰκειότητι* E *καὶ γὰρ* — 23 *πραγμάτων*] *minucianus namque marcum fortitudine dignum qui iuliam gai sororem habebat uxorem studebat eligere, ut rerum culmine potiretur* Lat *μινουκιανον* E **μάρκος* MW, M. Vinicius dicitur, cf. § 102 *τὸ*] *τῶν* M *τῷ* E *τῇ* Bekker 22 *δὴ*] *δι'* MW et ut uid. A[1], om. E 23 *πρόθυμός τε ἦν*] *πρόθυμον ὄντα* E **κατεῖχον*] *καὶ κατεῖχον* ed. pr. 23 *δὲ* om. MWE **οὐαλέριον* M *δὲ*] *τε* MWE

Ἀσιατικὸν Μινουκιανὸς ἐκ τῶν Γαΐου σφαγέων ἀνεῖχε τοιούτων διανοιῶν. ἐγεγόνει δ' ἂν φόνος οὔ τινος ἐλάσσων ἐπιχωρηθέντων τῶν ἐπιθυμούντων τῆς ἡγεμονίας, ὥστε ἀντιτάξασθαι Κλαυδίῳ, ἄλλως τε καὶ οἱ μονομάχοι, πλῆθος δ' ἦν αὐτῶν ἀξιόλογον, καὶ 253
5 τῶν στρατιωτῶν οἱ νυκτοφυλακοῦντες ἐπὶ τῆς πόλεως ἐρέται τε ὑπόσοι συνέρρεον εἰς τὸ στρατόπεδον, ὥστε τῶν μετιόντων τὴν ἀρχὴν οἱ μὲν φειδοὶ τῆς πόλεως, οἱ δὲ καὶ φόβῳ τῷ ὑπὲρ αὐτῶν ἀπέστησαν.

4. Ὑπὸ δὲ πρώτην ἀρχὴν τῆς ἡμέρας καὶ Χαιρέας καὶ οἱ 254
10 σὺν αὐτῷ παρελθόντες ἐν ἐπιχειρήσει λόγων ἦσαν πρὸς τοὺς στρατιώτας. τῶν δὲ τὸ πλῆθος ὡς ὁρᾷ παύοντας αὐτοὺς ταῖς χερσὶ καὶ τοῦ εἰπεῖν οἵους τε ἄρχεσθαι, ἀνεθορύβησεν μὴ ἐφιέναι ὥστε εἰπεῖν διὰ τὸ ὁρμᾶσθαι πάντας ἐπὶ τῷ μοναρχεῖσθαι, τὸν δὲ ἡγησόμενον ἐκάλουν ὡς οὐκ ἀνεξόμενοι τὰς τριβάς. τῇ συγ- 255
15 κλήτῳ δὲ ἀπορίᾳ ἄρχειν τε καὶ ὃν ἀρχθεῖεν ἂν τρόπον οὔτε δεχομένων αἰτοὺς τῶν στρατιωτῶν καὶ τῶν Γαΐου σφαγέων συγχωρεῖν τοῖς στρατιώταις οὐκ ἐφιέντων. ἐν τοιούτοις δὲ ὄντων Χαιρέας 256 τὴν ἀρχὴν οὐκ ἀναιρόμενος πρὸς τὴν αἰτησιν τοῦ αὐτοκράτορος δώσειν ἐπηγγέλλετο στρατηγόν, εἴ τις αὐτῷ σημεῖον παρὰ Εὐτύχου
20 κομίσειεν. ἦν δὲ ὁ Εὔτυχος οὗτος ἡνίοχος τοῦ καλουμένου πρασίνου 257 περισπουδάστου Γαΐῳ, καὶ περὶ τὰς οἰκοδομὰς τῶν στάσεων τοῦ περὶ ἐκεῖνον ἱππικοῦ τὸ στρατιωτικὸν ἐτρίβετο ἀτίμοις ἐργασίαις ἐπικείμενον. εἰς ἅπερ ὁ Χαιρέας ὠνείδιζεν αὐτοὺς καὶ ἕτερα πολλὰ 258 τοιαῦτα. τήν τε κεφαλὴν κομεῖν τοῦ Κλαυδίου· δεινὸν γάρ. εἰ μετὰ
25 μανίαν παραφρονίσῃ δώσουσι τὴν ἡγεμονίαν. οὐ μὴν διετράπησάν 259 γε ἐπὸ τῶν λόγων, ἀλλὰ σπασάμενοι τὰς μαχαίρας καὶ τὰ σημεῖα

§ 259 = bell. Iud. II 211.

AMWE Lat

1 μινουκιανὸς post σφαγέων tr. E *ἐκ] εἰς coni. *σφαγῶν MW litt. *τοιούτων — 3 ὥστε ἀντιτά i. ras. m. 2 A 2 *δὲ A *οὔ] οὗ M οὕ W ἐπισυνχωρηθέντων A συνχωρηθέντων E 4 δὲ MW 5 ἐρέται] ed. pr. αἱρεταί ex corr. A αἵρεταί A¹MW, om. Lat 9 τῆς om. MWE 11 τῶν δὲ — 13 μοναρχεῖσθαι] οἱ δ' ἀνεθορύβουν ὠρμημένοι πάντες ἐπὶ τὸ μονομαχεῖσθαι E παύοντας] coni. παύσαντας A παύσοντασ MW 12 ἐφιέναι] ἐφεῖσ μὲν MW 13 τῷ] τὸ A¹MWE 14 τῆσ τριβῆσ E 15 ἀρχθεῖεν] ὀρεχθεῖεν MW τρόπον] τὸν τρόπον W δεχομένων αὐτοὺς] Hudson δεχομένονσ αὐτῶν codd. 17 ὄντων] τῶν πραγμάτων ὄντων E 20 ἡνίοχος — 22 ἐτρίβετο] agitator prasini gaio et militibus circa solemnitates circensium et seditiones Lat 21 γαΐου A οἰκοδομὰς] οἰκονομίασ, ν ex δ m. A τοῦ περὶ ἐκεῖνον ἱππικοῦ] ed. pr. τοὺσ περὶ ἐκεῖνον (ἐκείνων W) ἱππικοὺσ codd. 23 ἐπικείμενοσ MW 26 *τε post σπασάμενοι add. MW

ἀράμενοι ὤχοντο ὡς τὸν Κλαύδιον κοινωνήσοντες τοῖς ὁμνύουσιν αὐτῷ. κατελείπετο δὲ ἥ τε σύγκλητος ἐπ' ἐρημίας τῶν ἀμυνούντων
260 καὶ οἱ ὕπατοι μηδὲν ἰδιωτῶν διαφέροντες. ἔκπληξίς τε καὶ κατήφεια ἦν, οὐδ' ὅτι χρήσαιντο αὐτοῖς τῶν ἀνθρώπων εἰδότων διὰ τὸ ἀνῃρεθίσθαι τὸν Κλαύδιον ἐπ' αὐτοῖς, ἀλλήλοις τε ἐλοιδοροῦντο. 5
261 καὶ μετάμελος ἦν αὐτοῖς. καὶ Σαβῖνος εἷς τῶν Γαΐου σφαγέων σφάξειν πρότερον αὐτὸν ἠτείλει παρελθὼν εἰς μέσους ἢ Κλαύδιον ἄρχοντα στήσεσθαι καὶ δουλοκρατίαν ἐπόψεσθαι καταλαβοῦσαν. τόν τε Χαιρέαν εἰς φιλοψυχίαν ἐτέλησσεν, εἰ καταφρονήσας Γαΐου πρῶτος ἀγαθὸν ὑπολαμβάνοι τὸ ζῆν τῆς ἐλευθερίας οὐδ' οὕτως 10
262 ἀποδοθῆναι δυναμένης τῇ πατρίδι. Χαιρέας δὲ περὶ μὲν τοῦ θνήσκειν ἐνθουσιῶν οὐδὲν φρονεῖν ἔλεγεν, βούλεσθαι μέντοι διακωδωνίζειν διάνοιαν τὴν Κλαυδίου.

263 5. Καὶ οἱ μὲν ἐν τοῖσδε ἦσαν. ἐπὶ δὲ τοῦ στρατοπέδου παντα-
χόθεν ὠθεῖτο κατὰ Θερατείαν. καὶ τῶν ὑπάτων ὁ ἕτερος Κόιν- 15
τος Πομπώνιος δι' αἰτίας ἦν τῷ στρατιωτικῷ μᾶλλον ὡς ἐπ' ἐλευθερίᾳ τὴν σύγκλητον παρακαλῶν. ὥρμησάν τε σπασάμενοι τὰ ξίφη,
264 κἂν ἐπέπρακτο αὐτοῖς μὴ Κλαυδίου διακεκωλυκότος. παρακαθίζεται δὲ αὐτῷ τὸν ὕπατον ἐξαρτάσας τοῦ κινδύνου, τῶν δὲ συγκλητικῶν ὅσον ἦν σὺν τῷ Κοΐντῳ οἱ μεθ' ὁμοίας ἐδέχετο τιμῆς· τινὲς 20
δὲ καὶ πληγὰς ἔλαβον αὐτῶν ἀνωθούμενοι· τῆς πρὸς αὐτὸν ἐντεύξεως, Ἀπώνιος δὲ τραυματίας ἀνεχώρει, ἦν τε κίνδυνος περὶ πάν-
265 τας αὐτούς. καὶ Ἀγρίππας ὁ βασιλεὺς προσελθὼν τῷ Κλαυδίῳ ἀξιοῖ τοῖς συγκλητικοῖς ἡπιώτερον καταστῆναι· γενομένου γάρ τινος
266 κακοῦ περὶ τὴν βουλὴν οὐχ ἕξειν ὧν ἄρξειεν ἕτερον. πείθεται δὲ 25

§ 259 = bell. Iud. II 211.

AMWE Lat

2 ἐπ' ἐρημίας] ἐπ' ἐρημίαι A ἐν ἐρημίᾳ E *ἀμυνόντων MW οἱ om. M 4 οὐδὲ MW 5 ἀνῃρεθίσθαι] ἀναιρεῖσθαι MW 6 αὐτοῖς suspectum 7 σφάξειν] φράξειν E σφάξειν Herwerden αὐτὸν MWE παρελθὼν εἰς μέσους om. E 8 *δουλοκρατείαν MW 9 *εἰς φιλοψυχίαν om. MW *ἐπέπλησσεν, ἐ ex ἀ corr. A ἐπέπλησεν W 10 *ἀγάθων MW ὑπολαμβάνει E *οὐδὲ MW 11 δυναμένης ἀποδοθῆναι tr. ME 12 *ἐνδιαστὸν W *βουλεύεσθαι MW 14 ἐν τοῖσδε] ἐν τοιοῖσδε E πανταχόθεν] πᾶσι πανταχόθεν AE litt. *δου πᾶσ — 15 ὑπάτων i. ras. m. 2 A 15 *Θερατείαν] θεραπείαν κλαυδίου A 16 Πομπώνιος] Hudson πομπήϊος codd. E Lat; cf. bell. Iud. § 205 ἐλευθερίᾳ] coni. ἐλευθερίασ codd. ἐλευθερίαν E 17 *ὥρμησάν τε] ὁρμήσαντεσ MW *τὰ om. MW 18 *παρακαθέζεται W 19 τὸν δὲ συγκλητικὸν E 20 ὅσον] coni. ὁσ codd. E ὅ ed. pr. *οἳ] ὧ M ὅ W 21 *ἀπωθούμενοι Ernesti 22 *Ἀπώνιος] apolinus Lat *τε] δὲ A *περὶ] παρὰ W 25 οὐκ ἔχειν E ἕξει A *ἄρξειν M

Κλαύδιος καὶ συγκαλεῖ τὴν βουλὴν ἐπὶ τοῦ Παλατίου διὰ τῆς
πόλεως φερόμενος παραπέμπεται αὐτὸν τοῦ στρατιωτικοῦ σὺν
πολλῇ πάνυ κακώσει τῆς πληθύος. προεξέβησαν δὲ τῶν Γαΐου 267
σφαγέων εἰς τὸ φανερώτερον Χαιρέας καὶ Σαβῖνος εἰρόμενοι προ-
όδων κατ' ἐπιστολὰς Πολλίωνος, ὃν μικρῷ πρότερον Κλαύδιος
στρατηγὸν ἤρητο τῶν σωματοφυλάκων. Κλαύδιος δέ, ἐπείτε εἰς 268
τὸ Παλάτιον ἀφικνεῖται συναγαγὼν τοὺς ἑταίρους ψῆφον ἀνεδίδου
περὶ Χαιρέου. τοῖς δὲ τὸ μὲν ἔργον λαμπρὸν ἐδόκει, ἀπιστίαν δ'
ἐπεκάλουν τῷ πεπραχότι καὶ αὐτῷ τιμωρίαν ἐπιβάλλειν δίκαιον
ἡγοῦντο ἐπ' ἀποτροπῇ τοῦ μέλλοντος χρόνου. ἀπήγετο οὖν τὴν 269
ἐπὶ θανάτῳ καὶ σὺν αὐτῷ Λοῦππός τε καὶ Ῥωμαίων πλείους.
λέγεται δὲ Χαιρέας μεγαλοφρόνως ἐνεγκεῖν τὴν συμφορὰν οὐ μόνον
τῷ κατ' αὐτὸν ἀμεταπτώτῳ τοῦ σχήματος, ἀλλὰ καὶ οἷς ὀνειδίσειεν
Λοῦππον εἰς ὄακρυα ἐκτετραμμένον. ἀποτιθεμένου γέ τοι τὴν 270
στολὴν τοῦ Λούππου καὶ τὸ ῥῖγος αἰτιωμένου φησίν, ὡς οὐκ ἂν
ἐναντία τοῦ λούππου ποιήσαιτο πώποτε ῥῖγος. πλήθους τε ἀνθρώ-
πων ἑπομένου κατὰ θέαν, ὡς ἦκεν ἐπὶ τὸ χωρίον, ἤρετο τὸν στρα-
τιώτην, εἰ διὰ μελέτης αὐτῷ γεγόνοιεν αἱ σφαγαὶ ἢ εἰ πρῶτον
*ἔχοι τὸ ξίφος * ἐκέλευε κομίζειν ᾧ Γάιον μεταχειρίσαιτο αὐτός·*
συνέσχεν δὲ εὐθαιμόνος μιᾶς πληγῆς αὐτῷ γενομένης. Λοῦπιος δὲ 271
οὐ πάνυ δεξιῶς ἐπεξῆλθεν ἀθυμίᾳ καὶ πληγῶν πλειόνων γενομένων
διὰ τὸ μαλακῶς τὸν τράχηλον παρασχεῖν.

6. *Ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐναγισμῶν ἐνεστηκότων Ῥω-* 272
μαίων τὸ πλῆθος τοῖς αὐτῶν ἐπιφέροντες καὶ Χαιρέαν μοίραις

AMWE Lat

2 *σὺν πολλῇ — 3 πληθύος] *cum multo nimis impetu atque ridiculo* Lat *συμπολλῇ W 3 *πάνυ om. M 4 *εἰς τὸ φανερὸν* E *προσόδων* E 6 *ἤρητο*] Bekker *ἠρεῖτο* (*εῖτο* i. ras. pressius scriptum A) AE *ἤρετο* MW 7 *ἑταίρους] *ἑτέρους* A *alios* Lat 8 *ἀπιστίαν — 10 *χρόνου*] *sed pollioni praecipue causam mortis applicabant, qui tantum opus fieri persuaserat et ut ipse pariter pro merito futuri temporis deperiret iustum esse clamabant* Lat *δὲ* MWE 10 *χρόνου* om. E *οὖν*] *οὖν χαιρέας* E Lat 11 *ἐπὶ θάνατον* E *λοῦπος* E *τε* om. E *Ῥωμαίων*] *ῥωμαῖοι* M *ῥωμαίους* W 12 *χαιρέαν* MWE 13 *τῷ] *τὸ* W 14 *λοῦπον* E *ἀποτιθεμένου — 16 *ῥῖγος* om. E Lat 16 *ἐναντία] *ἐν αἰτία* ex corr. A *τοῦ λούππου* om. MW *πλῆθος MW 18 *εἰ διὰ μελέτης — 19 *ξίφος] *si interficiendi meditationem haberet* Lat *ἢ εἰ] om. MW *ἢ* E 19 *ἐκέλευε] *ἐκέλευέ τε* E *rogauitque* Lat *καὶ ἐκέλευε* ed. pr.; sed desideratur militis responsum, quare uel ante uel post *τὸ ξίφος* lacuna statuenda uid. *μεταχειρίσαιτο] μεταχειρήσαιτο W *διαχειρίσαιτο* E *αὐτός] *αὐτό* MW *ipse* Lat 20 *λοῦπος* E . 23 *ἡμέραις ὕστερον* tr. M *ἐναγισμῶν*, ante *σ* ras. unius litt. M 24 *τοῖς] *τὰ* E

ἐτίμησαν εἰς τὸ πῦρ τιθεμέναις, ἵλεων καὶ ἄμηνιν εἶναι τῆς εἰς
273 αὐτὸν ἀχαριστίας παρακαλοῦντες. καὶ Χαιρέᾳ μὲν τοιαύτῃ τελευτῇ
τοῦ βίου συνέτυχεν. Σαβῖνος δὲ Κλαυδίου μὴ μόνον τῆς αἰτίας
παραλύοντος αὐτὸν ἀλλὰ καὶ τὴν ἀρχὴν ἣν εἶχεν ἐφιέντος, ἄδικον
ἡγεῖτο τὴν ἐκλειτίαν τῆς πρὸς τοὺς συνωμότας πίστεως, σφάζει
ἑαυτὸν περιτεσὼν τῷ ξίφει μέχρι δὴ καὶ τὴν κώπην τῷ τραύματι
συνελθεῖν.

274 V. 1. Κλαύδιος δὲ τοῦ στρατιωτικοῦ πᾶν ὅ τι ἦν ὕποπτον
ἐκ τοῦ ὄξεος ἀποσκευασάμενος διάγραμμα προυτίθει τήν τε ἀρχὴν
Ἀγρίππα βεβαιῶν, ἣν ὁ Γάιος παρέσχε, καὶ δι' ἐγκωμίων ἄγων
τὸν βασιλέα. προσθήκην τε αὐτῷ ποιεῖται πᾶσαν τὴν ὑπὸ Ἡρώ-
δου βασιλευθεῖσαν, ὃς ἦν πάππος αὐτοῦ. Ἰουδαίαν καὶ Σαμάρειαν.
275 καὶ ταῦτα μὲν ὡς ὀφειλόμενα τῇ οἰκειότητι τοῦ γένους ἀπεδίδου· Ἄβιλαν δὲ τὴν Λυσανίου καὶ ὁπόσα ἐν τῷ Λιβάνῳ ὄρει ἐκ τῶν
αὐτοῦ προσετίθει, ὅρκιά τε αὐτῷ τέμνεται πρὸς τὸν Ἀγρίππαν
276 ἐπὶ τῆς ἀγορᾶς μέσης ἐν τῇ Ῥωμαίων πόλει. Ἀντίοχον δὲ ἣν
εἶχεν βασιλείαν ἀφελόμενος Κιλικίας μέρει τινὶ καὶ Κομμαγηνῇ
δωρεῖται. λίαν δὲ καὶ Ἀλέξανδρον τὸν ἀλαβάρχην φίλον ἀρχαῖον
αὐτῷ γεγονότα καὶ Ἀντωνίαν αὐτοῦ ἐπιτροπεύσαντα τὴν μητέρα
ὀργῇ τῇ Γαΐου δεδεμένον, καὶ αὐτοῦ υἱὸς Βερενίκην τὴν Ἀγρίππου
277 γαμεῖ θυγατέρα. καὶ ταύτην μέν, τελευτᾷ γὰρ Μᾶρκος ὁ τοῦ
Ἀλεξάνδρου υἱὸς παρθένον λαβών, ἀδελφῷ τῷ αὐτοῦ Ἀγρίππᾳ
Ἡρώδῃ δίδωσιν Χαλκίδος αὐτῷ τὴν βασιλείαν εἶναι αἰτησάμενος
παρὰ Κλαυδίου.

278 2. Στασιάζεται δὲ κατ' αὐτὸν τὸν χρόνον Ἰουδαίων τὰ πρὸς
Ἕλληνας ἐπὶ τῆς Ἀλεξανδρέων πόλεως. τελευτήσαντος γὰρ τοῦ
Γαΐου τὸ Ἰουδαίων ἔθνος ἐπὶ ἀρχῆς τῆς ἐκείνου τεταπεινωμένον

§ 274 = bell. Iud. II 215.

AMWELatZonaras I p. 499. Suidas s. *ἐκλειπία*

1 *ἄμηνιν] ἀμνήμονα Cocceji 2 χαιρέαι ex χαιρέωι corr. uid. A 4 ἀπολύοντος E *ἄδικον — 6 ἑαυτὸν habet Suidas 5 συνωμότας] ὁμωμοκότας M ὠμωκότας W ὀμωκότας E συνομωμοκότας ct ὁμωμοκότας Suidae libri σφάζει] σφάζει τε E καὶ σφάζει Suid. 6 *κώπην] κώμην A 8 i. marg. *IIII* Lat 9 ὀξέως MW 11 *τε] δὲ MW 12 *καὶ om. MW 14 Ἄβιλαν] ἄβελλαν M ἄβελαν W ἄβηλαν E *abelan* Lat 17 *μέρει τινὶ] litt. μ et ειτ i. ras. A τερεπίνι MW, om. Lat *κομμαγηνῇ (α ante μ ex ο corr. M) MW 18 Ἀλέξανδρον] ἀλέξανδρον λυσίμαχον MWE γρ λυσίμαχον i. marg. A *lysimachum* Lat cf. XX 100 *ἀρχαῖον om. M 19 ἐπιτροπεύσασαν E 20 δεδεμένην E *βερνίκην* MWE Lat 22 Ἀλεξάνδρου] λυσιμάχου E 23 εἶναι om. E 25 ἰουδαίοις E 26 *Ἕλληνας, ε i. ras. M γὰρ om. E 27 ἔθνος] γένος E ἀρχῆς] τῆσ ἀρχῆσ E *τεταπεινομένον W

καὶ δεινῶς ὑπὸ τῶν Ἀλεξανδρέων ὑβρισμένον ἀνεθάρσησέ τε καὶ
ἐν ὅπλοις εὐθέως ἦν. καὶ Κλαύδιος ἐπιστέλλει τῷ ἐπαρχοῦντι 279
κατὰ τὴν Αἴγυπτον ὥστε τὴν στάσιν καταστεῖλαι, πέμπει δὲ καὶ
διάγραμμα παρακεκλικότων αὐτὸν Ἀγρίππου τε καὶ Ἡρώδου τῶν
βασιλέων εἴς τε τὴν Ἀλεξάνδρειαν καὶ Συρίαν γεγραμμένον τοῦτον
τὸν τρόπον· „Τιβέριος Κλαύδιος Καίσαρ Σεβαστὸς Γερμανικὸς 280
δημαρχικῆς ἐξουσίας λέγει. ἐπιγνοὺς ἀνέκαθεν τοὺς ἐν Ἀλεξαν- 281
δρείᾳ Ἰουδαίους Ἀλεξανδρεῖς λεγομένους συγκατοικισθέντας τοῖς
πρώτοις εὐθὺ καιροῖς Ἀλεξανδρεῦσι καὶ ἴσης πολιτείας παρὰ τῶν
βασιλέων τετευχότας, καθὼς φανερὸν ἐγένετο ἐκ τῶν γραμμάτων
τῶν παρ' αὐτοῖς καὶ τῶν διαταγμάτων, καὶ μετὰ τὸ τῇ ἡμετέρᾳ 282
ἡγεμονίᾳ Ἀλεξάνδρειαν ὑπὸ τοῦ Σεβαστοῦ ἐποιαχθῆναι πεφυ-
λάχθαι αὐτοῖς τὰ δίκαια ὑπὸ τῶν πεμφθέντων ὑπάρχων κατὰ δια-
φόρους χρόνους μηδεμίαν τε ἀμφισβήτησιν περὶ τούτων γενομένην
τῶν δικαίων αὐτοῖς, ἅμα καὶ καθ' ὃν καιρὸν Ἀκύλας ἦν ἐν Ἀλε- 283
ξανδρείᾳ τελευτήσαντος τοῦ τῶν Ἰουδαίων ἐθνάρχου τὸν Σεβαστὸν
μὴ κεκωλυκέναι ἐθνάρχας γίγνεσθαι βουλόμενον ὑποτετάχθαι ἑκά-
στους ἐμμένοντας τοῖς ἰδίοις ἔθεσιν καὶ μὴ παραβαίνειν ἀναγκαζο-
μένους τὴν πάτριον θρησκείαν. Ἀλεξανδρεῖς δὲ ἐπαρθῆναι καὶ 284
τῶν παρ' αὐτοῖς Ἰουδαίων ἐπὶ τῶν Γαΐου Καίσαρος χρόνων τοῦ
διὰ τὴν πολλὴν ἀπόνοιαν καὶ παραφροσύνην, ὅτι μὴ παραβῆναι
ἠθέλησεν τὸ Ἰουδαίων ἔθνος τὴν πάτριον θρησκείαν καὶ θεὸν
προσαγορεύειν αὐτόν, ταπεινώσαντος αὐτούς· βούλομαι μηδὲν διὰ 285
τὴν Γαΐου παραφροσύνην τῶν δικαίων τῷ Ἰουδαίων ἔθνει παρα-
πεπτωκέναι, φυλάσσεσθαι δ' αὐτοῖς καὶ τὰ πρότερον δικαιώματα
ἐμμένουσι τοῖς ἰδίοις ἔθεσιν. ἀμφοτέροις τε διακελεύομαι τοῖς μέρεσι
πλείστην ποιήσασθαι πρόνοιαν, ὅπως μηδεμία ταραχὴ γένηται μετὰ
τὸ προτεθῆναί μου τὸ διάταγμα."

AMWELat Zonaras I p. 500.

1 ὑβρισμένον] βιαζόμενον MWE τε om. E 2 ἐπαρχοῦντι] Dindorf ἐπαρχοῦντι codd. *praefecto* Lat ὑπαρχοῦντι coni. 3 δὲ] τε E 4 *διάγραμμα] διάταγμα Bekker 5 γεγραμμένον — 6 τρόπον] οὕτως ἔχον E 6 *Γερμανικὸς] Γερμανικὸς ἀρχιερεὺς μέγιστος ex § 287 Hudson 7 λέγει] ὕπατος λέγει E ἐπιγνοὺς — 19 θρησκείαν om. E 8 συγκατοικισθέντας (-ησθ- W) codd. corr. Dindorf 9 εὐθὺς Cocceji 11 τῶν (ante παρ') om. MW 12 πεφύλακται MW 15 καὶ post ἅμα om. MW 16 τῶν om. MW 17 γίνεσθαι MW ἑκάστοις A 18 ἰ··δίοις, ἰ i. ras. (fuit ἰουδαίοις) A 19 δὲ om. E συνέβη post ἐπαρθῆναι add. E 20 τῶν] τὸν W Ἰουδαίων] ἰουδαίων ἴσης πολιτείας τοῖς ἄλλοις ἀλεξανδρεῦσι τετυχηκότων E 21 *ὅτι — 24 παραφροσύνην om. M 23 μηδὲν] οὖν μηδὲν E 25 δὲ MWE πρότερα E 26 ἰδίοις] ἰουδαίων MWE τε] δὲ MWE 28 διάταγμα] διάγραμμα MWE *dicta* Lat

286 3. *Τὸ μὲν οὖν εἰς Ἀλεξάνδρειαν ὑπὲρ τῶν Ἰουδαίων διά-*
ταγμα τοῦτον ἦν τὸν τρόπον γεγραμμένον· τὸ δ' εἰς τὴν ἄλλην
287 *οἰκουμένην εἶχεν οὕτως· „Τιβέριος Κλαύδιος Καῖσαρ Σεβαστὸς*
Γερμανικὸς ἀρχιερεὺς μέγιστος δημαρχικῆς ἐξουσίας τὸ πέμπτον χειρο-
288 *τονηθείς τὸ δεύτερον λέγει. αἰτησαμένων με βασιλέως Ἀγρίππα*
καὶ Ἡρώδου τῶν φιλτάτων μοι, ὅπως συγχωρήσαιμι τὰ αὐτὰ δίκαια
καὶ τοῖς ἐν πάσῃ τῇ ὑπὸ Ῥωμαίοις ἡγεμονίᾳ Ἰουδαίοις φυλάσσε-
σθαι, καθὰ καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ, ἥδιστα συνεχώρησα οὐ μόνον
289 *τοῦτο τοῖς αἰτησαμένοις με χαριζόμενος, ἀλλὰ καὶ αὐτοὺς ὑπὲρ ὧν*
παρεκλήθην ἀξίους κρίνας διὰ τὴν πρὸς Ῥωμαίους πίστιν καὶ
φιλίαν, μάλιστα δὲ δίκαιον κρίνων μηδεμίαν μηδὲ Ἑλληνίδα πόλιν
τῶν δικαίων τούτων ἀποτυγχάνειν, ἐπειδὴ καὶ ἐπὶ τοῦ Θείου Σεβα-
290 *στοῦ αὐταῖς ἦν τετηρημένα. καλῶς οὖν ἔχειν καὶ Ἰουδαίους τοὺς*
ἐν παντὶ τῷ ὑφ' ἡμᾶς κόσμῳ τὰ πάτρια ἔθη ἀνεπικωλύτως φυλάσ-
σειν, οἷς καὶ αὐτοῖς ἤδη νῦν παραγγέλλω μου ταύτῃ τῇ φιλαν-
θρωπίᾳ ἐπιεικέστερον χρῆσθαι καὶ μὴ τὰς τῶν ἄλλων ἐθνῶν δεισι-
291 *δαιμονίας ἐξουθενίζειν, τοὺς ἰδίους δὲ νόμους φυλάσσειν. τοῦτό*
μου τὸ διάταγμα τοὺς ἄρχοντας τῶν πόλεων καὶ τῶν κολωνιῶν
καὶ μουνικιπίων τῶν ἐν τῇ Ἰταλίᾳ καὶ τῶν ἐκτός, βασιλεῖς τε καὶ
δυνάστας διὰ τῶν ἰδίων πρεσβευτῶν ἐγγραψάσθαι βούλομαι ἐκκει-
μένον τε ἔχειν οὐκ ἔλαττον ἡμερῶν τριάκοντα ὅθεν ἐξ ἐπιπέδου
292 *καλῶς ἀναγνωσθῆναι δύναται.“*

VI. 1. *Τούτοις μὲν δὴ τοῖς διατάγμασιν εἰς Ἀλεξάνδρειάν*
τε καὶ τὴν οἰκουμένην πᾶσαν ἀποσταλεῖσιν ἐδήλωσεν ἣν περὶ Ἰου-
δαίων ἔχοι γνώμην Κλαύδιος Καῖσαρ· αὐτίκα δὲ Ἀγρίππαν καμνό-
μενον τὴν βασιλείαν ἐπὶ τιμαῖς λαμπροτέραις ἐξέπεμψε τοῖς ἐπὶ
τῶν ἐπαρχιῶν ἡγεμόσιν καὶ τοῖς ἐπιτρόποις διὰ γραμμάτων ἐπι-
293 *στείλας ἐράσμιον ἄγειν αὐτόν. ὁ δ', ὡς εἰκὸς ἦν τὸν ἐπὶ κρείττοσιν*
τύχαις ἀνερχόμενον, μετὰ τάχους ὑπέστρεψεν, εἰς Ἱεροσόλυμα δ'
ἐλθὼν χαριστηρίους ἐξεπλήρωσε θυσίας οὐδὲν τῶν κατὰ νόμον

AMWELatZonaras I p. 500.

1 *τὸ μὲν* — 3 *οὕτως*] *καὶ εἰς τὴν ἄλλην οἰκουμένην ἔστειλε διάγραμμα ταῦτα φράζον* E 2 *δὲ* MW 3 *οὕτω* MW 5 *βασιλέων* ELat *ἀγρίπ-*
παι A *ἀγρίππου* E 7 *ῥωμαίους* E 8 *οὐ μόνον* om. E 9 *τοῖς*] *αὐτοῖς*
E *αἰτησαμένης* W 11 *δικαίων*, *ω* ex *α* corr. uid. A 13 **ἔχει* coni.
14 *κόσμῳ τῷ ὑφ' ἡμᾶς* tr. E 15 *παραγγέλλων* W 17 *ἐξουδενίζειν* Bekker
18 *κολωνίων* ex *κωλωνιῶν* corr. A *κωλωνειῶν* M *κολωνειῶν* W 19 *μουνικιπίων*, *η* ex *ι* corr. A 24 *τὲ* ante *ἐδήλωσεν* add. MW 25 *ἔχει* MWE
αὐτίκα] i. marg. *V* Lat 28 *αὐτὸν ἄγειν* tr. MW *δὲ* MWE 29 *δ'*] *δὲ*
MWE *τ'* coni.

παραλιπών. διὸ καὶ ναζιραίων ξυρᾶσθαι διέταξε μάλα συχνούς, 294
τὴν δὲ χρυσῆν ἄλυσιν τὴν δοθεῖσαν αὐτῷ ὑπὸ Γαΐου ἰσόσταθμον
τῇ σιδηρᾷ, ἣ τὰς ἡγεμονίδας χεῖρας ἐδέθη, τῆς συγγνὺς εἶναι τύ-
χης ὑπόμνημα καὶ τῆς ἐπὶ τὰ κρείττω μαρτυρίαν μεταβολῆς τῶν
ἱερῶν ἐντὸς ἀνεκρέμασεν περιβόλων ὑπὲρ τὸ γαζοφυλάκιον, ἵν' ᾖ
δεῖγμα καὶ τοῦ τὰ μεγάλα δύνασθαί ποτε πεσεῖν καὶ τοῦ τὸν θεὸν
ἐγείρειν τὰ πεπτωκότα· πᾶσι γὰρ τοῦτ' ἐνεφάνιζεν ἡ τῆς ἁλύσεως 295
ἀνάθεσις, ὅτι βασιλεῖς Ἀγρίππας ἀπὸ μικρᾶς αἰτίας εἰς ὑπερμεγέθη
ἀπέβη τὸ πρὶν ἀξίωμα καὶ μετ' ὀλίγον τῆς πέδης ἐκβὰς εἰς βασιλέα
τοῦ πάλαι λαμπρότερον ἠγέρθη. διὰ τοῦτ' οὖν ἐννοεῖσθαι, ὅτι 296
τῆς ἀνθρωπίνης φύσεως καὶ [πεσεῖν] ὀλισθάνειν τὰ μεγέθη καὶ τὰ
κλιθέντα δύναται περιφανὲς λαβεῖν πάλιν ὕψος.

2. Ἐντελῶς δ' οὖν θρησκεύσας τὸν θεὸν Ἀγρίππας Θεόφιλον 297
μὲν τὸν Ἄνάνου τῆς ἀρχιερωσύνης μετέστησεν, τῷ δὲ Βοηθοῦ Σίμωνι,
τούτῳ Κανθηρᾶς ἐπίκλησις ἦν, τὴν ἐκείνου προσένειμε τιμήν. δύο
δ' ἦσαν ἀδελφοὶ τῷ Σίμωνι καὶ πατὴρ Βοηθός, οὗ τῇ θυγατρὶ
βασιλεὺς συνῴκησεν Ἡρώδης, ὡς ἀνωτέρω δεδήλωται. σὺν τοῖς 298
ἀδελφοῖς οὖν τὴν ἱερωσύνην ἔσχεν ὁ Σίμων καὶ σὺν τῷ πατρί,
καθὰ καὶ πρότερον ἔσχον οἱ Σίμωνος τοῦ Ὀνία παῖδες τρεῖς ὄντες
ἐπὶ τῆς τῶν Μακεδόνων ἀρχῆς, ὅτερ ἐν ταῖς προαγούσαις γραφαῖς
παρέδομεν.

3. Καταστησάμενος δὲ τὰ περὶ τοὺς ἀρχιερεῖς οὕτως ὁ βασι- 299
λεὺς τοὺς Ἱεροσολυμίτας ἠμείψατο τῆς εἰς αὐτὸν εὐνοίας· ἀνῆκε
γοῦν αὐτοῖς τὰ ὑπὲρ ἑκάστης οἰκίας, ἣν καλῷ τιθέμενος ἀντιδοῦναι
τοῖς ἡγεμονικοῖς στοργήν. ἔπαρχον δὲ ἀπέδειξεν παντὸς τοῦ στρα-
τεύματος Σίλαν ἄνδρα πολλῶν αὐτῷ πόνων συμμετασχόντα. παντὶ- 300

AMWELat Zonaras I p. 500.

1 *παραλιπών*] θυσιῶν παραλιπών A ἀπολιπών MW ὁσίων παραλιπών E
διέταξε ξυρᾶσθαι tr. M διέταξε μάλα ξυρᾶσθαι tr. E 2 *δὲ] τε MW
3 ἡγεμονίας cod. Busb. E 4 ἐπὶ τὰ κρείττω A ἐπὶ τῶ κρείττω W ἐπὶ
τὸ κρεῖττο E εἰσ τὰ κρείττω Voss. teste Hauerkamp *τὸ ἱερὸν M¹ 5 ᾖ]
εἴη E 7 *τοῦτο MW 10 διὰ τοῦτ' οὖν] coni. *propter haec ergo* Lat
διὰ τούτων codd. 11 ὅτι — 12 ὕψος] *quia res hominum et lapsu faciente cor-
ruunt et inclinatae ad culminis fastigium saepius reducuntur* Lat 11 πεσεῖν]
πᾶσιν MW; mihi spurium aut corruptum uid. ὀλισθαίνειν M 12 πάλιν
λαβεῖν tr. MW 13 *τῷ θεῷ MW 14 *Ἀνάνου] *anni* Lat *τῷ] τοῦ
MW 15 *καινθήρασ MW 16 *δὲ MW 17 *ἠρώιδησ, σ i. ras. maiore
A ἠρώδη δὲ M ἠρώδησ δὲ W 18 οὖν] οὖ A¹MW 19 ὀνίου (ου ex α corr.
A) AE *τρεῖσ, σ i. ras. A cf. XII 238 22 ἀρχιερέασ MWE *οὗτοσ
MW 23 *εἰς αὐτὸν — 24 ἑκάστης om. MW 24 γοῦν] γὰρ E ἐν καλῷ
— 25 στοργήν om. E 25 ἔπαρχον] ἵππαρχον MWE et i. marg. A *praefectum*
Lat 26 παντάπασι — 262, 1 διελθόντος] ὀλίγου δὲ διελθόντοσ χρόνου E

τασιν δὲ ὀλίγου χρόνου διελθόντος Δωρῖται νεανίσκοι τῆς ὁσιότητος προτιθέμενοι τόλμαν καὶ περιττότες εἶναι παραβόλως θρασεῖς
Καίσαρος ἀνδριάντα κομίσαντες εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν
301 ἀνέστησαν. σφόδρα τοῦτο Ἀγρίππαν παρῴξυνεν· κατάλυσιν γὰρ τῶν πατρίων αὐτοῦ νόμων ἐδύνατο. ἀμελλητὶ δὲ πρὸς Πούπλιον
Πετρώνιον, ἡγεμόνα δὲ τῆς Συρίας οὗτος ἦν, παραγίνεται καὶ κατα-
302 λέγει τῶν Δωριτῶν. ὁ δ' οὐχ ἧττον ἐπὶ τῷ πραχθέντι χαλεπήνας, καὶ γὰρ αὐτὸς ἔκρινεν ἀσέβειαν τὴν τῶν ἐνόμων παράβασιν, τοῖς
303 ἀποστᾶσι τῶν Δωριτῶν σὺν ὀργῇ ταῦτ' ἔγραψεν· „Πούπλιος Πετρώνιος πρεσβευτὴς Τιβερίου Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ
304 Δωριέων τοῖς πρώτοις λέγει. ἐπειδὴ τοσαύτῃ τόλμῃ ἀπονοίας τινὲς ἐχρήσαντο ἐξ ὑμῶν, ὥστε μηδὲ διὰ τὸ προτεθῆναι διάταγμα Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ περὶ τοῦ ἀφίεσθαι Ἰου-
305 δαίους φυλάσσειν τὰ πάτρια πεισθῆναι ὑμᾶς αὐτῷ, τἀναντία δὲ πάντα πρᾶξαι, συναγωγὴν Ἰουδαίων κωλύοντας εἶναι διὰ τὸ μεταθεῖναι ἐν αὐτῇ τὸν Καίσαρος ἀνδριάντα, παρανομοῦντας οὐκ εἰς μόνους Ἰουδαίους, ἀλλὰ καὶ εἰς τὸν αὐτοκράτορα, οὗ ὁ ἀνδριὰς βέλτιον ἐν τῷ ἰδίῳ ναῷ ἢ ἐν ἀλλοτρίῳ ἐτίθετο καὶ ταῦτα ἐν τῷ τῆς συναγωγῆς τόπῳ, τοῦ φύσει δικαιοῦντος ἕνα ἕκαστον τῶν
306 ἰδίων τόπων κυριεύειν κατὰ τὸ Καίσαρος ἐπίκριμα· τοῦ γὰρ ἐμοῦ ἐπικρίματος μιμήσασθαι γελοῖον ἐστιν μετὰ τὸ τοῦ αὐτοκράτορος διάταγμα τοῦ ἐπιτρέψαντος Ἰουδαίοις τοῖς ἰδίοις ἔθεσι χρῆσθαι,
307 ἔτι μέντοι γε καὶ συμπολιτεύεσθαι τοῖς Ἕλλησιν κεκελευκότος· τοὺς μὲν παρὰ τὸ διάταγμα τοῦ Σεβαστοῦ τοιαῦτα τετολμηκότας, ἐφ' ᾧ καὶ αὐτοὶ ἠγανάκτησαν οἱ δοκοῦντες αὐτῶν ἐξέχειν οὐ τῇ ἰδίᾳ προαιρέσει γεγενῆσθαι λέγοντες ἀλλὰ τῇ τοῦ πλήθους ὁρμῇ, ὑπὸ

AMWELat Zonaras I p. 501.

2 *προστιθέμενοι A *καὶ] καίπερ ἀεὶ MW *καὶ περιττότες — θρασεῖς] cum natura uiderentur audaces Lat 4 *σφόδρα τοῦτο] σφόδρα δὲ τοῦθ' δὲ τοῦ i. ras. m. 2 A τοῦτο σφόδρα τὸν ed. pr. 5 ἀμελλητὶ ME δὲ] δὴ W ed. pr. γοῦν E Πούπλιον] ποντιαῖον E 7 *δὲ MW S καὶ γὰρ — παράβασιν om. E 9 *ἀποστᾶσι] indisciplinatis Lat προεστῶσι coni. *Δωριτῶν W ταῦτ'] τοῦτο MW, om. E 11 Δωριέων] δωριαίων MW γρ δωριτῶν i. marg. A 12 μηδὲ om. MW τὸ διάταγμα MW 13 ἀφίεσθαι MW 14 πεισθῆναι] πεισθῆναι δὲ MW 15 μεταθῆναι M 18 βέλτιον MW ἰδίῳ] ἰδίοι, δίωι i. ras. maiore, δ ex o corr. A Ἰουδαίων MWLat ἢ ἐν ἀλλοτρίῳ — 19 δικαιοῦντος] quam in debito loco Lat 19 ταῦτα] ταῦτατα A τοῦ φύσει δικαιοῦντος] τῇ φύσει δικαίου ὄντος Hudson uix recte 22 τοῦ om. M 23 γε om. MW 24 καίσαρος κλαυδίου τε post Σεβαστοῦ add. E τοιαῦτα om. E εἰς τὴν Ἰουδαίων συναγωγὴν μετατεθεικότας τὸν ἀνδριάντα post τετολμηκότας add. E ἐφ'] ἐν E 25 οἱ — ἐξέχειν] eorum iudices Lat ἐξέχειν αὐτῶν tr. E ἐξέχειν] E et i. marg. A ἐξεκείνου A ἐξελεῖν MW

ἑκατοντάρχου Πρόκλου Οὐιτελλίου ἐκέλευσα ἐπ' ἐμὲ ἀναχθῆναι τῶν πεπραγμένων λόγον ἀποδώσοντας, τοῖς δὲ πρώτοις ἄρχουσι παραινῶ, 308
εἰ μὴ βούλονται δοκεῖν κατὰ τὴν αὐτῶν προαίρεσιν γεγενῆσθαι τὸ ἀδίκημα, ἐπιδεῖξαι τοὺς αἰτίους τῷ ἑκατοντάρχῃ μηδεμιᾶς στάσεως μηδὲ μάχης ἐῶντας ἀφορμὴν γενέσθαι, ἥντερ δοκοῦσίν μοι θηρεύεσθαι διὰ τῶν τοιούτων ἔργων, κἀμοῦ καὶ τοῦ τιμιωτάτου μοι βασι- 309
λέως Ἀγρίππου οὐδενὸς μᾶλλον προνοουμένων, ἢ ἵνα μὴ ἀφορμῆς δραξάμενοι τὸ τῶν Ἰουδαίων ἔθνος ὑπὸ τῆς ἀμύνης προφάσει συναθροισθὲν εἰς ἀπόνοιαν χωρῇ. ἵνα δὲ γνωριμώτερον ᾖ, τί καὶ ὁ 310
Σεβαστὸς περὶ ὅλου τοῦ πράγματος ἐφρόνησε, τὰ ἐν Ἀλεξανδρείᾳ αὐτοῦ διατάγματα προτεθέντα προσέθηκα, ἅτερ εἰ καὶ γνώριμα πᾶσιν εἶναι δοκεῖ, τότε καὶ ἐπὶ τοῦ βήματος ἀνέγνω ὁ τιμιώτατός μοι βασιλεὺς Ἀγρίππας δικαιολογησάμενος περὶ τοῦ μὴ δεῖν αὐτοὺς ἀφαιρεθῆναι τῆς τοῦ Σεβαστοῦ δωρεᾶς. εἴς τε οὖν τὸ λοιπὸν 311
παραγγέλλω μηδεμίαν πρόφασιν στάσεως μηδὲ ταραχῆς ζητεῖν, ἀλλ' ἑκάστους τὰ ἴδια ἔθη θρησκεύειν."

4. Πετρώνιος μὲν οὖν οὕτω προυνόησε διορθώσεως μὲν τὸ 312
παραυτίκα δεῖν ἴδιον τυχεῖν, γενέσθαι δὲ παραπλήσιον μηδὲν εἰς αὐτούς. Ἀγρίππας δὲ ὁ βασιλεὺς ἀφείλετο μὲν τὴν ἀρχιερωσύνην 313
τὸν Κανθηρᾶν Σίμωνα. Ἰωνάθην δὲ πάλιν ἐπ' αὐτὴν ἦγεν τὸν Ἀνάνου τοῦτον ἀξιώτερον τῆς τιμῆς ὁμολογῶν εἶναι. τῷ δὲ οὐκ ἀσμενιστὸν ἐφάνη τὴν τοσαύτην ἀπολαβεῖν τιμήν. παρῃτεῖτο δ' οὖν ταῦτα λέγων· „σοὶ μέν, ὦ βασιλεῦ, τετιμημένος χαίρω διὰ 314
ψυχῆς ἔχων τοῦθ' ὅ μοι γέρας δίδωσιν ἡ σὴ βουλή, καὶ πρὸς οὐδέν

AMWELatZonaras I p. 501.

1 οὐϊτελίου AW οὐϊτενίου E ἀχθῆναι E 2 παρανομοῦντας οὐκ εἰσ μόνοσ ἰουδαίουσ, ἀλλὰ καὶ εἰσ τὸν αὐτοκράτορα post ἀποδώσοντας addit E 4 ἑκατοντάρχῳ E 6 *καὶ ἐμοῦ MW 7 *ἀγρίππα MW μᾶλλον] ἧττον E 8 δραξάμενον E ὑπὸ] ὑπὲρ E ὑπὸ τῆς om. Dindorf *προφάσεως ed. pr. *συναθροισθὲν] συναθροισθέντεσ MW 9 χωρῇ] χωρήσωσιν M χωρήσῃ E γνωριμώτερον M 11 προσέθηκα] ed. pr. προέθηκα codd. praeposui Lat 14 *εἴς] ἢ M εἰ W *τε eiecit Bekker 16 ἀλλὰ MWE *θρησκεύειν ἔθη tr. MW 17 Πετρώνιος — 18 αὐτούς] πετρώνιοσ μὲν ταῦτα ἔγραψεν E προυνοήσατο MW 18 γενήσεσθαι Hudson 19 *μὲν om. MW ἱερωσύνην MWE 20 Κανθηρᾶν] E κανθηρᾶ A καθηρα MW catharam Lat Καθηρᾶν Zonarae cod. A 21 ἀνανίου E δ' E 22 δ' οὖν] δὲ E γοῦν ed. pr. 23 *σοὶ] σὺ MW σοὶ — 264, 1 θεούς] tu quidem o rex meo honori congaudens hanc mihi restituis proprio consilio dignitatem, licet me hoc pontificatu numquam dignum iudicauerit deus Lat *οὖν post μὲν add. MW χαίρων MW 24 γέρας] i. marg. γερασ δίδωσ σῇ βουλήσει A δίδωσιν ἡ σὴ βουλὴ] δίδωσι βουλήσει MW σῇ δίδωσ βουλήσει E σῇ δίδοται βουλήσει Lowthius καὶ] εἰ καὶ E οὐδέ E

με τῆς ἀρχιερωσύνης ἄξιον ἔκρινεν ὁ Θεός. ἅπαξ δ' ἐνδὺς στολισμὸν ἱερὸν ἀρκοῦμαι· τότε γὰρ αὐτὸν ἡμφιασάμην ὁσιώτερον ἢ νῦν
315 ἀπολήψομαι. σὺ δ', εἰ βούλει τὸν ἀξιώτερον ἐμοῦ νῦν τὸ γέρας λαβεῖν, διδάχθητι· πάσης καὶ πρὸς τὸν Θεὸν ἁμαρτίας καὶ πρὸς σέ, βασιλεῦ, καθαρὸς ἀδελφὸς ἔστι μοι· πρέποντα τῇ τιμῇ τοῦτον
316 συνίστημι." τούτοις ὁ βασιλεὺς ἡσθεὶς τοῖς λόγοις τὸν Ἰωνάθην μὲν ἠγάσατο τῆς γνώμης. τὰδελφῷ δὲ αὐτοῦ Ματθίᾳ τὴν ἀρχιερωσύνην ἔδωκε. καὶ μετ' οὐ πολὺ Πετρώνιον μὲν Μάρσος διεδέξατο καὶ διεῖττε Συρίαν.

317 VII. 1. Σίλας δ' ὁ τοῦ βασιλέως ἔταρχος ἐπεὶ διὰ πάσης αὐτῷ τύχης ἐγεγόνει πιστὸς οὐδένα κίνδυνον ποτε κοινωνεῖν ἀνηγάμενος, ἀλλὰ καὶ τοὺς σφαλερωτάτους ὑποδὺς πολλάκις πόνους, πεποιθήσεως ἦν ἀνάπλεως, προσήκειν ὑπολαμβάνων ἰσοτιμίαν
318 βεβαιωτὴν φίλοις. οὐδαμῇ τοίνυν ὑποκατεκλίνετο βασιλεῖ παρρησίαν δὲ διὰ πάσης ὁμιλίας ἦγεν. κἂν ταῖς φιλοφρονήσεσιν ἐγίνετο φορτικὸς σεμνύνων ἑαυτὸν ἀμέτρως καὶ πολλάκις τῷ βασιλεῖ τὰ στυγνὰ τῆς τύχης ἄγων εἰς ἀνάμνησιν, ἵνα τὴν ἑαυτοῦ τότε σπουδὴν παραδεικνύῃ, συνεχῶς δ' ἦν, ὡς ὑπὲρ αὐτοῦ κάμοι, πολλὰ
319 διεξιών. τούτων οὖν τὸ πλεονάζον ἀνειδισμὸς ἐδόκει· διὸ προσαντως ὁ βασιλεὺς ἐδέχετο τὴν ἀταμίευτον παρρησίαν τἀνδρός· οὐχ

AMWELat Zonaras I p. 501.

1 δὲ MWE *ἐνδῦναι MW *indutus* Lat 2 *αὐτὸν W *ἀμφιασάμην MW 3 *δὲ MW *βούλῃ WE *ἐμοῦ] ἢ ἐμοῦ W 6 τούτοις — 8 ἐδωκεν] *in his ergo sermonibus rex agrippa collaudans ionae uoluntatem praebuit mathiae eius fratri pontificatum* Lat τὸν Ἰωνάθην μὲν ἠγάσατο τῆς γνώμης, τἀδελφῷ δὲ αὐτοῦ *Ματθίᾳ*] E τῶι (ῶι ex corr.) ἰωνάθηι (η ex ην corr.) μὲν γνώμη τἀδελφοῦ αὐτοῦ ματθία, i. marg. *γρ* τὸν ἰωνάθην ἠγάσατο τῆς γνώμης τῷ ἀδελφῷ δὲ αὐτοῦ ματθίαι A τὸν ἰωνάθην μὲν ἠγήσατο γνώμης τοῦ ἀδελφοῦ αὐτοῦ ματθία MW τὸν ἰωνάθην μὲν ἔασε, γνώμῃ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ ματθίᾳ ed. pr. 8 *δέδωκε A μάρκος E 10 δὲ MWE *ἔπαρχος] Dindorf ἔπαρχος codd. E *praefectus* Lat cf. supra § 299 11 αὐτοῦ E *γεγόνει W οὐδένα — 12 πόνους] καὶ τοὺς σφαλερωτάτους ὑποδὺς ὑπὲρ αὐτοῦ πολλάκις πόνους καὶ κινδύνους E *et nec in periculorum eius communione recesserat sed cum eo in manifestis laboribus atque necessitatibus succubuerat* Lat κίνδυνον] κίνδυνον αὐτῷ ed. pr. 13 ἀνάπλεως ἦν tr. E 14 *βεβαιότητι φιλίας] *pro amicitiarum pristina firmitate* Lat *ὑπεκατεκλίνετο M ὑπεκατεκλείνετο W βασιλεῖ] τῷ βασιλεῖ MWE *παρρησίαν — 16 φορτικὸς] *ita ut maxima ab eo beneficia postulando onerosus esse uideretur* Lat 15 κἀν] καὶ E 17 *σπουδὴν τότε tr. A 18 συνεχῶς — 19 διεξιών om. E δ' fort. spurium κἀμοι MW 19 *τούτων — ἐδόκει] *quod cum crebro faceret ut mihi uidetur improperare beneficia uidebatur* Lat *ὀνειδισμὸν W *προσάντως] *γρ* προσάντη i. marg. A προσαντῶς MW 20 τοῦ ἀνδρός ME

ἡδεῖαι γὰρ αἱ τῶν ἀδόξων χρόνων ἀναμνήσεις, εὐήθης δὲ ὁ διηνεκῶς ἃ ποτε ὠφέλησεν προφέρων. τέλος γοῦν ἀνηρέθισε σφόδρα 320
ὁ Σίλας τοῦ βασιλέως τὸν θυμὸν κἀκεῖνος ὀργῇ πλέον ἢ λογισμῷ διδοὺς οὐ τῆς ἐπαρχίας μόνον μετέστησε τὸν Σίλαν, ἀλλὰ καὶ
παρέδωκεν δεθησόμενον εἰς τὴν ἐκείνου πατρίδα πέμψας. χρόνῳ 321
δὲ τὸν θυμὸν ἠμβλύνθη καὶ λογισμοῖς εἰλικρινέσι τὴν περὶ τἀνδρὸς κρίσιν ἐφῆκεν ἐν νῷ λαμβάνων ὅσους ὑπὲρ ἐκείνου πόνους ἐκεῖνος ἀνέτλη. ἡμέραν οὖν ἑορτάζων αὐτοῦ γενέθλιον, ὅτε πᾶσιν
ὧν ἦρχεν εὐφροσύνη ἦ καθίσταντο θαλίαι, τὸν Σίλαν ἀνεκάλει παρ- 322
αυτίκα συνέστιον αὐτῷ γεγησόμενον. τῷ δέ, τρόπος γὰρ ἐλεύ-
θέριος ἦν, ἐδόκει προσειληφέναι δικαίαν αἰτίαν ὀργῆς, ἣν οὐκ ἀπεκρύπτετο πρὸς τοὺς μετιόντας αὐτὸν λέγων· „ἐπὶ ποίαν ὁ 323
βασιλεὺς τιμὴν ἀνακαλεῖ με τὴν μετὰ μικρὸν ἀπολουμένην; οὐδὲ γὰρ τὰ πρῶτά μοι γέρα τῆς εἰς αὐτὸν εὐνοίας ἐτήρησεν, ἀπεσύλησεν
δ' ἐβρίσας. ἢ πεπαῦσθαι νενόμικέ με τῆς παρρησίας, ἣν ἀπὸ 324
ποίου συνειδότος ἔχων βοήσομαι μᾶλλον, ὅσων αὐτὸν ἐξελυσάμην δεινῶν, ὅσους ἤγεγκα πόνους ἐκείνῳ ποριζόμενος σωτηρίαν τε καὶ
τιμήν, ὧν γέρας ἠνεγκάμην δεσμὰ καὶ σκότιον εἱρκτήν. οὐκ ἐγώ 325
ποτε τούτων λήσομαι· τάχα μοι τὴν τῆς ἀριστείας συνεποί-
σεται μνήμην καὶ μεταστᾶσα τῆς σαρκὸς ἡ ψυχή.“ ταῦτα ἀνεβόα καὶ διετάττετο τῷ βασιλεῖ λέγειν. ὁ δ' ὡς ἀνιάτως ἑῶρα διακείμενον, πάλιν εἴασεν ἐν φρουρᾷ.

2. *Τὰ δὲ τῶν Ἱεροσολύμων τείχη τὰ πρὸς τὴν καινὴν νεύοντα* 326

§ 326 = bell. Iud. II 218.

AMWELat Zonaras I p. 502.

1 δ' E 2 *ἅποτε] ἅπερ MW ἃ ποτ' E *ὠφλησε MW *τέλος, o ex ω corr. M *σφόδρα] *frequenter* Lat 4 *ἐπαρχίας] Dindorf *a praefectura* Lat ἐπαρχίας codd. E 6 *εἰλικρινέσι M τοῦ ἀνδρὸς E 7 ἀφῆκεν E 8 *ἐκεῖνος om. i. marg. suppl. u. 7 post ὅσους M ἀνέτλη] ἀνέτλη καὶ ταλαιπωρίας E ὅτε — 9 θαλίαι om. E εὐφροσύνη — θάλειαι] (*dum cuncti*) *in laetitia magna consisterent* Lat εὐφροσύναι MW ἦ] ἦι, ι i. ras. A, om. MW θαλίαι, ἰ i. ras. A θάλειαι MW 10 τῷ δέ] ὁ δέ Cocceji τῷ δὲ — 12 αὐτὸν] *ille uero modum libertatis quem iustum esse credebat uenientibus ad se non tacuit* Lat τρόπος — 11 ἦν] τρόπος ἐλευθερίας ὢν MW τρόπω ἐλευθέριος ὢν E 12 ἀπέκρυπτε E 13 *ἀπολλυμένην MW *ablaturus est* Lat 14 *εἰς] πρὸς M 15 *δὲ MW ἦ] ἦ coni. ἦ — 16 μᾶλλον] *cum qua ergo fiducia aut qua conscientia ad eum ueniam* Lat *με om. MW 16 *ποιοῦ Hudson βοήσομαι] βοῆσαι MW νῦν βοήσομαι E 17 *ποριζόμενος] χαριζόμενος MW τε om. E 18 *σκότιον, ι i. ras. A σκότειον MW εἱρκτή E 19 *τοῦτο A *τάχα] ἀλλὰ coni. *μοι] κἀμοὶ MW euan. E *συναποίσεται Cocceji 20 μεταναστᾶσα MWE 21 λέγειν] λέγειν αὐτά E δὲ MWE

πόλιν δημοσίαις ὠχύρου δαπάναις, τῇ μὲν εὐρύνων εἰς πλάτος τῇ δὲ εἰς ὕψος ἐξαίρων, κἂν ἐξειργάσατο ταῦτα πάσης ἀνθρωπίνης κρείττονα βίας, εἰ μὴ Μάρσος ὁ τῆς Συρίας ἡγεμὼν Κλαυδίῳ
327 Καίσαρι διὰ γραμμάτων ἐδήλωσε τὸ πραττόμενον. καὶ νεωτερισμόν τινα Κλαύδιος ὑποπτεύσας ἐπέστειλεν Ἀγρίππᾳ μετὰ σπουδῆς παύσασθαι τῆς τῶν τειχῶν ἐξοικοδομήσεως· ὁ δ' ἀπειθεῖν οὐκ ἔκρινεν.

328 3. Ἐπιφανὴς δ' ὁ βασιλεὺς οὗτος εὐεργετικὸς εἶναι ἐν παρεργοις καὶ μεγαλοψυχησαι ἔθνη φιλότιμος καὶ πολλοῖς ἀθρόως δαπανήμασιν αὐτοῦ εἰς ἐπιφάνειαν ἠδόμενος τῷ χαρίζεσθαι καὶ τῷ βιοῦν ἐν εὐημερίᾳ χαίρων, καὶ οὐδὲν Ἡρώδῃ τῷ πρὸ ἑαυτοῦ
329 βασιλεῖ τὸν τρόπον συμφερόμενος· ἐκείνῳ γὰρ πονηρὸν ἦν ἦθος ἐπὶ τιμωρίαν ἀπότομον καὶ κατὰ τῶν ἀπηχθημένων ἀταμίευτον. Ἕλλησι πλέον ἢ Ἰουδαίοις οἰκείως ἔχειν ὁμολογούμενος· ἀλλοφύλων γέ τοι πόλεις ἐσέμνυνεν δόσει χρημάτων βαλανείων θεάτρων τε ἄλλοτε κατασκευαῖς, ἔστιν αἷς ναοὺς ἀνέστησε, στοὰς ἄλλαις, ἀλλὰ Ἰουδαίων οὐδεμίαν πόλιν οὐδ' ὀλίγης ἐπισκευῆς ἠξίωσεν οὐδὲ δόσεως
330 ἀξίας μνημονευθῆναι. πρᾶος δ' ὁ τρόπος Ἀγρίππᾳ καὶ πρὸς πάντας τὸ εὐεργετικὸν ὅμοιον. τοῖς ἀλλοεθνέσιν ἦν φιλάνθρωπος κἀκείνοις ἐνδεικνύμενος τὸ φιλόδωρον τοῖς ὁμωφύλοις ἀναλόγως
331 χρηστὸς καὶ συμπαθὴς μᾶλλον. ἰδεῖα γοῦν αὐτῷ δίαιτα καὶ συνεχὴς ἐν τοῖς Ἱεροσολύμοις ἦν καὶ τὰ πάτρια καθαρῶς ἐτήρει. διὰ πάσης γοῦν αὐτὸν ἦγεν ἁγνείας οὐδ' ἡμέρα τις παρῴδευεν αὐτῷ τὰ νόμιμα χρεύουσα θυσίας.

332 4. Καὶ δή τις ἐν τοῖς Ἱεροσολύμοις ἀνὴρ ἐπιχώριος ἐξακριβάζειν δοκῶν τὰ νόμιμα, Σίμων ἦν ὄνομα τούτῳ, πλῆθος εἰς ἐκλη-

---

AMWELatZonaras I p. 502.

1 τῇ μὲν] Hudson τὴν μὲν codd. E 2 τῇ δὲ] Hudson τὴν δὲ codd. E 6 ὁ — 7 ἔκρινεν om. E δὲ MW ἀπειπεῖν MW 8 *πεφύκει MW δὲ MWE *οὕτωσ W 9 καὶ πολλοῖς — 11 χαίρων om. E πολλοῖς] ed. pr. πόλεως codd. *civitatem* Lat 10 αὐτὸν W καὶ — 11 χαίρων] *et favorabiliter suae uitae iura disponeret* Lat 11 εὐθυμία M πρὸ αὐτοῦ ME 12 γὰρ om. MWE 14 *πλέον] τε πλέον coni. ἔχειν οἰκείως tr. E *εἶχεν coni. ὁμολογούμενον E ὁμολογουμένως coni. 15 θεάτρων — 16 ἄλλαις] *theatra et templa porticusque constituens* Lat τε] ed. pr. δὲ codd. τε καὶ E 16 *στοαῖσ MW ἀλλ' MWE 17 οὐδὲ MWE 18 *πρᾶος] πρωῒσ W i. marg. γρ πρᾶοσ A δὲ MWE 19 haec uix sana sunt; nam cum insequentibus coniungenda sunt *τοῖς ἀλλοεθνέσιν] *alienigenis quoque* Lat 21 *ἠδεῖα] ἰδία et i. marg. γρ ἠδεῖα A *grata* Lat *ανεχεῖσ W 23 *αὐτὸν W *οὐδὲ MW *παρῴδευεν M *τὰ — 25 θυσίας] *hostiis uiduata sollemnibus* Lat τῆσ νομίμησ E 25 ἐξακριβοῦν E

οἵαν ἀλίσας τηνικαῦτα τοῦ βασιλέως εἰς Καισάρειαν ἐκδημήσαντος ἐτόλμησεν αὐτοῦ κατατυχεῖν· ὡς οὐχ ὅσιος εἴη, δικαίως δ' ἂν εἴργοιτο τοῦ ναοῦ τῆς εἰσόδου προσιοῦσης τοῖς ἐγγενέσιν. δηλοῦται μὲν δὴ διὰ γραμμάτων ὑπὸ τοῦ στρατηγοῦ τῆς πόλεως τῷ βασιλεῖ δημηγορήσας Σίμων ταῦτα, μεταπέμπεται δὲ αὐτὸν ὁ βασιλεὺς καὶ καθέζετο γὰρ ἐν τῷ θεάτρῳ τότε, καθεσθῆναι παρ' αὐτὸν ἐκέλευσεν. ἡρέμα τε καὶ πράως „εἰπέ μοι, φησίν, τί τῶν ἐνθάδε γινομένων ἐστὶ παράνομον;" ὁ δὲ εἰπεῖν ἔχων οὐδὲν τυχεῖν ἐδεῖτο συγγνώμης. ἀλλὰ ὁ βασιλεὺς αὐτῷ ἢ προσεδόκησέν τις ὀηλλάττειν τὴν πρώτιστα κρίνων βασιλικωτέραν ὀργὴν καὶ πρέπειν εἶδώς τοῖς μεγέθεσι θυμοὶ τλέον ἐπιτίκτειαν. τὸν Σίμωνα γοῦν καὶ δωρᾶς τινος ἀξιώσας ἀπεπέμπετο. 333 334

5. Πολλοῖς δὲ κατασκευάσας πολλὰ Βηρυτίους ἐξαιρέτως ἐτίμησεν· θέατρον γὰρ αὐτοῖς κατεσκεύασε πολυτελείᾳ τε καὶ κάλλει πολλῶν διαφέρον ἀμφιθεάτρου τε πολλῶν ἀναλωμάτων βαλανεῖα πρὸς τούτοις καὶ στοάς, ἐν οὐδενὶ τῶν ἔργων στενότητι δαπανημάτων ἢ τὸ κάλλος ἀδικήσας ἢ τὸ μέγεθος. ἐπεδαψιλεύσατο δ' αὐτῶν τὴν καθιέρωσιν μεγαλοιρεπῶς, ἐν τῷ θεάτρῳ μὲν θεωρίας ἐτιτελῶν πάνθ' ὅσα μουσικῆς ἔργα παράγων καὶ ποικίλης λοιπικὰ τέρψεως. ἐν δὲ τῷ ἀμφιθεάτρῳ πλῆθει μονομάχων τὴν αὐτοῦ δεικνὺς μεγαλόνοιαν. ἔνθα καὶ τὴν κατὰ πλῆθος ἀντίταξιν βουληθεὶς γενέσθαι τῶν θεωμένων τέρψιν ἑπτακοσίους ἄνδρας ἑπτακοσίοις μαχησομένους εἰσέπεμψεν κακούργους ὅσους εἶχεν ἀποτάξας εἰς τήνδε τὴν πρᾶξιν, ἵν' οἱ μὲν κολασθῶσιν, τὸ πολέμου δ' ἔργον γένηται τέρψις εἰρήνης. τούτους μὲν οὖν πασσυδὶ διέφθειρεν. 335 336 337

AMWELat Zonaras I p. 503.

2 ὡς — 3 ἐγγενέσιν] *quasi non sanctum et iustum suadens uti rex prohiberetur a templi limine, quo nisi dignis ingredi non liceret* Lat *ὡσ s. m. 1 M *ὅσιος] ὅσιον ex corr. A ὅσιον MW *εἴργοιτο ut uid. A 3 τοῖς ἐγγενέσιν] τοῖσ εὐγενέσι (-σιν A^1) AM τῆσ εὐγενέσι E τοῖς εὐαγέσι coni. 4 *τῆς πόλεως om. Lat 5 *δημηγορεύσασ MW δ' E καὶ] eras. A, om. E 6 *καθέζεται M γὰρ] om. MW δ' E τότε] καὶ (καὶ suppl.) τότε A τότε καὶ E 9 ἀλλὰ] καὶ E *ἀλλὰ — διηλλάττετο] *tunc rex in aliis circa eum placatus quam ab aliquo crederetur* Lat *ὁ om. MW αὐτῷ] E αὐτὸν codd. θᾶττον Naber Hudsonum secutus *ᾗ] εἰ ex corr. W *διηλάττετο W 12 *ἀπεπέμψατο MW 13 i. marg. *VIII* Lat 15 *διαφέρον, ο ex ω corr. A *τε] δὲ MW 16 πρὸς] τε πρὸσ WE 17 *δὲ MW 20 *πλήθη MW 23 *μαχεσομένοισ M μαχησομένοισ W εἰσέπεμψεν] ἔπεμψε MW ἐπέπεμψε E *emisit* Lat 24 *ἵνα MW *πολεμοῦν MW *δὲ MW 25 τούτους — ἔφθειρεν om. E οὖν] δὴ M δὲ W πασσυδὶ διέφθειρεν] i. marg. A πασσυδὶ ἔφθειρεν A πάντασ συνδιέφθειρεν MW *passim hoc modo cunctos extinxit* Lat

338 VIII. 1. Ἐν Βηρυτῷ δὲ τελέσας τὰ προειρημένα μετῆλθεν εἰς
Τιβεριάδα πόλιν τῆς Γαλιλαίας. ἦν δὲ ἄρα τοῖς ἄλλοις βασιλεῦσιν
περίβλεπτος. ἦκε γοῦν παρ' αὐτὸν Κομμαγηνῆς μὲν βασιλεὺς
Ἀντίοχος, Ἐμεσῶν δὲ Σαμψιγέραμος καὶ Κότις, τῆς μικρᾶς Ἀρ-
μενίας οὗτος ἐβασίλευσεν, καὶ Πολέμων τὴν Πόντου κεκτημένος 5
δυναστείαν Ἡρῴδης τε· οὗτος ἀδελφὸς ἦν αὐτοῦ, ἦρχεν δὲ τῆς
339 Χαλκίδος. ὡμίλησε δὲ τούτοις κατά τε τὰς ἐπιδοχὰς καὶ φιλοφρονή-
σεις ὡς μάλιστα διαδείξας φρονήσεως ὕψος καὶ διὰ τοῦτό γε δοκεῖν
340 δικαίως τῇ τοῦ βασιλέως παρουσίᾳ τετιμῆσθαι. ἀλλὰ γὰρ τού-
των διατριβόντων ἔτι παρ' αὐτῷ Μάρσος ὁ τῆς Συρίας ἡγεμὼν 10
παρεγένετο. πρὸς Ῥωμαίους οὖν τιμητικὸν τηρῶν ὑπαντησόμενος
αὐτῷ τῆς πόλεως ἀπωτέρω σταδίους ἑπτὰ προῆλθεν ὁ βασιλεύς.
341 τοῦτο δὲ ἄρα ἔμελλεν τῆς πρὸς Μάρσον ἀρχὴ γενήσεσθαι διαφορᾶς·
συγκαθεζόμενος γὰρ ἐπὶ τῆς ἀπήνης ἐλέγετο τοῖς ἄλλοις βασιλεῦ-
σι. Μάρσῳ δ' ἡ τούτων ὁμόνοια καὶ μέχρι τοσοῦδε φιλία πρὸς ἀλλή- 15
λους ὑπωπτεύθη συμφέρειν οὐχ ὑπολαμβάοντι Ῥωμαίοις δυνα-
στῶν τοσούτων συμφρόνησιν. εὐθὺς οὖν ἑκάστῳ τῶν ἐπιτηδείων
τινὰς πέμπων ἐπέστελλεν ἐπὶ τὰ ἑαυτοῦ δίχα μελλήσεως ἀπέρ-
342 χεσθαι. ταῦτα Ἀγρίππας ἀναιρῶς ἐξεδέχετο· καὶ Μάρσῳ μὲν ἐκ
τούτου διαφόρως ἔσχεν, τὴν ἀρχιερωσύνην δὲ Ματθίαν ἀφελό- 20

AMWE Lat

Ἐν Βηρυτῷ om. Lat εἰρημένα E 2 *ἄλλοις om. M 3 *μὲν om. MW 4 Ἐμεσῶν] Hudson ex XVIII 135 *δαμάσων* codd. E *damasorum* Lat δὲ] E, om. codd. *σαμψιγέρανος* W *σαμψιγεράμου* E *κότης M 5 οὗτος ἐβασίλευσε om. E *καὶ Πολέμων — 6 δυναστείαν] *qui etiam in ponto polemiaco regnabat* Lat *πολέμωι, ι i. ras. A 6 *τε] δὲ MW οὗτος] αὐτὸς, αὐ ex οὖ corr. A ὅς E 7 *ὡμίλησε — 9 τετιμῆσθαι] *habuitque colloquium apud eos susceptione et amicitiis valde dignissimum, ita ut ostenderet suae sapientiae culmen et in praesenti eos uideretur regaliter honorare* Lat τε om. MWE *φιλοφρονήσεις ὡς μάλιστα] μάλιστα φιλοφρονήσεως M 8 διαδείξας] E διαδείξεως καὶ (καὶ suppl.) A διαδείξεις M διαδείξεως W *φρονήσεως ὕψος om. M γε om. E *δοκῶν Dindorf 9 *τῆς MW τοῦ βασιλέως] τῆς βασιλείας E *τῶν βασιλέων* Hudson ex cod. Voss. *παρουσίας MW *προσηγορίᾳ* Cocceji *παρρησίᾳ* coni. 10 *ἔτι] ἐπεὶ MW 11 *πρὸς] τὸ πρὸς coni. ante οὖν 1 litt. eras. uid. A *οὖν τιμητικὸν] *συντιμητικὸν* MW *οὖν τὸ τιμητικὸν* Cocceji 12 *σταδίοις AM 13 τὸν μάρσον E *ἀρχὴ, ὴ ex ῆς corr. A *γενέσθαι MW *διαφορᾶς, σ i. ras. uid. ex ι corr. A 14 *συγκαθεζομένους E *συγκαθεζόμενος — βασιλεῦσι] *sedens enim in tribunali agrippa imitauit alios reges* Lat γὰρ] om. MW δ' E ἐπήγετο] E ἐπῆγε A ἀπηγγέλλετο MW 15 *Μάρσῳ δ' (δὲ E) ἡ] μαρσώη MW 18 *ἐπέστελεν W αὐτοῦ E *μελήσεως* ME 19 μὲν om. E 20 *διαφόρως ἔσχεν ἐκ τούτου* tr. E

μενος ἀντ' αὐτοῦ κατέστησεν ἀρχιερέα Ἐλιωναῖον τὸν τοῦ Κιθαίρου παῖδα.

2. Τρίτον δὲ ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης Ἰουδαίας πε- 343
πλήρωτο, καὶ παρῆν εἰς πόλιν Καισάρειαν, ἣ τὸ πρότερον Στράτωνος πύργος ἐκαλεῖτο. συνετέλει δ' ἐνταῦθα θεωρίας εἰς τὴν Καίσαρος τιμὴν ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην ἐπιστάμενος, καὶ παρ' αὐτὴν ἤθροιστο τῶν κατὰ τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβεβηκότων εἰς ἀξίαν πλῆθος. δευτέρᾳ δὴ τῶν θεω- 344
ριῶν ἡμέρᾳ στολὴν ἐνδὺς ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὕφὴν εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. ἔνθα ταῖς πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς θαυμασίως ἀπέστιλβε μαρμαίρων τι φοβερὸν καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι φρικῶδες. εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδὲ 345
ἐκείνῳ πρὸς ἀγαθοῦ ἄλλος ἄλλοθεν φωνὰς ἀνεβόων, θεὸν προσαγορεύοντες εὐμενής τε εἴης ἐπιλέγοντες, εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν, ἀλλὰ τοιοῦτόν γε κρεῖττονα σε θνητῆς φύσεως ὁμολογοῦμεν." οὐκ ἐπέπληξεν τούτοις ὁ βασιλεὺς οὐδὲ τὴν 346
κολακείαν ἀσεβοῦσαν ἀπετρίψατο. ἀνακύψας δ' οὖν μετ' ὀλίγον τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπερχαθήζόμενον εἶδεν ἔλει σκοινίου τινός. ἄγγελον τοῦτον εὐθὺς ἐνόησεν κακῶν εἶναι τὸν καί ποτε τῶν ἀγαθῶν γενόμενον, καὶ διακάρδιον ἔσχεν ὀδύνην, ἄθρουν δ' αὐτῷ τῆς κοιλίας προσέφυσεν ἄλγημα μετὰ σφοδρότητος ἀρξάμενον. ἀναθορὼν οὖν πρὸς τοὺς φίλους, „ὁ Θεὸς ὑμῖν ἐγώ, φησίν, 347

AMWELat Zonaras I p. 503. Photius bibl. p. 316 b Bekker.

1 *Ἐλιωναῖον] Αἰλιονέων Nicephorus p. 191 de Boor. *Ἐλιωναῖον τὸν τοῦ Κιθαίρου] ἀλιωναῖον τὸν τοῦ κιθαίου MW γρ δηλιωναῖον τὸν τοῦ καν-θαρᾶ παῖδα i. marg. A *helioneum cantherae natum* Lat, unde *τοῦ Κανθηρᾶ* dedit Hudson, cf. XX 16 3 *τῆς ὅλης om. Lat *Ἰουδαίας ὅλης* tr. M 4 *τὸ om. MWE 5 *δὲ MW *ἐνταῦθα, ν i. ras. A 6 *ὑπὲρ — ἐπιστάμενος* om. E 7 *παρ' αὐτὴν om. E *αὐτὴν* A¹ *ᾗθροιστο A *ἐν] ὅσον ἐν E 8 abhinc excerpsit Photius *δή] δὲ E 9 *ἐνδυσάμενος MW 10 *τὴν ὑφὴν* E 11 *ἐπιτολαῖς E 12 *μαρμαίρων τι] μαρμαίρον.τί M *μαρμαίροντι W 13 *εὐθὺς — 14 προσαγορεύοντες] *mox autem adulatores uoces fauorabiles emittebant, quae nec illi bonae pro ueritate uidebantur, deum scilicet appellantes eum* Lat *τὰς — 14 ἀγαθοῦ om. E litt. τὰς οὐδὲ — 14 ἄλλοθεν i. ras. pressius scripta m. 2 A 14 *ἀγαθοῦ] ἀγαθοῦ ταῖς ἀληθείαις A *φωνὰς om. MWE 17 *τούτους M 18 *ὁ' om. MW 19 *βουβῶνα] βουβῶνα τὸν ὄρνιν E *ὑπερχαθεζόμενον MWE *ἔπι σχοινίου τινός om. E 20 *τοῦτον] τε τοῦτο E *εἶναι] εἶναι αἴτιον MW 21 *ἀθρόον E *δὲ MW 22 *προσέφυσεν] γρ προσεφοίτησεν i. marg. A *προσέφυσεν* cod. Busb. E 23 *ἀναθεωρῶν MWE *respiciens* Lat *ὑμῖν* suppl. M, om. E

ἤδη καταστρέφειν ἐπιτάττομαι τὸν βίον. παραχρῆμα τῆς εἰμαρμένης
τὰς ἄρτι μου κατεψευσμένας φωνὰς ἐλεγχούσης· ὁ κληθεὶς ἀθά-
νατος ὑφ' ὑμῶν ἤδη θνητὸν ἀπάγομαι. δεκτέον δὲ τὴν πεπρω-
μένην, ἣ θεὸς βεβούληται· καὶ γὰρ βεβιώκαμεν οὐδαμῇ φαύλως,
348 ἀλλ' ἐπὶ τῆς μακαριζομένης λαμπρότητος." ταῦθ' ἅμα λέγων
ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο· μετὰ στουδῆς οὖν εἰς τὸ βασί-
λειον ἐκομίσθη καὶ διῆξε λόγος εἰς πάντας, ὡς ἔχοι τοῦ τεθνάναι
349 παντάπασι μετ' ὀλίγον. ἡ πληθὺς δ' αὐτίκα σὺν γυναιξὶν καὶ
παισὶν ἐπὶ σάκκων καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν θεὸν ἱκέτευεν
ὑπὲρ τοῦ βασιλέως, οἰμωγῆς δὲ πάντ' ἦν ἀνάπλεα καὶ θρήνων.
ἐν ὑψηλῷ δ' ὁ βασιλεὺς δωματίῳ κατακείμενος καὶ κάτω βλέπων
350 αὐτοὺς πρηνεῖς καταπίπτοντας ἄδακρυς οὐδ' αὐτὸς διέμενεν. συνε-
χεῖς δ' ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι διεργασθεὶς
τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν ἔτος καὶ
351 τέταρτον, τῆς βασιλείας δ' ἕβδομον. τέτταρας μὲν οὖν ἐπὶ Γαΐου
Καίσαρος ἐβασίλευσεν ἐνιαυτοὺς τῆς Φιλίππου μὲν τετραρχίας εἰς
τριετίαν ἆρξας, τῷ τετάρτῳ δὲ καὶ τὴν Ἡρῴδου προσειληφώς, τρεῖς
δ' ἐπιλαβὼν τῆς Κλαυδίου Καίσαρος αὐτοκρατορίας, ἐν οἷς τῶν τε
τρισὶν ἡμιστὸν ἐβασίλευσεν καὶ τὴν Ἰουδαίαν προσέλαβεν Σαμάρειάν
352 τε καὶ Καισάρειαν. προσωδεύσατο δ' ὅτι πλείστας αὐτῶν προσ-
φορὰς διακοσίας ἐπὶ χιλίαις μυριάδας, πολλὰ μέντοι προσεδανεί-
σατο· τῷ γὰρ φιλόδωρος εἶναι δαψιλέστερα τῶν προσιόντων ἀνή-
λισκεν, ἦν δὲ ἀφειδὴς αὐτοῦ τὸ φιλότιμον.
353 3. Ἀγνοουμένης γε μὴν τοῖς πλήθεσιν τῆς ἐκπνοῆς αὐτοῦ

§ 351 = bell. Iud. II 218.

AMWELat Zonaras I p. 504. Photius bibl. p. 316b Bekker.

1 *παραχρῆμα — 2 ἐλεγχούσης] *repente namque increpitus sum, cum mendaces ad me uoces adclamarentur* Lat 2 *ἄρτι μου] ἀτίμους καὶ M *καταψευσαμένας E ὁ] καὶ ὁ E 3 ὑφ'] ἐξ E *θανὼν MW ἐπείγομαι E 4 βούλεται E 5 *ταῦθ' ἅμα] ταῦτα MW 7 *διεκομίσθη MW ἐχεῖ E 8 δὲ MWE 9 σάκκον A^1MW σάκκου E 10 δὲ] τε coni. *πάντ' ἦν] πάντα ἦν W ἦν ἅπαντα M 11 *δὲ MW 12 *προσπίπτοντας MW οὐδὲ MWE οὐδὲ αὐτὸς ἄδακρυς tr. E διέμενε] ἔμενε MW ἦν E

§ 350 et 351 excerpsit Photius συνεχεῖς] συνεχῶς E et i. marg. A 13 *δὲ MW 15 *δὲ MW οὖν] γὰρ E 16 Καίσαρος om. E ἐνιαυτοὺς ἐβασίλευσεν tr. E 18 *δὲ MW τῆς] ἐπὶ τῆς Hudson Lowthium secutus 20 δὲ MWE πλείστας] E *πλείστους* codd. *innumera* Lat προσφορὰς] πρὸς εἰσφορὰς E *tributa* Lat *εἰσφορὰς coni. 21 διακοσίας E *διακοσίας — μυριάδας om. Lat *χιλίας A πολλὰς AE *multum* Lat 22 *δαψιλέστερα MW *δαψιλέστερα — ἀνήλισκεν] *supplicantibus larga munera conferebat* Lat

συμφρονήσαντες Ἡρῴδης τε ὁ τῆς Χαλκίδος δυναστεύων καὶ Ἐλκίας ὁ ἔπαρχος καὶ φίλος τοῦ βασιλέως Ἀρίστωνα ἔπεμψαν τῶν ὑπηρετῶν τὸν ἐπιτήδειον καὶ Σίλαν, ἐχθρὸς γὰρ ἦν αὐτοῖς, ἀπέσφαξαν ὡς δὴ τοῦ βασιλέως κελεύσαντος.

IX. 1. *Ἀγρίππας μὲν οὖν ὁ βασιλεὺς τρόπῳ τοιούτῳ κατέ-* 354
στρεψεν τὸν βίον, γένει δὲ αὐτῷ κατελέλειπτο υἱὸς μὲν Ἀγρίππας ἄγων ἔτος ἑπτακαιδέκατον, τρεῖς δὲ θυγατέρες, ὧν ἡ μὲν Ἡρῳδὴ τοῦ πατρὸς ἀδελφῷ γεγάμητο Βερενίκη τὸ ἑκκαιδέκατον ἔτος γεγονυῖα, παρθένοι δ' ἦσαν αἱ δύο Μαριάμμη τε καὶ Δρούσιλλα, δεκατὴς μὲν ἡ ἑτέρα, ἕβδομος δὲ Δρουσίλλα· καθωμολόγηντο δ' 355
ὑπὸ τοῦ πατρὸς πρὸς γάμον Ἰουλίῳ μὲν Ἀρχελάῳ τοῦ Χελκίου παιδὶ Μαριάμμη, Δρουσίλλα δὲ Ἐπιφανεῖ, τῶν δὲ τῆς Κομμαγηνῆς βασιλέως Ἀντιόχου υἱὸς ἦν οὗτος. ἀλλὰ γὰρ ὅτε ἐγνώσθη τὸν 356
βίον ἐκλιπὼν Ἀγρίππας, Καισαρεὺς καὶ Σεβαστηνὸς τῶν εὐτοιῶν αὐτοῦ καθύμενοι τὰ τῶν διαμνιστίων ἐνοίησαν· βλασφήμως τε 357
γὰρ ἀπερρίπτουν εἰς τὸν κατοιχόμενον ἀπρεπεῖς λέγεσθαι καὶ ὅσα στρατευόμενοι τότε ἔτυχον, συχνοὶ δ' ἦσαν, οἴκαδε ἀπῆλθον καὶ τοὺς ἀνδριάντας τῶν τοῦ βασιλέως θυγατέρων ἑρμάσαντες ὁμοθυμαδὸν ἐκόμισαν εἰς τὰ πρυτεῖα καὶ στήσαντες ἐπὶ τῶν τειχῶν ὡς
δυνατὸν ἦν ἀφιβρίζουσι ἀσχημονέστερα διηγήσεως ὀρῶντες. ἐπί τε 358
τοῖς δημοσίοις καταπλημμελοῦντος τοὺς πανδήμους ἑστιάσεις ἐστέλλουν στεφανούμενοι καὶ μυριζόμενοι καὶ σπένδοντες τῷ Χάρωνι πρωϊαίους τῆς τοῦ βασιλέως ἐκπνοῆς ἀλλήλοις ἀνταποδιδόντες.

§ 354 = bell. Iud. II 220.

AMWELat Zonaras I p. 504. Photius bibl. p. 317a Bekker.

1 *τε* om. E 2 **ὕπαρχος* Zon **τῶν* om. MW 3 **ἐπιτήδειον*] codd. E *fidelissimum* Lat *ἐπιτηδειότατον* Ernesti *κατέσφαξαν* E 4 *δὲ* E 5 § 354 excerpsit Photius *τῷ τρόπῳ τούτῳ* E 6 *δ'* E *αὐτοῦ* MWE *καταλέλειπτο* MWE 8 *τοῦ*] *τῶν* cod. Laur. E *Βερενίκη*] A Phot *βερνίκη* MWE *beronice* Lat *δ' ἐκέκλητο* post *Βερενίκη* add. E *ἓξ καὶ δέκατον* E 9 **δὲ* MW *μαριάμη* E **δρουσίλα* Phot 10 *δεκαετὴς — Δρούσιλλα* om. W **καθομολόγηντο* M **δὲ* MW 11 *Ἰουλίῳ* om. Lat *ἀρχελάου* E **τοῦ*] *τῷ* coni. 12 *μαριάμη* E 13 **Ἀντιόχου* om. MW **ἦν οὗτος υἱὸς* tr. M 15 **τὸ* W 16 *ἀπερρίπτουν* post *ἀπρεπεῖς* tr. E *λέγεσθαι* om. E 17 **δὲ* MW **οἴκαδε*] *οἶ οἴκαδε* W **καὶ τοὺς* — 20 *ὀρῶντες* excerpsit Photius 18 **ἀδριάντας* W **θυγατρῶν* MW 20 *ἀφύβριζον*] *ἀφύπνιζον* W *ἐφύβριζον* E **ἐπί*] *ἐν* MW **τε* om. MW 22 *καὶ σπένδοντες — 23 ἀνταποδιδόντες*] *et orco sacrificia turpiter exhibentes prandiaque sibimet alterutri pro regia morte reddentes* Lat *χάρωνι*, ω ex ο corr., ι i. ras. A *χάροντι* MWE 23 *τῆς τοῦ*] *τε τῆσ τοῦ* (litt. *τε τῆσ τ* i. ras. m. 2 A) AE

359 ἀμυνόμενος δ' ἦσαν οὐκ Ἀγρίππα μόνον χρησαμένου πολλαῖς εἰς αὐτοὺς φιλοτιμίαις, καὶ τοῦ πάντων δὲ Ἡρώδου· τὰς πόλεις ἐκεῖνος αὐτοῖς ἔκτισεν λιμένας τε καὶ ναοὺς κατεσκεύασεν λαμπροῖς δαπανήμασιν.

360 2. Ὁ δὲ τοῦ τεθνεῶτος υἱὸς Ἀγρίππας ἐπὶ Ῥώμης ἦν ἐν τῷ 5
361 χρόνῳ τούτῳ τρεφόμενος παρὰ Κλαυδίῳ Καίσαρι. τιμώμενός γε μὴν Καῖσαρ, ὅτι τέθηκεν Ἀγρίππας. Σεβαστηνοὶ δὲ καὶ Καισαρεῖς ὕβρικασιν εἰς αὐτόν, ἐπ' ἐκείνῳ μὲν ἤλγησεν, ἐπὶ δὲ τοὺς ἀχαριστίσαντας ὠργίσθη. πέμπειν οὖν εὐθέως ὥρμητο τὸν νεώτερον
362 Ἀγρίππαν τὴν βασιλείαν διαδεξόμενον ἅμα βουλόμενος ἐμπεδοῦν 10 τοὺς ὁμωμοσμένους ὅρκους, ἀλλὰ τῶν ἐξελευθέρων καὶ φίλων οἱ πολὺ παρ' αὐτῷ δυνάμενοι ἀπέτρεψαν, σφαλερὸν εἶναι λέγοντες κομιδῇ νέῳ μηδὲ τοὺς παῖδας ἐκβεβηκότι χρόνοις ἐπιτρέπειν βασιλείας τηλικοῦτον μέγεθος, ᾧ μὴ δυνατὸν τὰς τῆς διοικήσεως φροντίδας ἐνεγκεῖν, καὶ τελείῳ δ' οὐκ εἶναι βαρὺ βάσταγμα βασιλείαν. 15
363 ἔδοξεν οὖν αὐτοὺς εἰκότα λέγειν ὁ Καῖσαρ. ἔταρχον οὖν τῆς Ἰουδαίας καὶ τῆς ἄνω βασιλείας ἀπέστειλεν Κούσπιον Φάδον τῷ κατοιχομένῳ διδοὺς τιμὴν τὸ μὴ Μάρσον ἐπαγαγεῖν εἰς βασιλείαν
364 αὐτῷ διάφορον. ἐγνώκει δὲ πρὸ πάντων ἐπιστεῖλαι τῷ Φάδῳ Καισαρεῦσιν καὶ Σεβαστηνοῖς ἐπιτιμῆξαι τῆς εἰς τὸν καιοιχόμενον 20
365 ὕβρεως καὶ παροινίας εἰς τὰς ἔτι ζώσας, τὴν ὕλην δὲ τῶν Καισαρέων καὶ τῶν Σεβαστηνῶν καὶ τὰς πέντε σταίρας εἰς Ἴωνιαν μεταγαγεῖν, ἵν' ἐκεῖ στρατεύοιντο, τῶν δ' ἐν Συρίᾳ Ῥωμαϊκῶν ταγμάτων ἐπιλέξαι στρατιώτας κατ' ἀριθμοὺς καὶ τὸν ἐκείνων ἀνα-
366 πληρῶσαι τόπον. οἱ μὲν οὖν πελαταὶ μετέστησαν· πρεσβεύσαντες γὰρ Κλαύδιον ἀπεμειλίξαντο καὶ μένειν ἐπὶ τῆς Ἰουδαίας

AMWELatZonaras I p. 505. Photius bibl. p. 317a Bekker.

1 *δὲ MW ἀγρίππου E *πολλαῖς] πολλάκις MW *multas* Lat αὐτὸν E 2 *καὶ] *sed etiam* Lat ἀλλὰ καὶ Ernesti τὰς] ὅσ τασ E *qui* Lat ὅτι τὰς ed. pr. τὰς γὰρ coni. ἐκεῖνος om. E § 360 sqq. excerpsit Photius 6 *τοῦτο W *Κλανδίῳ om. Lat 7 *Καῖσαρ] *claudius* Lat τέθνηκεν] *τέθνηκε μὲν* MWE 8 *ἐπ' ἐκείνῳ — 9 ὠργίσθη] *graui dolore perculsus est* Lat 9 *ὀργίσθη W *οὖν] μὲν οὖν M 11 ὀμωμοσμένους] E ὠμοσμένονσ A ὠμωσμένονσ MW ὀμωμομένονς Naber *τῶν om. W 12 ἀπέστρεψαν E 13 βασιλείαν E 15 καὶ τελείῳ — βασιλείαν om. E δ' οὐκ εἶναι] δοῦναι MW δ' εἶναι ed. pr. 16 *οὖν s. M 18 εἰς — 19 ἐπιστεῖλαι] εἰσ τὸ βασίλειον αὐτῷ ἐπεὶ διάφορον τοῦτον ἐγνώκει. πρὸ πάντων δ' ἐπέστειλε E βασιλείαν] Hudson βασίλειον codd. E *regnum* Lat 21 *ὕλην, ι i. ras. A εἶλην M ὕλην W 22 *καὶ (ante τὰς) spurium uid. 23 ἵνα MWE *δὲ MW 24 κατ' ἀριθμοὺς M τῶν W ἐκείνων E 26 τὸν πόλεμον E ἀνα- Bast.

ἐπέτυχον, οἳ καὶ τοῖς ἐπιοῦσι χρόνοις τῶν μεγίστων Ἰουδαίοις ἐγένοντο συμφορῶν ἀρχὴ τοῦ κατὰ Φλῶρον πολέμου σπέρματα βαλόντες. ὅθεν Οὐεσπασιανὸς κρατήσας, ὡς μετ' ὀλίγον ἐροῦμεν, ἐξήγαγεν αὐτοὺς τῆς ἐπαρχίας.

AMWE Lat

1 *οἳ* — 3 *βαλόντες*] *unde etiam futuris temporibus causa maximarum calamitatum iudaeis effecti sunt sumentes initio semina belli sub floro* Lat *οἳ*] W¹E et ex corr. A *ὅ* A¹M et ex corr. W 2 **ἐγένοντο*, litt. *οντ* i. ras. A *ἐγένετο* MW *σπέρματα βαλόντες*] *σπέρμα καταβαλόντες* coni. 3 *βαλόντες*] Hudson *λαβόντος* codd. *λαβόντες* E 4 *ἐξήγαγεν*] *ἐξέβαλεν* E **ἐπαρχίας*] *ἀρχῆς* MW *regione* Lat

Subscriptiones: *φλαυίου* (*φλαονίου* ex corr. A) *ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας ιθ'* AM *τέλος ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας τοῦ ιθ' λόγου* W *explicit liber XVIIII ioseppi antiquitatis iudaicae* Lat

XX.

Τάδε ἔνεστιν ἐν τῇ κ' τῶν Ἰωσήπου ἱστοριῶν τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς Κλαύδιος Καῖσαρ μετὰ τὴν Ἀγρίππου τελευτὴν Φᾶδον ἔπεμψεν εἰς Ἰουδαίαν ἐπίτροπον.

στάσις Φιλαδελφηνῶν πρὸς τοὺς ἐν τῇ Περαίᾳ κατοικοῦντας Ἰουδαίους περὶ ὅρων κώμης μιᾶς, καὶ ὡς ὑπὸ τούτων πολλῶν ἀναιρεθέντων Φιλαδελφηνῶν Φᾶδος ἐγκακτήσας τῶν Περαίτων Ἰουδαίων τοὺς πρώτους τρεῖς ἄνδρας λαβὼν ἀπέκτεινεν.

ὡς Θολεμαῖος ὁ ἀρχιληστὴς τοὺς Ἄραβας ληστεύων ληφθεὶς καὶ ἐπὶ Φᾶδον ἀχθεὶς ἀνῃρέθη.

ὡς Φᾶδος καὶ Κάσσιος Λογγῖνος ὁ τῆς Συρίας ἡγεμὼν ἀναβάντες εἰς Ἱεροσόλυμα τοῖς πρώτοις τῶν Ἰουδαίων ἐκέλευσαν τὸν ποδῆρη καὶ τὴν ἱερὰν στολὴν ἐν τῇ Ἀντωνίᾳ κατατίθεσθαι ὑπὸ τῇ Ῥωμαίων ἐξουσίᾳ, καθὰ καὶ πρότερον ἦν.

παράκλησις ἐπὶ τούτῳ τῶν Ἰουδαίων πρὸς Φᾶδον καὶ Λογγῖνον ἀξιούντων αὐτοὺς ἐπιτρέψαι πέμψαι πρεσβείαν πρὸς Καίσαρα Κλαύδιον περὶ τούτου.

ὡς Φᾶδος λαβὼν ὁμήρους ἐπέτρεψεν.

ὡς Κλαύδιος Καῖσαρ παρακληθεὶς ὑπ' Ἀγρίππα τοῦ νεωτέρου συνεχώρησεν τοῖς Ἰουδαίοις τὰ αἰτήματα καὶ πρὸς Φᾶδον ἔγραψε περὶ τούτων.

AMWLat

1 *εἰκοστῇ* W *Ἰωσήππου* A[1] *ioseppi* Lat 2 *τῆς Ἰουδαϊκῆς ἀρχαιολογίας ἱστοριῶν* tr. M 3 capitibus numeros (*α'—κε'* W *I—XV* Lat) praemittunt WLat *ἔπεμψαν* A 5 *στάσις*] *et seditio* Lat cap. I continuans *φιλαδελφέων* MW *filadelphinorum* Lat *πρὸς τοὺς* — 7 *Φιλαδελφηνῶν* om. Lat 6 *ὅρων* ex *ὁρῶν* corr. A 7 *φιλαδελφινῶν* W *περαιατῶν* MW 9 *ὡς Θολεμαῖος* — 10 *ἀνῃρέθη* om. MW *tholomeus* Lat *Θολομαῖος* infra § 5 15 *παράκλησις* — 18 *ἐπέτρεψεν*] *et quia rogantes iudaei fadum et longinum eis concedentibus datis obsidibus legationem ad caesarem claudium destinarunt* Lat *παρακλήσεισ* MW *τούτῳ*] *τοῦ* W 19 *ὑπὸ* M 20 *συνεχώρησαν* A *συνεχώρησε* MW

ὃν τρόπον Ἑλένη ἡ τῶν Ἀδιαβηνῶν βασιλὶς καὶ οἱ παῖδες αὐτῆς Μονόβαζος καὶ Ἴζάτης καὶ τὸ πᾶν γένος αὐτῶν ἐξήλωσαν τὰ Ἰουδαίων ἔθη.

ὡς Ἡρώδου τελευτήσαντος τοῦ τῆς Χαλκίδος βασιλίως Ἀγρίππας ὁ νεώτερος τὴν ἀρχὴν ἔλαβεν δόντος αὐτῷ Κλαυδίου Καίσαρος.

ὡς Τιβέριος Ἀλέξανδρος ἐπίτροπος εἰς Ἰουδαίαν ἐλθὼν τοὺς υἱοὺς Ἰούδα τοῦ Γαλιλαίου τὸν ὄχλον ἀπατῶντας ἐκόλασεν.

περὶ τοῦ λιμοῦ τοῦ γενομένου κατὰ τὴν χώραν.

Κουμάνου ἄφιξις εἰς τὴν Ἰουδαίαν ἐπιτρόπου πεμφθέντος ὑπὸ Καίσαρος.

ὡς ἐπὶ τούτου πολλοὶ τῶν Ἰουδαίων κατὰ τὸ ἱερὸν ἀπώλοντο.

στάσις Ἰουδαίων πρὸς Σαμαρεῖς καὶ ὡς πολλοὶ διεφθάρησαν τῶν Σαμαρειτῶν.

ὡς Φάδος κατιδράτος ὁ τῆς Συρίας ἡγεμὼν ἀκούσας πέμπει καὶ ἀναβάλλεται τοὺς πρώτους τῶν Ἰουδαίων καὶ Σαμαρειτῶν ἐκέλευσεν εἰς Ῥώμην ἀναβῆναι, ὁμοίως καὶ Κούμανον τὸν ἐπίτροπον καὶ Κέλερα τὸν χιλίαρχον λόγον ὑφέξοντας Κλαυδίῳ Καίσαρι περὶ τῶν πεπραγμένων, τινὰς δὲ καὶ Ἰουδαίων αὐτὸς ἐκόλασεν.

ὡς Κλαύδιος ἀκούσας αὐτῶν τοὺς μὲν Ἰουδαίους τῆς αἰτίας ἀπέλυσεν παρακληθεὶς ὑπὸ βασιλέως Ἀγρίππα, Κούμανον δὲ ἐξώρισε, Κέλερα δὲ τὸν χιλίαρχον καὶ τοὺς πρώτους τῶν Σαμαρειτῶν ἐκόλασεν.

ὡς Φῆλιξ ἐπίτροπος πεμφθεὶς καὶ καταλαβὼν τὴν χώραν κεκακωμένην ὑπὸ τῶν λῃστῶν προυνοήσατο διαφθείρας αὐτοὺς εἰρήνην ἐν τῇ χώρᾳ καταστῆσαι, τὸν δὲ πρῶτον τῶν λῃστῶν Ἐλεάζαρον ὄνομα δήσας εἰς Ῥώμην ἀνέπεμψεν.

ὡς ἐπαδημήσαντος Αἰγυπτίου τινὸς γόητος καὶ πολλῶν Ἰουδαίων ὑπ' αὐτοῦ πλανηθέντων Φῆλιξ ἐπεξελθὼν αὐτοῖς πολλοὺς ἀπέκτεινεν.

ὡς στασιάζοντας Ἰουδαίων τοὺς πρώτους ἐν Καισαρείᾳ πρὸς τοὺς Σύρους Φῆλιξ ὁ ἐπίτροπος ἔπαυσεν.

[ὃν τρόπον Κλαύδιος τελευτήσαντος Νέρων τὴν ἀρχὴν διέλεξετο.]

ὡς Πορκίου Φήστου πεμφθέντος εἰς Ἰουδαίαν ἐπιτρόπου συνέβη κακωθῆναι τὴν χώραν ὑπὸ τῶν σικαρίων.

AMW Lat

1 *ἑλένη* M *ἡ* om. W *ἀδιαβηνῶν, βη* i. ras., i. marg. *ἀδιαβηνῶν* M 2 *iazatis* cod. Ambr. Lat 4 *ὡς* — 5 *Καίσαρος* infra post u. 10 exhibent MW *ια'* in W, post u. 7 Lat (*VIII* in Lat), ut capitum ordo in MW hic sit: 8, 10, 11, 12, 9, 13; in Lat uero hic: 8, 11, 10, 9, (12 + 13) 8 *περὶ — χώραν* post u. 3 exhibet numero *VI* ascripto Lat *περὶ τοῦ, τοῦ* suppl. ut uid. A 9—11] *VIIII quia aduentu cumani praesidis in iudaeam a caesare destinati sub eo multi sacerdotum perierunt in templo* Lat 11 *τούτου*] *τοῦ Κουμάνου* Hudson 14 *Μόδος*] codd. Lat *κουμάδιος* i. marg. A, idem ed. pr. et Latinae editiones ex § 125 *Οὐμμίδιος* Norisius 16 *ὁμοίως* nouum cap. incip. A *κουμανὸν* A[1] 18 *καὶ*] *τῶν* MW 20 *ὑπὸ*] *ὑπὸ τοῦ* MW 22 *φῆλιξ* ex *φῆληξ* corr. A 23 *διαφθείρας τε αὐτοὺς* A 25 *εἰς Ῥώμην*] *ad caesarem* Lat 26 *τινὸς* om. MW et ut uid. Lat 27 *φῆλιξ* ex *φῆληξ* corr. A; item u. 29 30 *ὃν — διελέξατο*] post u. 21 (cap. 15) tr. MW, post u. 25 tr. Lat, mihi superadditum uid 31 *εἰς*] *εἰσ τὴν* MW

περὶ τῆς στοᾶς τοῦ ἔσωθεν ἱεροῦ καὶ ὃν τρόπον ὕψωσαν αὐτὴν οἱ Ἰουδαῖοι.

ὡς Φῆστος ἀγανακτήσας ἐπὶ τούτῳ τοὺς πρώτους τῶν Ἰουδαίων εἰς Ῥώμην ἐπεμψεν πρὸς Νέρωνα πείσοντας αὐτὸν περὶ τῶν πεπραγμένων.

ὡς τελευτήσαντος Φήστου ἐν τῇ Ἰουδαίᾳ Ἀλβῖνος ἦλθεν διάδοχος.

ὡς ἐπὶ τούτου ἐπαύσαντο οἱ δικάριοι τὴν χώραν κακοποιεῖν.

ὡς Φλῶρος ἔθνων Ἀλβίνῳ διάδοχος τοιαῦτα διέθηκε τοὺς Ἰουδαίους κακά, ὡς ἀναγκάσαι αὐτοὺς ἐφ' ὅπλα χωρῆσαι.

περὶ Ἰωσήπου καὶ γένους αὐτοῦ καὶ πολιτείας.

περιέχει ἡ βίβλος χρόνον ἐτῶν κς'.

I. 1. *Τελευτήσαντος δὲ τοῦ βασιλέως Ἀγρίππα, καθὼς ἐν τῇ πρὸ ταύτης ἀπηγγέλκαμεν βίβλῳ, πέμπει Μάρσῳ διάδοχον Κλαύδιος Καῖσαρ Κάσσιον Λογγῖνον, μνήμῃ τῇ τοῦ βασιλέως τοῦτο χαριζόμενος, πολλὰ διὰ γραμμάτων ὑπ' αὐτοῦ περιόντος ἀξιωθεὶς μηκέτι Μάρσον τῶν κατὰ τὴν Συρίαν πραγμάτων προϊστασθαι.*

2 *Φᾶδος δὲ ὡς εἰς τὴν Ἰουδαίαν ἐπίτροπος ἀφίκετο, καταλαμβάνει ἀπασσαμένους τοὺς τὴν Περαίαν κατοικοῦντας Ἰουδαίους πρὸς Φιλαδελφηνοὺς περὶ ὅρων κώμης μιᾶς λεγομένης πολεμίων ἀνδρῶν ἀνάτλεω· καὶ δὴ οἱ τῆς Περαίας χωρὶς γνώμης τῆς τῶν πρώτων παρ' αὐτοῖς ἀναλαβόντες τὰ ὅπλα πολλοὺς τῶν Φιλαδελφηνῶν διαφθείρουσιν. ταῦτα πυθόμενον τὸν Φᾶδον σφόδρα παρώξυνεν, ὅτι μὴ*

3 *τὴν κρίσιν αὐτῷ παραλείποιεν, εἴ τι ἄρα ἐπὶ τῶν Φιλαδελφηνῶν ἠδίκηται, ἀλλ' ἐφ' ὅπλα χωρήσειαν. λαβὼν οὖν τρεῖς τοὺς*

4

AMWE Lat

1 priori capiti (*κ'* in W) adiungunt MW 3 *ὡς*] *et quia* Lat priori capiti (*XVIII*) adiungens 6 *ὡς*] *et quia* Lat priori capiti (*XVIII*) adiungens 10 *περὶ — πολιτείας*] om. Lat *περὶ γένους ἰωσήπου καὶ πολιτείας* MW 11 *ἡ βίβλος*] *ὁ παρὼν λόγος* W *κε'*] AMELat *κβ'* W

φλαύιον (*φλαούιον* ex corr. A *φλαβίον* W) *ἰωσήπον* (*ἰωσήππον* A[1]) *ἰουδαϊκῆς ἀρχαιολογίας λόγων κ'* (*ἰδιωτῶν* WE) praemittunt AWE *κ° κ'* M *πεμφθὲν δὲ ὁ λόγος χρόνον ἐτῶν εἰκοσιέξ* subiungit E 12 *ἀγρίππου* E 13 *μάρσωον* (?) E 14 **Κάσσιον*] *ἄσιον* A **τῇ* om. MW **τοῦ βασιλέως*] *defuncti* Lat 16 *τὴν* om. E 17 *δ'* E **εἰς* om. MW 18 **τοὺς — κατοικοῦντας*] *iudaeos habitantes trans fluuium* Lat *τὴν*] E *εἰσ τὴν* codd. **φιλαδελφηνοὺς* WLat 19 **περιορῶν* A **μιᾶς*] *Ziae* Relandus **μιᾶς λεγομένης*] *cuius nomen est meas* Lat *πολεμίων*] *πολεμικῶν* MWE *armatorum* Lat; nomen uici hic latere uid. 20 **τῆς* om. MW *πρώτων*] *πρώτων ἀνδρῶν* E 21 **φιλαδελφηνῶν* WLat 22 *τὸν* om. AE 23 **παραλείποιεν* W et ex corr. M *εἴπερ*] *qui* Lat *φιλαδελφηνῶν* WLat *ἀλλ'*] *ἀλλ' ὡσὼν* E

πρώτους αὐτῶν τοὺς καὶ τῆς στάσεως αἰτίους δῆσαι προσέταξεν, εἶτα τὸν μὲν αὐτῶν ἀπέλυεν, Ἀννίβας δ' ἦν ὄνομα τούτῳ, Ἀμαράμῳ δὲ καὶ Ἐλεαζάρῳ τοῖς υἱοῖς φυγὴν ἐπέβαλεν. ἀναιρεῖται δὲ καὶ Θολομαῖος ὁ ἀρχιλῃστὴς μετ' οὐ πολὺν χρόνον ἀχθεὶς ἐπ' αὐτὸν διατεθεικὼς μέγιστα κακὰ τὴν Ἰδουμαίαν καὶ τοὺς Ἄραβας, ἐκαθάρθη τε λῃστηρίων ἅπασα τοὐντεῦθεν Ἰουδαία προνοίᾳ καὶ φροντίδι τῇ Φάδου· ὃς δὴ καὶ τότε μεταπεμψάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς πρώτους τῶν Ἱεροσολυμιτῶν παρήνεσεν αὐτοῖς τὸν ποδήρη χιτῶνα καὶ τὴν ἱερὰν στολήν, ἣν φορεῖν μόνος ὁ ἀρχιερεὺς ἔθος ἔχει, εἰς τὴν Ἀντωνίαν, ἔστι δὲ φρούριον, καταθέσθαι κεισομένην ὑπὸ τῇ Ῥωμαίων ἐξουσίᾳ, καθὰ δὴ καὶ πρότερον ἦν. οἱ δὲ ἀντιλέγειν μὲν οὐκ ἐτόλμων, παρεκάλουν δ' ὅμως τόν τε Φάδον καὶ τὸν Λογγῖνον, ἀρίκετο γὰρ καὶ αὐτὸς εἰς τὰ Ἱεροσόλυμα στολὴν ἐπαγόμενος δύναμιν φόβῳ τοῦ μὴ τὰ προστάγματα Φάδου τὸ πλῆθος τῶν Ἰουδαίων νεωτερίζειν ἀναγκάσῃ, πρῶτον μὲν αὐτοῖς ἐπιτρέψαι πρέσβεις ὡς Καίσαρα πέμψαι τοὺς αἰτησομένους παρ' αὐτοῦ τὴν ἱερὰν στολὴν ὑπὸ τὴν αὐτῶν ἐξουσίαν ἔχειν, εἶτα δὲ περιμεῖναι μέχρις ἂν γνῶσιν, τί πρὸς ταῦτα Κλαύδιος ἀποκρίναιτο. οἱ δὲ ἐπιτρέψειν αὐτοῖς ἔφασαν ἀποστεῖλαι τοὺς πρέσβεις, εἰ λάβοιεν τοὺς παῖδας ὁμηρεύσοντας. ὑπακουσάντων δ' ἑτοίμως ἐκείνων καὶ δόντων ἐξεπέμφθησαν οἱ πρέσβεις. παραγενομένων δὲ εἰς τὴν Ῥώμην αὐτῶν γνοὺς ὁ νεώτερος Ἀγρίππας ὁ τοῦ τετελευτηκότος παῖς, καθ' ἣν ἦκουσιν αἰτίαν, ἐτύγχανεν δὲ ὢν παρὰ Κλαυ-

---

AMWELat Zonaras I p. 505.

2 *ἀννίβᾳ M *antibam* Lat δὲ MW δ' ἦν om. E ἦν om. M ἀμεράνω cod. Busb. E teste Hudsono 4 *Θολομαῖος*] *θοδομαῖος* E (teste Hudsono) et i. marg. A *ptolomaeus* Lat, i. marg. *II* Lat *ἀχθεὶς ἐπ' αὐτὸν*] *captus et ad eum deductus* Lat litt. *ἐπ' αὐτὸν* — *μέγιστ* i. ras. m. 2 angustius scriptae A *ἐπ' αὐτὸν*] *ἐπ' αὐτὸν δέσμιος* A *δέσμιος ὑπ' αὐτὸν*E 5 *διατεθεικὼς*] *διατεθεικῶσ καὶ* A 6 *πᾶσα* E *Ἰουδαία*] *ἡ ἰουδαία* MW *ἥ τε ἰουδαία καὶ ἀραβία* E teste Hudsono *φροντίδι καὶ προνοίᾳ* tr. MWE 7 *βάδου* cod. Laur. E i. marg. *III* Lat 8 *τῶν* om. MWE *κατὰ τὴν κέλευσιν τοῦ αὐτοκράτοροσ* ante *παρήνεσεν* add. E *παρήνεσαν* M 12 *τοῖσ ὑπὸ τοῦ ἡγεμόνοσ λεγομένοισ* post *μὲν* add. E *δ'*] *τε* M *δὲ* W, om. E *τε* om. MWE 13 *τὸν τῆσ ἀραβίασ ἐπίτροπον* post *Λογγῖνον* add. E *αὐτὸσ*] *οὗτοσ* MW 14 *τὰ*] *διὰ τὰ* E 15 *ἀναγκάσῃ* i. ras. W *ἀναγκασθείη* E 16 *Καίσαρα*] *claudium* Lat 17 *αὐτῶν* ex corr. A 18 *μέχρισ*] *ἕωσ* MWE *ἀποκρίναιτο* MWE *ἀποκρινεῖται* coni. 19 *αὐτοὺσ* M *εἰ*] *γο εἰ λάβοιεν αὐτων τοὺσ παιδασ ὁμηρεύσοντασ* i. marg. A 20 *ὁμήροσ ὄντασ* A *δὲ* MWE 22 *τετελευτηκότοσ* M 23 *περὶ* E

δίῳ Καίσαρι, καθὼς καὶ πρότερον εἴπομεν, παρακαλεῖ τὸν Καίσαρα συγχωρῆσαι τοῖς Ἰουδαίοις ἅπερ ἠξίουν περὶ τῆς ἱερᾶς στολῆς καὶ Φάδῳ περὶ τούτων ἐπιστεῖλαι.

10 2. *Καλέσας δὲ Κλαύδιος τοὺς πρέσβεις ἔφη ταῦτα συγχωρεῖν καὶ ἐκέλευεν αὐτοὺς Ἀγρίππᾳ χάριν εἰδέναι, ταῦτα γὰρ ἐκείνου ποιεῖν ἀξιώσαντος, ἐπί τε ταῖς ἀποκρίσεσιν τοιαύτην ἐπιστολὴν* 11 *ἔδωκεν· „Κλαύδιος Καῖσαρ Γερμανικὸς δημαρχικῆς ἐξουσίας τὸ πέμπτον ὕπατος ἀποδεδειγμένος τὸ τέταρτον αὐτοκράτωρ τὸ δέκατον πατὴρ πατρίδος Ἱεροσολυμιτῶν ἄρχουσι βουλῇ δήμῳ Ἰουδαίων* 12 *παντὶ ἔθνει χαίρειν. Ἀγρίππα τοῦ ἐμοῦ, ὃν ἐγὼ ἔθρεψα καὶ ἔχω σὺν ἐμαυτῷ εὐσεβέστατον ὄντα, προσαγαγόντος μοι τοὺς ὑμετέρους πρέσβεις εὐχαριστοῦντας ἐφ' ᾗ πεποίημαι τοῦ ἔθνους ὑμῶν κηδεμονίᾳ, καὶ αἰτησαμένων σπουδαίως καὶ φιλοτίμως τὴν ἱερὰν ἐσθῆτα καὶ τὸν στέφανον ὑπὸ τὴν ἐξουσίαν ὑμῶν εἶναι, συγχωρῶ καθὼς* 13 *ὁ κράτιστος καί μοι τιμιώτατος Οὐιτέλλιος ἐποίησεν. συγκατεθέμην δὲ τῇ γνώμῃ ταύτῃ πρῶτον διὰ τὸ ἐμαυτοῦ εὐσεβὲς καὶ τὸ βούλεσθαι ἑκάστους κατὰ τὰ πάτρια θρησκεύειν. ἔπειτα δὲ εἰδώς, ὅτι καὶ αὐτῷ βασιλεῖ Ἡρώδῃ καὶ Ἀριστοβούλῳ τῷ νεωτέρῳ, ὧν τὴν πρὸς ἐμαυτὸν εὐσέβειαν καὶ τὴν περὶ ὑμᾶς γινώσκω σπουδήν * ταῦτα ποιήσας, πρὸς οὓς ἔστι μοι πλεῖστα δίκαια φιλίας κρατί-* 14 *στους ὄντας κἀμοὶ τιμίους. ἔγραψα δὲ περὶ τούτων καὶ Κουσπίῳ Φάδῳ τῷ μὴ ἐπιτρόπῳ. οἱ τὰ γράμματα κομίζοντες Κορνήλιος Κέρωνος Τρύφων Θευδίωνος Δωρόθεος Ναθαναήλου Ἰωάννης Ἰωάννου. ἐγράφη πρὸ τεσσάρων καλανδῶν * ἐπὶ ὑπάτων Ῥούφου καὶ Πομπηίου Σιλουανοῦ.“*

AMWE Lat Zonaras I p. 505.

1 *παρακαλεῖ — 3 ἐπιστεῖλαι*] *caesari supplicabat ut iudeis concederet mittens ad fadum sua scripta quae de sacerdotali veste poscebant* Lat 3 *ἀποστεῖλαι* MW 5 *καὶ ἐκέλευεν — 21 τιμίους*] *δι' ἀγρίππαν* E 6 *ἀξιώσαντος*] *ἀξιώσαντοσ παρεσχόμην* A litt. *τοσ — ταῖσ ἀπο* i. ras. circiter 17 litt. m. 2 A *ἐπὶ — 7 ἔδωκεν*] *quam ob rem huius modi ad fadum misit epistolam* Lat *τε* s. m. 1 M 11 *προσαγαγόντασ* MW 15 *καί μοι*] *καὶ ἐμοὶ* M *μοι καὶ* A 16 *καὶ τὸ βούλεσθαι — 21 τιμίους*] *uolens unumquemque exhibere suam in paterna traditione culturam, deinde sciens quia dum haec fecero et ipsius regis herodis et aristoboli iuuenis potentium personarum, quorum circa me pietatem et circa uos studium esse cognosco, amplissimas amicitias collocabo* Lat 17 *ἔπειτα*] *ἔθη ἔπειτα* i. ras. circiter 8 litt. pressius scriptum m. 2 A *δὲ* om. MW 19 *ὑμᾶσ* MW *γινώσκων* MW 20 *ταῦτα*] *πάντ χαριοῦμαι ταῦτα* ed. pr. 21 *κοσπίῳ* E 22 *τῷ ἐμῷ* AE *οἱ*] *ὅτι* MW *οἱ — κομίζοντεσ*] *nomina uero litterae deferentium haec sunt* Lat 23 *Κέρωνοσ*] *καὶ λέων* A *leo* Lat 24 *καλάνδων* A[1] *καλανδῶν Ἰουλίου* Hudson ex *kal. Iulii* codicum Latinorum deteriorum, sed a melioribus ut a Graecis abest *Iulii* *ἐπὶ ὑπάτων* MW

3. Ἠτήσατο δὲ καὶ Ἡρῴδης, ὁ ἀδελφὸς μὲν Ἀγρίππα τοῦ τετελευτηκότος, Χαλκίδος δὲ τὴν ἀρχὴν κατὰ τὸν χρόνον ἐκεῖνον πεπιστευμένος, Κλαύδιον Καίσαρα τὴν ἐξουσίαν τοῦ νεὼ καὶ τῶν ἱερῶν χρημάτων καὶ τὴν τῶν ἀρχιερέων χειροτονίαν, πάντων τε ἐπέτυχεν. ἐξ ἐκείνου τε κᾶσι τοῖς ἀπογόνοις αὐτοῦ παρέμεινεν ἡ ἐξουσία μέχρι τῆς τοῦ πολέμου τελευτῆς. καὶ δὴ ὁ Ἡρῴδης μεθίστησιν τῆς ἀρχιερωσύνης τὸν ἐπικαλούμενον Κανθήραν Ἰωσήπῳ τῷ Καμεὶ ἀντ' ἐκείνου τὴν διαδοχὴν τῆς τιμῆς παρασχόμενος.

II. 1. Κατὰ τοῦτον δὲ τὸν καιρὸν τῶν Ἀδιαβηνῶν βασιλὶς Ἑλένη καὶ ὁ παῖς αὐτῆς Ἴζατης εἰς τὰ Ἰουδαίων ἔθη τὸν βίον μετέβαλον διὰ τοιαύτην αἰτίαν. Μονοβάζος ὁ τῶν Ἀδιαβηνῶν βασιλεύς, ὃς καὶ Βαζαίος ἐκλήθη, τῆς ἀδελφῆς Ἑλένης ἅλοις ἐρωτι τῇ πρὸς γάμου κοινωνίᾳ ἄγεται καὶ κατέσησιν ἐγκύμονα. συγκαθεύδων δὲ ποτε τῇ γαστρὶ τῆς γυναικὸς τὴν χεῖρα προσανεπαύσας ἔγνω καθιστῶσαν. φωνῆς τινος ἔδοξεν ἐπακοῦσαι κελευούσης ἄραι ἀπὸ τῆς νηδύος τὴν χεῖρα καὶ μὴ θλίβειν τὸ ἐν αὐτῇ βρέφος θεοῦ προνοίᾳ καὶ ἀρχῆς τυχὸν καὶ τέλους εὐτυχοῦς τευξόμενον. ταραχθεὶς οὖν ἐπὶ τῇ φωνῇ καὶ δὶς διεγερθεὶς ἔφραζε τῇ γυναικὶ ταῦτα. καὶ γε τὸν υἱὸν Ἴζατην ἐπεκάλεσεν. ἦν δὲ αὐτῷ Μονόβαζος τοῦτου πρεσβύτερος ἐκ τῆς Ἑλένης γενόμενος ἄλλοι τε παῖδες ἐξ ἑτέρων γυναικῶν. τὴν μέντοι πᾶσαν εὔνοιαν ὡς εἰς μονογενῆ τὸν Ἴζατην ἔχων φανερὸς ἦν. φθόνος δὲ τοὐντεῦθεν τῷ παιδὶ παρὰ τῶν ἀμυητηρίων ἀδελφῶν ἐμπέτο καὶ τούτου μᾶσος ἠύξετο λιπουμένων ἁπάντων, ὅτι τὸν Ἴζατην αὐτῶν ὁ πατὴρ προτιμᾷη. ταῦτα δὲ καίπερ σαφῶς αἰσθανομένου ὁ πατὴρ ἐκείνοις μὲν συνεγίνωσκεν

AMWE Lat Zonaras I p. 506.

1 *ἠρώδησ̣ A ut adsolet *ἀγρίππου* WE 2 *τετελευτηκότος M 4 *πάντων τε*] *καὶ πάντων* E *πάντων τε ἐπέτυχεν*] *et omnia pariter impetrauit* Lat 6 *μεθίστησι·, ι (ante σ) i. ras. A 7 *κανθηρᾶν* E et ex corr. A, cf. XIX 297, 313 8 *Καμεὶ*] *καμνὶ*, i. marg. *γρ καμεῖ* A *τοῦ κανεὶ* MW *τοῦ καμεὶ* E *cami* Lat; cf. infra 5, 2, ubi *Καμοιδὶ* uel simile extat; fort. idem nomen est quod supra habuimus XVIII 34 *Καμίθου* *παρεχόμενος M 9 i. marg. *V* Lat *διαβηνῶν A 10 *ἑλένη* hic et infra M et plerumque W *iazates hic et infra Lat 11 *μετέβαλλον ed. pr. *μηνόβαζος E 12 *βαζέως MW *bazeus Lat 13 *τῇ πρὸς γάμου κοινωνίᾳ*] *πρὸς γάμων κοινωνίαν* E *γάμον M *καθέστησεν E 15 *ὑπακοῦειν*] *ἀκούειν* MWE *ut — subito — audiret* Lat 18 *εὐθὺς*] *καὶ* E *repente* Lat 19 *καί γε*] *γρ καὶ γεννώμενον τὸν υἱὸν* i. marg. A *καὶ* E *καὶ γενόμενον* ed. pr. *et natum* Lat *μονάζος E 20 *γεννώμενος MW et ex corr. A 21 *τὸν* om. MWE 22 *φανερῶσ A¹W *δὲ*] *δὴ* MWE *τῷ παιδὶ* om. E 23 *κἂν*] *καὶ* E *γρ ηὔξητο* i. marg. A *ηὔξαιτο* E 25 *δὲ* om. W

ὡς μὴ διὰ κακίαν αὐτὸ πάσχουσιν ἀλλ᾽ ἤτοι παρὰ τοῦ πατρὸς αὐ-
τῶν ἕκαστον ἀξιῶν εὐνοίας τυγχάνειν, τὸν δὲ νεανίαν, σφόδρα γὰρ
ἐδεδοίκει περὶ αὐτοῦ, μὴ μισούμενος ὑπὸ τῶν ἀδελφῶν πάθοι τι,
πολλὰ δωρησάμενος πρὸς Ἀβεννήριγον ἐκπέμπει τὸν Σπασίνου
χάρακος βασιλέα, παρακατατιθέμενος ἐκείνῳ τὴν τοῦ παιδὸς σωτη- 5
23 ρίαν. ὁ δὲ Ἀβεννήριγος ἄσμενός τε δέχεται τὸν νεανίαν καὶ διὰ
πολλῆς εὐνοίας ἄγων γυναῖκα μὲν αὐτῷ τὴν θυγατέρα, Σαμαχὼ
δ᾽ ἣν ὄνομα ταύτῃ, δίδωσι· δωρεῖται δὲ χώραν, ἐξ ἧς μεγάλας
λήψοιτο προσόδους.

24 2. Μονόβαζος δὲ ἤδη γηραιὸς ὢν καὶ τοῦ ζῆν ὀλίγον αὐτῷ 10
τὸν λοιπὸν ὁρῶν χρόνον ἠθέλησεν εἰς ὄψιν ἀφικέσθαι τῷ παιδὶ
25 πρὸ τοῦ τελευτῆσαι. μεταπεμψάμενος οὖν αὐτὸν ἀσπάζεται φιλο-
φρονέστατα, καὶ χώραν δίδωσιν Καρρῶν λεγομένην. φέρειν δ᾽ ἡ
γῆ πλεῖστον τὸ ἄμωμον ἀγαθή· ἔστι δ᾽ ἐν αὐτῇ καὶ τὰ λείψανα
τῆς λάρνακος, ἣ Νῶχον ἐκ τῆς ἐπομβρίας διασεσῶσθαι λόγος ἔχει, 15
26 καὶ μέχρι νῦν ταῦτα τοῖς ἰδεῖν βουλομένοις ἐπιδείκνυται. διέτριβεν
οὖν ὁ Ἰζάτης ἐν τῇ χώρᾳ ταύτῃ μέχρι τῆς τελευτῆς τοῦ πατρός.
ἣ δ᾽ ἐξέλιπεν ἡμέρᾳ τὸν βίον ὁ Μονόβαζος ἡ βασιλὶς Ἑλένη με-
τατέμπτεται πάντας τοὺς μεγιστᾶνας καὶ τῆς βασιλείας σατράπας καὶ
27 τοὺς τὰς δυνάμεις πεπιστευμένους. οἷς ἀφικομένοις, „ὅτι μὲν ὁ 20
ἐμὸς ἀνήρ, εἶπε, τῆς βασιλείας αὐτῷ διάδοχον Ἰζάτην ἠξιώσατο γενέ-

---

AMWELat Zonaras I p. 507.

1 *ἀλλ᾽* — 2 *τυγχάνειν*] *sed quoniam singuli fauorem patris habere desiderabant* Lat *ἀλλ᾽ ἢ τῷ παρὰ τοῦ πατρὸς αὐτὸν ἕκαστον ἀξιοῦν εὐνοίας τυγχάνειν* Bekker *ἀλλ᾽ ὅτι τῆς παρὰ τοῦ πατρὸς αὐτοῦ ἕκαστος ἀξιοίη εὐνοίας τυγχάνειν* coni. *ἤτοι] ἴσης* Ernesti *αὐτῶν* ex *αὐτὸν* corr. A *αὐτὸν* MW 2 *ἕκαστος* W *ἀξιῶν, ὠ* ex *ὸ* corr. A *ἀξιοῦν* Cocceji *ἀξιοῦσιν* Ernesti *νεανίαν*] *ἰζάτην* MWELat 3 *περὶ αὐτῷ* E 4 **πολλὰ*] *γρ πολλοῖσ* i. marg. A **σαβιννήριγον* A 5 *κατατιθέμενος* MW *καταθέμενος* E 6 *Ἀβεννήριγος* om. E *ἀσμένως* A¹MWE *libenter* Lat *τε* om. MWE 7 *ἄγων εὐνοίας* tr. MWE fort. recte *σαμαχὼ* · A *σάμαχος* MW *συμμαχὼ* E *amachos* Lat *Σεμαχὼ* Dindorf 8 *δὲ* MWE **δωρεῖται δὲ χώραν*] *δωρεῖται δὲ χώραν αὐτῷ* i. ras. 15 litt. m. 2 A 10 **μονόβαζος δὲ, ος δὲ* i. ras. m. 2 A *αὐτῷ* ex corr. A 12 **αὐτὸν* om. M 13 *Καρρῶν*] *καιρῶν* MW *καρεῶν* (*ε* ex *ν* corr.) E *carrorum* Lat *δὲ* MWE 14 **δ᾽ ἐν*] *δὲ* MW *τὰ λείψανα τῆσ λάρνακος, ἣ Νῶχον* — 15 *λόγον ἔχει*] *reliquiae — arcae noae quae — fertur* Lat 15 *ἡ*] E *ἣν* codd. *Νῶχον*] *νῶχοσ* E *Νώεον* Dindorf *διασεσῶσθαι λόγος ἔχει*] *διασέσωστο* E 16 *νῦν*] *δὴ* E 18 **δὲ* MW 19 *καὶ*] *καὶ τοὺσ* A **litt. καὶ τοὺσ τῆσ* — 281, 6 *βασιλέωσ γ* i. ras. 7 uersuum (quadragenorum binorum circiter litt.) et 24 litt. m. 2 A **τῆς βασιλείας* — 21 *εἶπε* om. MWLat *τῆς βασιλείας*] *τοὺσ* E 21 **τῆς*] *τὸν τῆσ* MW *ἠξίωσατο ἰζάτην* tr. E

σθαι καὶ τοῦτον ἄξιον ἔκρινεν, οὐδ' ὑμᾶς λελῆθέναι δοκῶ, πεπρεσβευκὼς δὲ ὑμῶν καὶ τὴν ὑμετέραν κρίσιν· μακάριος γὰρ οὐχ ὁ παρ' ἑνός, ἀλλὰ πλειόνων καὶ φιλόντων τὴν ἀρχὴν λαμβάνων." ἡ μὲν 28
ταῦτ' εἶπεν ἐπὶ πείρᾳ τοῦ τί φρονοῖεν οἱ συγκληθέντες· οἱ δὲ ἀκούσαντες πρῶτον μὲν προσεκύνησαν τὴν βασιλίδα, καθὼς ἔθος ἐστὶν αὐτοῖς, εἶτ' ἔφασαν τὴν τοῦ βασιλέως γνώμην βεβαιοῦν καὶ ὑπακούσεσθαι χαίροντες Ἰζάτῃ δικαίως ὑπὸ τοῦ πατρὸς προκριθέντι τῶν ἀδελφῶν κατὰ τὰς εὐχὰς τὰς ἁπάντων. βούλεσθαί τ' 29
ἔφασαν προαποκτεῖναι πρῶτον αὐτοῦ τοὺς ἀδελφοὺς καὶ συγγενεῖς ὑπὲρ τοῦ τὴν ἀρχὴν Ἰζάτην μετ' ἀσφαλείας κατασχεῖν· φθαρέντων γὰρ ἐκείνων καθαιρεθήσεσθαι πάντα τὸν φόβον τὸν ὑπὸ μίσους τοῦ παρ' αὐτῶν καὶ φθόνου γινόμενον. πρὸς ταῦτα ἡ Ἑλένη χάριν μὲν αὐ- 30
τοῖς ὁμολόγει τῆς πρὸς αὐτὴν καὶ τὸν Ἰζάτην εὐνοίας ἔχειν, παρεκάλει δ' ὅμως ἐπισχεῖν τὴν περὶ τῆς ἀναιρέσεως τῶν ἀδελφῶν γνώμην μέχρι ἂν Ἰζάτης παραγενόμενος συνδοκιμάσῃ. οἱ δ' ἐπεὶ ἀνέλεῖν συμ- 31
βουλεύσαντες οὐκ ἔπεισαν, ἀλλὰ φυλάσσειν αὐτοὺς δεσμίους παρῄνουν μέχρι τῆς ἐκείνου παρουσίας ὑπὲρ ἀσφαλείας τῆς ἑαυτῶν. συνεβούλευον δ' αὐτῇ μεταξὺ προστήσασθαί τινα τῆς ἀρχῆς ἐπίτροπον, ᾧ μάλιστα πιστεύει. πείθεται τούτοις ἡ Ἑλένη, καὶ καθίστησι τὸν πρεσ- 32
βύτατον παίδα Μονοβάζου βασιλέα περιθεῖσα τὸ διάδημα καὶ δοῦσα τὸν σημαντῆρα τοῦ πατρὸς δακτύλιον τήν τε σαμψηρὰν ὀνομαζομένην παρ' αὐτοῖς, διοικεῖν τε τὴν βασιλείαν παρῄνεσεν μέχρι τῆς τοῦ ἀδελφοῦ παρουσίας. ἦλε δ' οὗτος ταχέως ἀκούσας τὴν τοῦ πατρὸς τελευτὴν 33
καὶ διαδέχεται τὸν ἀδελφὸν Μονοβάζου ἐπεκστάντος τῆς ἀρχῆς αὐτῷ.

AMWELatZonaras I p. 507.

1 οὐδ' ὑμᾶς] οἶσ δὲ ὑμᾶσ MW οὐδαμῶσ E *περι··μένω (eras. ρι) A 2 ἡμετέραν E 3 ἀλλὰ] ἀλλὰ παρὰ AE θελόντων] ἑκουσίωσ βουλομένων E 4 ταῦτα MWE ἐπὶ — συγκληθέντες om. E συγκληθέντεσ] συγκληθέντεσ μαθησομένη A δ' E 6 αὐτοῖσ ἐστιν tr. A *εἶτα MW *γνώμην A; uide ad 280, 19 8 *κατὰ — 9 προαποκτεῖναι] *et omnium pariter esse uotum ut — occiderent* Lat εὐχὰσ τὰσ] εὐχὰσ τῶν MWE *τε φασὶ MW 10 *ἴζάτῃ MW 12 *μὲν om. M 13 *τῆσ] τὴν MW ἔχειν om. E παρεκάλει — 16 παρῄνουν] *rogauit autem ut a nece fratrum eius donec ueniret et iazatis interim abstinerent. tunc illi, dum non impetrassent ut eos occiderent, uinctos censuerunt — seruandos* Lat *παρακαλεῖ MW 14 *δὲ MW γνώμη E 15 μέχρισ ΜΕ *συνδοκιμάσει MW *δὲ MW ἐπεὶ — 16 ἔπεισαν om. E συμβουλεύσαντεσ] ἢ ἐβουλεύσαντο (ἢ s. m. 1) A 16 ἀλλὰ] ras. 2—3 litt. A 18 *δὲ MW προστήσασθαί τινα] τινὰ προστήσεσθαι E *πιστεύοι M 19 ᾗ om. E 20 Μονόβαζον om. E 21 συμψηρὰν, ει i. ras. A *sampseram* Lat 22 *τε] τε τούτοισ MW 23 δὲ MWE 24 καὶ διαδέχεται — αὐτῷ] *et fratri demuo successit in regno, quod ille absenti perceperat conseruandum* Lat ὑπεκστάντοσ] ὑπερεκστάντοσ codd. ὑπεκστάντα E

34 3. *Καθ' ὃν δὲ χρόνον ὁ Ἰζάτης ἐν τῷ Σπασίνου χάρακι διέ-*
τριβεν Ἰουδαῖός τις ἔμπορος Ἀνανίας ὄνομα πρὸς τὰς γυναῖκας
εἰσιὼν τοῦ βασιλέως ἐδίδασκεν αὐτὰς τὸν θεὸν σέβειν, ὡς Ἰου-
35 *δαίοις πάτριον ἦν, καὶ δὴ δι' αὐτῶν εἰς γνῶσιν ἀφικόμενος τῷ*
Ἰζάτῃ κἀκεῖνον ὁμοίως συνανέπεισεν μετακληθέντι τε ὑπὸ τοῦ 5
πατρὸς εἰς τὴν Ἀδιαβηνὴν συνεξῆλθεν κατὰ πολλὴν ὑπακούσας
δέησιν· συνεβεβήκει δὲ καὶ τὴν Ἑλένην ὁμοίως ὑφ' ἑτέρου τινὸς
36 *Ἰουδαίου διδαχθεῖσαν εἰς τοὺς ἐκείνων μετακομισθῆναι νόμους. ὁ*
δ' Ἰζάτης ὡς παρέλαβεν τὴν βασιλείαν, ἀφικόμενος εἰς τὴν Ἀδια-
βηνὴν καὶ θεασάμενος τούς τε ἀδελφοὺς καὶ τοὺς ἄλλους συγγενεῖς 1
37 *δεδεμένους ἐδυσχέρανεν τῷ γεγονότι. καὶ τὸ μὲν ἀνελεῖν ἢ φυλάτ-*
τειν δεδεμένους ἀσεβὲς ἡγούμενος, τὸ δὲ μὴ συγκακοῦντας ἔχειν σὺν
αὐτῷ μὴ δεδεμένους σφαλερὸν εἶναι νομίζων, τοὺς μὲν ὁμηρεύσον-
τας μετὰ τέκνων εἰς τὴν Ῥώμην ἐξέπεμψε Κλαυδίῳ Καίσαρι, τοὺς δὲ
λοιποὺς Ἀρταβάνην τὸν Πάρθον ἐφ' ὁμοίαις προφάσεσιν ἀπέστειλεν. 1
38 4. *Πυθόμενος δὲ πάνυ τοῖς Ἰουδαίων ἔθεσιν χαίρειν τὴν*
μητέρα τὴν ἑαυτοῦ ἔσπευσε καὶ αὐτὸς εἰς ἐκεῖνα μεταθέσθαι, νομί-
ζων τε μὴ ἂν εἶναι βεβαίως Ἰουδαῖος, εἰ μὴ περιτέμνοιτο, πράτ-
39 *τειν ἦν ἕτοιμος. μαθοῦσα δ' ἡ μήτηρ κωλύειν ἐπειρᾶτο ἐπιφέρειν*
αὐτῷ κίνδυνον λέγουσα· βασιλέα γὰρ εἶναι, καὶ καταστήσειν εἰς 2
πολλὴν δυσμένειαν τοὺς ὑπηκόους μαθόντας, ὅτι ξένων ἐπιθυμή-
σειεν καὶ ἀλλοτρίων αὐτοῖς ἐθῶν, οὐκ ἀνέξεσθαί τε βασιλεύοντος
40 *αὐτῶν Ἰουδαίου. καὶ ἡ μὲν ταῦτ' ἔλεγεν καὶ παντοίως ἐκώλυεν.*
ὁ δ' εἰς τὸν Ἀνανίαν τοὺς λόγους ἀνέφερεν. τοῦ δὲ τῇ μητρὶ
συμφάσκοντος καὶ συναπειλήσαντος ὡς εἰ μὴ πείθοι καταλιπὼν

AMWELatZonaras I p. 508.

1 *χρόνον*] *καιρὸν* MWE *ὁ Ἰζάτης — χάρακι*] *gaius in uallo spasini* Lat **σπασιννουχάρακι* A **χάρακι* W 3 *σέβειν*] *εὐσεβεῖν* MWE 7 *συμβεβήκει* MWE *ὁμοίως* om. E 8 **διδαχθεῖσαν*] *διαλεχθεῖσαν* MW *eruditam* Lat **μετακομίσασθαι* MW 9 *δὲ* MWE 10 *τε* om. MWE 11 *ἐδυσχέρανεν* — 13 *μὴ δεδεμένους* om. MW *ἐδυσχέρανεν* — 12 *δεδεμένους* om. E *ἐδυσχαίρενεν* ed. pr. 12 **σὺν αὐτῷ μὴ* i. ras. 8 litt. m. 2 A 13 **μὴ* om. Lat 15 *Ἀρταβάνην*] codd. Lat E *Ἀρτάβανον* Hudson 16 *περιτέμνοιτο*] E *περιτέμνοιτο* codd. Lat *χαίρειν τὴν μητέρα τὴν ἑαυτοῦ* E, om. codd. Lat 17 *μεταθέσθαι* MWE 18 *Ἰουδαῖος εἰ μὴ περιτέμνοιτο τὴν σάρκα πράττειν*, litt. *ος — σάρκα* i. ras. 24 litt., *Ἰουδαῖ* suppl. m. 2 A *περιτέμνοιτο*] Hudson *περιτέμοιτο* codd. E 19 *δὲ* MWE 20 **καταστήσειν*, *α* ex *ά* corr., *ή* i. ras. A 21 **ὑπηκόους*] *Ἰουδαίους* M 22 **ἀλλοτρίοις αὐτῶν* MW 23 **ἡ* om. W *ταῦτα* MWE *παντοίως*] *τέως* MWE *omnino* Lat 24 *δὲ* MWE 25 *συμφάσκοντος*] E *συμπάσχοντος* A *συγκαταισχύντος* M *συγκαταισχύντος* W *dixit* Lat *ὡς*] E, om. codd. *quia* Lat *πείθοιτο* E et ex corr. A **καταλιπὼν*] *καταλιπεῖν αὐτὸν* ed. pr.

ἄπειστν· δεδοικέναι γὰρ ἔλεγεν, μὴ τοῦ πράγματος ἐκδήλου πᾶσιν 41
γενομένου κινδυνεύσειε τιμωρίαν ὑποσχεῖν ὡς αὐτὸς αἴτιος τούτων
καὶ διδάσκαλος τῷ βασιλεῖ ἀτοπιτῶν ἔργων γενόμενος, δυνάμενον
δ' αὐτὸν ἔρη καὶ χωρὶς τῆς περιτομῆς τὸ θεῖον σέβειν, εἴγε πάν-
των κέκρικε ζηλοῦν τὰ πάτρια τῶν Ἰουδαίων· τοῦτ' εἶναι κυριώ-
τερον τοῦ περιτέμνεσθαι· συγγνώμην δ' ἕξειν αὐτῷ καὶ τὸν θεὸν 42
φήσαντος μὴ πράξαντι τὸ ἔργον δι' ἀνάγκην καὶ τὸν ἐκ τῶν ὑπη-
κόων φόβον, ἐπείσθη μὲν τότε τοῖς λόγοις ὁ βασιλεύς. μετὰ ταῦτα 43
δέ, τὴν γὰρ ἐπιθυμίαν οὐκ ἐξερεβλήκει παντάπασιν, Ἰουδαῖός τις
ἕτερος ἐκ τῆς Γαλιλαίας ἀφικόμενος Ἐλεάζαρος ὄνομα πάνυ περὶ
τὰ πάτρια δοκῶν ἀκριβῆς εἶναι προετρέψατο πρᾶξαι τοὖργον. ἐπεὶ 44
γὰρ εἰσῆλθεν ἀσπασόμενος αὐτὸν καὶ κατέλαβε τὸν Μωυσέος νό-
μον ἀναγινώσκοντα, „λανθάνεις, εἶπεν, ὦ βασιλεῦ, τὰ μέγιστα τοὺς
νόμους καὶ δι' αὐτῶν τὸν θεὸν ἀδικῶν· οὐ γὰρ ἀναγινώσκειν σε
δεῖ μόνον αὐτούς, ἀλλὰ καὶ πρότερον τὰ προστασσόμενα ποιεῖν
ὑπ' αὐτῶν. μέχρι τίνος ἀπερίτμητος μενεῖς; ἀλλ' εἰ μήπω τὸν 45
περὶ τούτου νόμον ἀνέγνως, ἵν' εἰδῇς τίς ἐστιν ἡ ἀσέβεια, νῦν
ἀνάγνωθι.“ ταῦτα ἀκούσας ὁ βασιλεὺς οὐχ ὑπερεβάλετο τὴν πρᾶ- 46
ξιν, μεταστὰς δ' εἰς ἕτερον οἴκημα καὶ τὸν ἰατρὸν εἰσκαλεσάμενος
τὸ προσταχθὲν ἐτέλει καὶ μεταπεμψάμενος τήν τε μητέρα καὶ τὸν
διδάσκαλον Ἀνανίαν ἐσήμαινεν αὐτὸν πεπραχέναι τοὖργον. τοὺς 47
δ' ἔκπληξις εἰθὺς ἔλαβεν καὶ φόβος οὔτι μέτριος, μὴ τῆς πράξεως
εἰς ἔλεγχον ἐλθούσης κινδυνεύσειεν μὲν ὁ βασιλεὺς τὴν ἀρχὴν ἀπο-

AMWELat Zonaras I p. 508.

1 *ἄπειστν] *repente decederet* Lat, om. Bekker *ἔλεγεν] *cui mater ait* Lat *ἐκδήλου, *z* suppl. A 3 *καὶ διδάσκαλος — ἔργων* om. E *δύνασθαι Bekker 4 δὲ MW ἔρη] *tunc ille audiens haec respondit* Lat 5 τοῦτο MW 6 δὲ MW 8 τότε] *τούτου τότε* MW *τότε τούτου* E *δὲ ταῦτα tr. M 10 πάνυ om. E 11 *ἀκριβὴς] εὐσεβὴς M *eruditum* Lat *τοὖργον] *circumcisionis opus* Lat *ἐπεὶ — 12 κατέλαβε] *καταλαβὼν γὰρ αὐτὸν* E 12 εἰσῆλθεν — αὐτὸν] *intrasset ad eum* Lat *κατελάβετο A μωϋσέως AW *μωσέως* E *moyseos* Lat 13 *τὰ μέγιστα τοὺς νόμους] *moyseos iura* Lat 14 *ἀναγινώσκειν] *γινώσκειν* W 15 *μόνον αὐτοὺς] *λόγους μόνον* E *πρότερον* om. E *προστάττομενα MW 16 *μέχρι — 18 ἀνάγνωθι] *quamdiu sine circumcisione permanes legibus nequaquam nosceris oboedire. sed si nondum ex hoc legisti legem, ut scias quapropter haec geratur impietas, uel nunc lege* Lat *μενεῖς] Dindorf *μένεις* codd. E *μήπω] *μὴ* MWE 17 *τί M *εὐσέβεια* E 18 *ὑπερεβάλλετο M 19 δὲ MWE 20 *ἐπετέλει M *implenit* Lat 21 *ἐσήμαινεν] coni. *ἐσήμηνεν* codd. E *Dindorf αὐτὸν] *αὖτον* ex corr. A *αὐτοῖσ* E *αὐτὸς* Bekker 22 *δὲ MW *εὐθὺς* om. E *οὔτι μέτριος* om. E

βαλεῖν οὐκ ἀπασχημένων τῶν ἐπιχωρίων ἄρχειν αὐτῶν ἄνδρα τῶν παρ' ἑτέρους ξηλωτὴν ἐθῶν. κινδυνεύσειαν δὲ καὶ αἰτίαι τῆς αἰτίας
48 ἐπ' αὐτοῖς ἐνεχθείσης. Θεὸς δ' ἦν ὁ κωλύσων ἅρα τοὺς ἐκείνων φόβους ἐλθεῖν ἐπὶ τέλος· πολλοῖς γὰρ αὐτόν τε τὸν Ἰζάτην περιπεσόντα κινδύνοις καὶ παῖδας τοὺς ἐκείνου διέσωσεν ἐξ ἀμηχάνων πόρον εἰς σωτηρίαν παρασχών, ἐπιδεικνὺς ὅτι τοῖς εἰς αὐτὸν ἀποβλέπουσιν καὶ μόνῳ πεπιστευκόσιν ὁ καιρὸς οὐκ ἀπόλλυται ὁ τῆς εὐσεβείας. ἀλλὰ ταῦτα μὲν ὕστερον ἀπαγγελοῦμεν.
49 5. Ἑλένη δὲ ἡ τοῦ βασιλέως μήτηρ ὁρῶσα τὰ μὲν κατὰ τὴν βασιλείαν εἰρηνευόμενα, τὸν δὲ υἱὸν αὐτῆς μακάριον καὶ παρὰ πᾶσι ζηλωτὸν καὶ τοῖς ἀλλοεθνέσι διὰ τὴν ἐκ τοῦ Θεοῦ πρόνοιαν, ἐπιθυμίαν ἔσχεν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ἀφικομένη τὸ πᾶσιν ἀνθρώποις περιβόητον ἱερὸν τοῦ Θεοῦ προσκυνῆσαι καὶ χαριστηρίους θυσίας προσενεγκεῖν, ἐδεῖτό τε τοῦ παιδὸς ἐπιτρέψαι. τοῦ
50 δὲ πάνυ προθύμως τῇ μητρὶ παρακαλούσῃ κατανεύσαντος καὶ πολλὴν παρασκευὴν τῶν εἰς τὴν ἀποστολὴν ἑτοιμασαμένου καὶ χρήματα πλεῖστα δόντος, καταβαίνει εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν
51 προπέμποντος ἐπὶ πολὺ τοῦ παιδός. γίνεται δὲ αὐτῆς ἡ ἄφιξις πάνυ συμφέρουσα τοῖς Ἱεροσολυμίταις· λιμοῦ γὰρ αὐτῶν τὴν πόλιν κατὰ τὸν καιρὸν ἐκεῖνον πιεζοῦντος καὶ πολλῶν ὑπ' ἐνδείας ἀναλωμάτων φθειρομένων ἡ βασιλὶς Ἑλένη πέμπει τινὰς τῶν ἑαυτῆς, τοὺς μὲν εἰς τὴν Ἀλεξάνδρειαν πολλῶν σῖτον ὠνησομένους χρημά-
52 των, τοὺς δ' εἰς Κύπρον ἰσχάδων φόρτον οἴσοντας. ὡς δ' ἐπαν-

---

AMWELatZonaras I p. 509.

1 *ἀνασχημένων* E **τῶν* — 2 *ἐθῶν*] *extranei dei cultorem* Lat *τῶν*] *τὸν* E 2 litt. *τῆς αἰτίας* — 3 *ἐνεχθεί* i. ras. 25 litt. m. 2 A 3 *αὐτοῖς*] *αὐτοῖς τοῦ πραχθέντος* A *δὲ* MWE *ἅρα ὁ κωλύσων* tr. E 3 *ἐπὶ τέλος ἐλθεῖν* tr. E **τέλος*] *τὸ τέλος* MW 5 *ἐκείνου*] ELat et i. marg. A *ἐκείνων* A *ἐκείνων δι' ἐκείνων* MW 6 *ἐπιδεικνὺς* W 8 *ἀπαγγελοῦμεν* om. E 10 *καὶ παρὰ* — 11 *πρόνοιαν*] *et ultra cunctas gentes providentia diuina religiosum* Lat 11 *ἀλλοεθνέσι*] *ἄλλοθεν* MW *τοῦ* om. MWE 12 **ἔσχεν* om. M **ἀφικομένη*] *conspicere* Lat *πᾶσιν ἀνθρώποις*] *πᾶσι* E 14 *ἐδεῖτό* — *ἐπιτρέψαι*] *καὶ τοῦ παιδὸς ἐπιτρέψαντος* E 17 **πόνου* W **καταβαίνειν* M *εἰς* — *πόλιν*] *εἰσ ἱεροσόλυμα* ELat 18 *προπέμποντος* — *παιδός* om. E litt. *ὐ τοῦ παιδὸσ* — 19 *μάλιστα χρησίμη* i. ras. circiter 64 litt. m. 2 A **ἄφιξισ* W 19 *καὶ εἰσ τὰ μάλιστα χρησίμη* ante *λιμοῦ* add. A i. marg. *VI* Lat 20 *πιεζοῦντος*] *πιέζοντοσ* M *καταλαβόντοσ* E 21 *βασίλισσα* MWE *αὐτῆς* E 22 *πολλῶν*] E *πολὺν* codd.; cf. § 101 *πολλῶν* — *χρημάτων*] *ut frumenta ex eius pecuniis compararent* Lat **ὠνησομένοισ* M 23 *δὲ* MWE *ἰσχάδων φόρτον οἴσοντας*] *quatenus caricas ex abundanti deferrent* Lat *ἰσχάδων, ὲ* suppl. A *φόρτων* W *δ' ἐπανῆλθον*] E *δ' ἐπαλινῆλθον* A *δὲ πάλιν ἦλθον* MW

ἦλθον ταχέως κομίζοντες τοῖς ἀπορουμένοις διέντιμε τροφὴν καὶ μεγίστην αὐτῆς μνήμην τῆς εὐποιίας ταύτης εἰς τὸ τῶν ἡμῶν ἔθνος καταλέλοιπε. πυθόμενος δὲ καὶ ὁ παῖς αὐτῆς Ἰζάτης τὰ περὶ τὸν 53
Ἰμιν ἔπεμψε πολλὰ χρήματα τοῖς πρώτοις τῶν Ἱεροσολυμιτῶν. ἀλλὰ γὰρ ἃ τοῖς βασιλεῦσιν εἰς τὴν πόλιν ἡμῶν ἀγαθὰ πέπρακται μετὰ ταῦτα δηλώσομεν.

III. 1. Ὁ δὲ τῶν Πάρθων βασιλεὺς Ἀρταβάνης αἰσθόμενος 54
τοὺς σατράπας ἐπιβουλὴν ἐπ' αὐτὸν συντεθεικότας, μένειν παρ' αὐτοῖς ἀσφαλὲς οὐχ ὁρῶν ἔγνω πρὸς Ἰζάτην ἀπαίρειν, πόρον παρ' αὐτοῦ βουλόμενος σωτηρίας εὑρέσθαι καὶ κάθοδον εἰς τὴν ἀρχήν, εἰ δυνηθείη. καὶ δὴ ἀφικνεῖται συγγενῶν τε καὶ οἰκετῶν περὶ 55
χιλίους τὸν ἀριθμὸν ἐπαγόμενος συντυγχάνει τε τῷ Ἰζάτῃ καθ' ὁδόν. αὐτός τε σαφῶς ἐκεῖνον ἐπιστάμενος, ὑπ' Ἰζάτου δὲ οὐ γινω- 56
σκόμενος, πλησίον καταστὰς πρῶτον μὲν κατὰ τὸ πάτριον προσ-
ἐκύνησεν αὐτόν, εἶτα „βασιλεῦ, φησίν, μὴ περίδῃς με τὸν σὸν ἱκέ-
την μηδ' ὑπερηφανήσῃς δεομένου· ταπεινὸς γὰρ ἐκ μεταβολῆς γενόμενος καὶ ἐκ βασιλέως ἰδιώτης τῆς σῆς ἐπικουρίας χρῄζω. βλέψον οὖν εἰς τὸ τῆς τύχης ἄστατον καὶ κοινὴν εἶναι νόμισον καὶ 57

AMWELat Zonaras I p. 509.

1 *ταχέως om. Lat καὶ μεγίστην — 6 δηλώσομεν i. ras. 5½ uersuum (circ. 240 litt.) m. 2 A 2 αὐτῆς] αὐτοῖς M μνήμην] μνήμην εἰσ ἀεὶ διαβοωμένην A ἔθνος ἡμῶν tr. M 4 *Ἱεροσολυμιτῶν] ἱεροσολυμιτῶν ἃ τοῖς ἐνδεέσι διανεμηθέντα πολλοὺς τοῦ λιμοῦ σφοδροτάτης ἀνάγκης ἀνεκτήσατο A 5 τοῖς βασιλεῦσιν] τούτοις τοῖς βασιλεῦσιν A τοῖς βασιλεῦσι τούτοις E *hii principes* Lat πέπρακται ἀγαθὰ tr. E *πέπρακται] πέπρακται καὶ ὅσοι τούτοις ἐκ ταύτης πόροι συνελέγησαν codex Gallicus teste Hudsono 6 *μετὰ om. A *δηλώσομεν A 7 *Ἀρταβάνης] γρ. ἀρτάβανος i. marg. A *artabanus* Lat 8 *τοὺς] τοὺς | αὐτοῦ (αὐτοῦ suppl.) A ἐπ'] εἰσ MWE 11 ἀφικνεῖται] ἀφικνεῖται ὡσ αὐτὸν, litt. ικνεῖται ὡσ αὐτὸν i. ras. 7 uel 8 litt. m. 2 A ἀφικνεῖται πρὸσ ἴζάτην E *uenit ad regem iazatem* Lat 12 *χιλίους] δισχιλίουσ M *mille* Lat συντυγχάνει — 15 αὐτόν] *cumque ipse illum aperte nosset, iazates uero artabanum penitus ignoraret, inueniens eum in itinere constitutum et adstans ei prior secundum morem patrium adorauit* Lat *τε] δὲ A 13 αὐτός — Ἰζάτου] γινώσκων E αὐτός τε] αὐτὸσ δὲ ἀρταβανοσ i. ras. ca. 7 litt. m. 2 A τε] δὴ Dindorf μὲν Bekker ὑπ'] καὶ ὑπ' ed. pr. δὲ om. MW 14 πλησίον] καὶ πλησίον MWE καταστὰς] παρασὰσ MWE πρῶτον — πάτριον om. E κατὰ τὸ πάτριον] κατὰ τὸ πάτριον ἔθοσ | litt. τὰ — ἔθοσ i. ras. ca. 12 litt. m. 2 A κατά τι πάτριον ME ante προσεκύνησεν eras. 1—2 litt. A 15 *αὐτῷ, ῶ ex ὸν corr. A περίδῃς — ἱκέτην] με περιδησ E ἱκέτην] οἰκέτην MW *seruum* Lat 16 μηδὲ MWE ὑπερηφανήσεισ E 17 *ἐπικουρίας] *solatium* Lat 18 litt. καὶ κοινὴν — 286, 1 γὰρ ἀνεκὸ i. ras. circiter 64 litt. m. 2 A καὶ κοινὴν — 286, 1 πρόνοιαν] *et hanc scito esse communem et tui similiter habe curam* Lat εἶναι] εἶναι τὴν συμφορὰν τὴν ἐμὴν A

ὑπὲρ σαυτοῦ πρόνοιαν· ἐμοῦ γὰρ ἀνεκδικήτου περιοφθέντος ἔσον-
58 ται θρασύτεροι πολλοὶ καὶ κατὰ τῶν ἄλλων βασιλέων. ὁ μὲν ταῦτ' ἔλεγεν δακρύων καὶ τῇ κεφαλῇ κάτω νεύων, ὁ δὲ Ἰζάτης ὡς ἤκουσε τοὔνομα καὶ εἶδεν ἱκέτην αὐτῷ παρεστῶτα τὸν Ἀρταβάνην, κατε-
59 πήδησεν ἀπὸ τοῦ ἵππου καί „θάρσησον, εἶπεν, ὦ βασιλεῦ, μηδέ σε συγχείτω τὸ παρὸν ὡς ἀνήκεστον· ταχεῖα γὰρ ἔσται τῆς λύπης ἡ μεταβολή. φίλον δέ με καὶ σύμμαχον εὑρήσεις κρείττω τῆς ἐλπίδος· ἢ γὰρ εἰς τὴν Πάρθων σε καταστήσω βασιλείαν πάλιν ἢ τῆς ἐμῆς ἐκσήσομαι."

60 2. Ταῦτα εἰπὼν ἀνεβίβαζεν τὸν Ἀρταβάνην ἐπὶ τὸν ἵππον, παρείπετο δ' αὐτὸς πεζὸς τιμὴν ἀπονέμων ταντηνὶ ὡς ἂν μείζονι βασιλεῖ. θεασάμενος δ' Ἀρταβάνης βαρέως ἤνεγκεν καὶ τὴν ἐφεστῶσαν αὐτῷ τύχην καὶ τιμὴν ἐπωμόσατο καταβήσεσθαι μὴ 'κείνου
61 πάλιν ἀναβάντος καὶ προηγουμένου. ὁ δὲ πεισθεὶς ἐπὶ τὸν ἵππον ἤλατο καὶ ἀγαγὼν αὐτὸν εἰς τὴν βασιλείαν πᾶσαν τιμὴν ἀπένειμεν ἔν τε συνεδρίαις καὶ ταῖς περὶ τὰς ἑστιάσεις προκαταλίσεσιν, οὐκ εἰς τὸ παρὸν αὐτοῦ τῆς τύχης ἀποβλέπων, ἀλλ' εἰς τὸ πρότερον ἀξίωμα, καί τι καὶ λογισμῷ διδούς, ὡς κοιναὶ τοῖς ἀνθρώποις αἱ
62 μεταβολαὶ τῆς τύχης. γράφει τε πρὸς τοὺς Πάρθους πείθων αὐτοὺς τὸν Ἀρταβάνην ὑποδέξασθαι, πίστιν προτείνων τῆς τῶν πεπραγμένων ἀμνηστίας δεξιὰν καὶ ὅρκους καὶ μεσιτείαν τὴν αὐτοῦ.
63 τῶν δὲ Πάρθων δέξασθαι μὲν αὐτὸν θέλειν οὐκ ἀρνουμένων, μὴ δύνασθαι δὲ λεγόντων διὰ τὸ τὴν ἀρχὴν ἑτέρῳ πεπιστευκέναι. Κίνναμος δ' ἦν ὄνομα τῷ παρειληφότι, καὶ δεδοικέναι, μὴ στάσις

AMWELat Zonaras I p. 509.

1 *πρόνοιαν*] *πρόνοιαν ἴζησαι* A *ἐμοῦ*] *ἡμῶν* A 2 *καὶ* om. MW **ταῦτα* MW 4 *litt. *αὐτῷ* — 5 *ἵππον ὀξέως καί* i. ras. ca. 54 litt. m. 2 A *παρεστῶτα*] *παρεστῶτα καὶ ποτνιώμενον* A *adstantem* Lat *artabanem* etiam Lat 5 **ἵππου*] *ἵππον ὀξέως* A *mox equo* Lat *μηδὲ* — 6 *ἀνήκεστον*] *nec te praesentia fata confundant* Lat 6 *ταχεῖα* — 7 *μεταβολή* i. ras. ca. 34 litt. m. 2 A *λύπης*] *παρούσης λύπης* A 7 *δέ με*] *δὲ* MW *namque me* Lat, om. E 9 **ἐκστήσομαι*] *στήσομαι* MW *constituam* Lat 10 i. marg. *γρ ἀρτάβανον* A *ἐπὶ τὸν ἵππον τὸν* (*τὸν* om. ME) *ἀρταβάνην* tr. MWE 11 *δὲ* MW *δὲ καὶ* E *ταντηνὶ ὡς*] *ταύτην μεγίστην ὡσ* i. ras. 8—9 litt. m. 2 A *ταύτην ὡσ* E *ἂν* om. E 12 *θεασάμενος* om. E *δ'*] *δὲ ὁ* MW *ὁ δὲ* E 13 *καὶ τιμὴν* om. E *ἐπωμόσατο*] *ἐπωμόσατο ἡμὴν* E *ἐκείνου* MWE 15 *ἤλατο* E *τὴν βασιλείαν*] *τὰ βασίλεια* E *regalia sua* Lat 16 **ταῖς*] *τὰσ* W 18 *καί τι — διδούς*] *cumque ratione frequenter consolatus est* Lat *καὶ* (post *τι*) om. MW **κοιναὶ*] *κοινοὶ* E 20 *πίστιν — 21 αὐτοῦ*] *promittens cum pristinorum in se non habere memoriam simul et iuramenta praebens* Lat 21 *αὐτοῦ* ex corr. A 22 *πάρθων δ'* tr. E 24 *Κίνναμος — 287, 1 καταλάβῃ* om. E *κιννάμωμος* MW *cinnamum* Lat *δ'* MW

αὐτοὺς ἐκ τούτου καταλάβῃ, μαθὼν τὴν προαίρεσιν αὐτῶν ὁ Κίννα- 64
μος ταύτην αὐτὸς γράφει τῷ Ἀρταβάνῃ, τέθραπτο γὰρ ὑπ' αὐτοῦ
καὶ φύσει δ' ἦν καλὸς καὶ ἀγαθός, παρακαλῶν αὐτῷ πιστεύσαντα
παραγενέσθαι τὴν ἀρχὴν ἀπολιψόμενον τὴν αὐτοῦ. καὶ ὁ Ἀρτα- 65
βάνης πιστεύσας παρῆν. ὑπαντᾷ δ' αὐτῷ ὁ Κίνναμος καὶ προσ-
κυνήσας βασιλέα τε προσαγορεύσας περιτίθησιν αὐτοῦ τῇ κεφαλῇ
τὸ διάδημα ἀφελὼν τῆς ἑαυτοῦ.

3. Καὶ Ἀρταβάνης οὕτω διὰ Ἰζάτου πάλιν εἰς τὴν ἀρχὴν 66
καθίσταται πρότερον αὐτῆς ἐκπεσών διὰ τοὺς μεγιστᾶνας. οὐκ
ἐγένετο μὴν ἀμνήμων τῶν εἰς αὐτὸν εὐεργεσιῶν, ἀλλ' ἀντιδωρεῖται
τὸν Ἰζατην ταῖς μεγίσταις τιμαῖς παρ' αὐτοῖς· τήν τε γὰρ τιάραν 67
ὀρθὴν ἐπιτρέπει αὐτῷ φορεῖν καὶ ἐπὶ κλίνης χρυσῆς καθεύδειν,
ἅπερ μόνοι ἐστὶ γέρα καὶ σημεῖα τῶν Πάρθων βασιλέων. ἔδωκεν 68
δὲ καὶ χώραν πολλὴν αὐτῷ κἀγαθὴν τοῦ τῶν Ἀρμενίων βασιλέως
ἀποτεμόμενος, Νίσιβις δέ ἐστιν ὄνομα τῇ γῇ, καὶ ἐν αὐτῇ πρό-
τερον Μακεδόνες ἐκτίσαντο πόλιν Ἀντιόχειαν, ἣν Ἐπιμυγδονίαν
προσηγόρευσαν. ταύτας μὲν δὴ ταῖς τιμαῖς ὁ Ἰζάτης ὑπὸ τοῦ
τῶν Πάρθων βασιλέως ἐτιμήθη.

4. Μετ' οὐ πολὺν δὲ χρόνον Ἀρταβάνης τελευτᾷ τὴν βασι- 69
λείαν τῷ παιδὶ Οὐαρδάνῃ καταλιπών. οὗτος δὴ πρὸς τὸν Ἰζάτην
ἀφικόμενος ἔτειθεν αὐτὸν μέλλων πρὸς Ῥωμαίους πόλεμον ἐκφέ-
ρειν συστρατεύεσθαι καὶ συμμαχίαν ἑτοιμάζειν. οὐ μὴν ἔπειθεν· 70
ὁ γὰρ Ἰζάτης τὴν Ῥωμαίων δύναμίν τε καὶ τύχην ἐπιστάμενος

AMWELat Zonaras I p. 510.

1 αὐτῶν] ELat et i. marg. A αὐτοῦ codd. *κιννάμωμος* MWE 2 *ταύτην*] τοῦτο γὰρ ὄνομα τῷ τὴν βασιλείαν παρειληφότι E 3 *φύσει — καλὸς καὶ*] ἦν γὰρ E δὲ MW αὐτῷ] αὐτὸν E **πιστεύσαντα — 4 ἀρχὴν ἀπο* om. W 4 **αὐτοῦ* ex corr. A 5 *ὑπήντα* MWE *γρ ὑπαντιάζει* i. marg. A δὲ MWE **αὐτὸν* MW *κιννάμωμος* MWE *καὶ* om. E 8 *διὰ Ἰζάτου*] *δι' ἐξαετοῦς* (ἐξ ex ἑς corr. M) MWE *per iazatem* Lat *πάλιν*] *πάλιν χρόνου* MW *χρόνου πάλιν* E 9 *πρότερον — μεγιστᾶνας* om. E 10 *ἀλλὰ* MWE *ἀντιδωρεῖται*] *δωρεῖται* MWE *redonauit* Lat 11 **παρ' αὐτοῖς* om. Lat **αὐτοῖς* ex *αὐτοῦ* corr. A 12 *χρυσῆς κλίνης* tr. MWE 13 **ἅπερ — βασιλέων*] *quod solis parthorum regibus licet* Lat *μόνον* M *γέρασ* MWE **σημεῖον* ed. pr. 14 *αὐτῷ πολλὴν* tr. E *καὶ ἀγαθὴν* E *τοῦ τῶν*] *τῆσ τῶν* E *τῆσ τοῦ* Dindorf *βασιλέως*] *βασιλείασ* E 15 **τῇ γῇ — αὐτῇ τῇ γῇ ἐκείνῃ καὶ ἐν αὐτῇ* i. ras. 14—15 litt. m. 2 A 16 *ἔκτισαν* E **ἣν*] *τὴν* MW *quam* Lat *Ἐπιμυγδονίαν*] *ἐπὶ μυγδονίαν* W *μυγδονίαν* E *inmygdoniam* Lat 20 **Οὐαρδάνῃ*] *partadani* Lat *τὸν* om. MWE 21 *ἔπειθεν*] *ἠξίου* E *ἔπεισεν* coni. 22 *συμμαχίαν ἑτοιμάζειν*] *συμμαχεῖν* E

71 ἀδυνάτοις αὐτὸν ἐνόμιζεν ἐπιχειρεῖν. ἔτι τε τοὺς μηδ' ὅπωστιοῦν μέτρα μὲν τὸν ἀριθμὸν υἱοὺς τὴν ἡλικίαν νέους γλῶτταν τὴν παρ' ἡμῖν πάτριον καὶ παιδείαν ἀκριβῶς μεμαθηκότας. τὴν δὲ μητέρα προσκυνήσουσαν τὸ ἱερόν, ὡς προεῖπον, ὀκνηρότερος ἦν καὶ τὸν Οὐαρδάνην ἐκώλυεν συνεχῶς διηγούμενος τὰς Ῥωμαίων δυνάμεις τε καὶ 5
72 πράξεις, διὰ τούτων οἰόμενος αὐτὸν φοβήσειν καὶ παύσειν ἐπιθυμοῦντα τῆς ἐπ' αὐτοὺς στρατείας. παροξυνθεὶς δ' ἐπὶ τούτοις ὁ Πάρθος πόλεμον εὐθὺς πρὸς Ἰζάτην κατήγγειλεν. οὐ μὴν ἔλαβεν οὐδὲ τῆς ἐπὶ τούτῳ στρατείας ὑπῆσιν τοῦ Θεοῦ τὰς ἐλπίδας αὐτοῦ
73 πάσας ὑποτεμόντος· μαθόντες γὰρ οἱ Πάρθοι τὴν διάνοιαν τοῦ 1
Οὐαρδάνου καὶ ὡς ἐπὶ Ῥωμαίους στρατεύειν ἔκρινεν, αὐτὸν μὲν
74 ἀναιροῦσιν, τὴν ἀρχὴν δὲ τῷ ἀδελφῷ Κοτάρδῃ παρέδοσαν. καὶ τοῦτον δὲ μετ' οὐ πολὺν χρόνον ἐξ ἐπιβουλῆς τελευτήσαντα διαδέχεται Οὐολογέσης ὁ ἀδελφός, ὃς δὴ καὶ τοῖς ὁμοπατρίοις δυσὶν ἀδελφοῖς ἀνταστείας ἐπίστευσεν. Πακόρῳ μὲν τῷ καὶ πρεσβυτέρῳ
τὴν Μῆδων, Τιριδάτῃ δὲ τῷ νεωτέρῳ τὴν Ἀρμενίαν.
75 IV. 1. Ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς Μονόβαζος καὶ οἱ συγγενεῖς θεωροῦντες τὸν Ἰζάτην διὰ τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν ζηλωτὸν παρὰ πᾶσιν ἀνθρώποις γεγενημένον ἔσχον ἐπιθυμίαν καὶ
76 αὐτοὶ τὰ πάτρια καταλιπόντες ἔθεσι χρῆσθαι τοῖς Ἰουδαίων. γίνεται δ' ἡ πρᾶξις αὐτῶν κατάφωρος τοῖς ὑπηκόοις, κἀπὶ τούτῳ καλεπήναντες οἱ μεγιστᾶνες οὐκ ἐφανέρουν μὲν τὴν ὀργήν, κατὰ νοῦν δὲ ἔχοντες καιρὸν ἐπιτήδειον ἐζήτουν δίκην εἰσπράξασθαι

AMWELat Zonaras I p. 510.

1 *ἀδυνάτους] *impossibilia bella* Lat τε] coni. *γε* A δὲ MWE 2 τὴν] τὴν δὲ Hudson 3 *ἀκριβῶς] *sub integritate* Lat δὲ] Bekker τε codd. E προσκυνοῦσαν MWE 4 *θαρδάνην hic et infra Lat 5 δυνάμεις] εὐτυχεῖσ | δυνάμεισ (εὐτυχεῖσ suppl.) A 7 δ'] δὲ MW οὖν E 8 εὐθὺς om. E 9 οὐδὲ om. E 10 τοῦ om. MWE 11 στρατεύσειν E 12 *ἀδελφῷ sic A Κοτάρδῃ] Spanheim ϊκοτάρδη (ϊ i. ras., *o* ex *ω* corr. A) AE *κατάρδῃ* MW *cotardi* Lat Ροτάρδῃ Hudson *παρέδωσαν W 14 Οὐολογέσης] ed. pr. οὐλαγέσησ A οὐλαγαίσησ M οὐολιγαίσησ W οὐλελέσησ E *uologesis* Lat Οὐλογάσης Hudson, cf. paullo infra ὁμοπατρίοις om. E δυσὶν] δυοὶν αὐτοῦ E 15 δυναστείας] δυναστείαν *μεγάλαν* E *πρε|βυτέρωι A 16 Τιριδάτῃ] A[1]Lat *τηριδάτῃ* MWE et ex corr. A *ϡ M *τῷ καὶ MW 17 Ἰουδαίων] Ἰώσηπος E 18 Ἰζάτην] βασιλέα E *διὰ τὴν] τῇ M, om. W *propter* Lat τὸν om. E εὐσέβειαν] εὐσεβεία MW εὐσέβειαν καὶ τὴν ἐνοῦσαν αὐτῷ τῶν ἠθῶν χρηστότητα E 19 ἀνθρώποις om. E *γενόμενον M 20 καὶ τὴν ἔφεσιν εἰσ πάτρια ἐξήνεγκαν post Ἰουδαίων add. E γίνεται — 21 ὑπηκόοις] *horum nisus subiectis fuit valde grauissimus* Lat 21 *δ' ἡ] δὲ W τοῖς ὑπηκόοισ κατάφωρον tr. E ἐπὶ τούτῳ om. E 22 καὶ ὀργίλωσ διατεθέντεσ post μεγιστᾶνεσ suppl. E *οὐκ ἐφανέρουν] οὐ φέρουσι MW *retinebant* Lat 23 δ' E *ἐζήτουν] ἐξήτουν M *expectantes* Lat

σπεύδοντες παρ' αὐτῶν. καὶ δὴ γράφουσιν πρὸς Ἀβίαν τὸν Ἀράβων βασιλέα χρήματα πολλὰ δώσειν ὑπισχνούμενοι στρατεύσασθαι θελήσαντι κατὰ τοῦ παρ' αὐτοῖς βασιλέως, ἐπηγγέλλοντο δὲ καὶ περὶ τὴν πρώτην συμβολὴν ἐγκαταλείψειν τὸν βασιλέα· θέλειν γὰρ αὐτὸν τιμωρήσασθαι μισήσαντα τὰ παρ' αὐτοῖς ἔθη· καὶ ὅρκοις τὴν πρὸς ἀλλήλους ἐνδησάμενοι πίστιν σπεύδειν παρεκάλουν. πείθεται δὲ ὁ Ἄραψ, καὶ πολλὴν ἐπαγόμενος δύναμιν ἦκεν ἐπὶ τὸν Ἰζάτην. μελλούσης δὲ τῆς πρώτης συμβολῆς πρὶν εἰς χεῖρας ἐλθεῖν καταλείπουσιν τὸν Ἰζάτην ἐκ συνθήματος πάντες ὡς πανικῷ δείματι κατασχεθέντες, καὶ τὰ νῶτα τοῖς πολεμίοις ἐντρέψαντες ἔφευγον. οὐ μὴν ὁ Ἰζάτης κατεπλάγη, νοήσας δὲ προδοσίαν ὑπὸ τῶν μεγιστάνων γεγενῆσθαι καὶ αὐτὸς εἰς τὸ στρατόπεδον ὑπεχώρησεν, καὶ τὴν αἰτίαν ζητήσας ὡς ἔμαθεν συντεταγμένους πρὸς τὸν Ἄραβα, τοὺς μὲν αἰτίους ἀναιρεῖ, τῇ δ' ἐπιούσῃ συμβαλὼν πλείστους μὲν ἀπέκτεινε, πάντας δὲ φυγεῖν ἠνάγκασεν, αὐτὸν δὲ τὸν βασιλέα διώκων εἴς τι φρούριον συνήλασεν Ἄρσαμον καλούμενον, καὶ περισχεσάμενος κυκλῳ τὸ φρούριον διαρπάσας τε τὴν ἐν αὐτῷ λείαν πᾶσαν, πολλὴ δὲ ἦν, ὑπέστρεψεν εἰς τὴν Ἀδιαβηνὴν τὸν Ἀβίαν οὐ καταλαβὼν ζῶντα· περικαταλαμβανόμενος γὰρ ἑαυτὸν ἀνεῖλεν. 77 78 79 80

2. Ἀποτυχόντες δὲ οἱ τῶν Ἀδιαβηνῶν μεγιστᾶνες τῆς πρώτης ἐπιχειρήσεως παραδόντος αὐτοὺς τοῦ Θεοῦ τῷ βασιλεῖ οὐδ' ὡς ἡρέμησαν, ἀλλὰ γράφουσιν πάλιν Ὀλογέσῃ, βασιλεὺς δὲ Πάρθων οὗτος ἦν, παρακαλοῦντες ἀποκτεῖναι μὲν τὸν Ἰζάτην, κατα- 81

AMWELat Zonaras I p. 511.

1 σπεύδοντες om. E 2 τὸν] τῶν E *στρατεύεσθαι MW 3 ἐπηγγέλοντο E[1] 4 καταλείψειν E τὸν βασιλέα] αὐτὸν E 5 μισήσαντα τὰ παρ' αὐτοῖς ἔθη] καταλείψαντα τὰ πάτρια αὐτῶν E *propter odium quod eorum cultum reliquerat Lat 6 σπεύδειν] σπεύδειν τομῶς E 7 δὲ om. E 8 μελλούσης δὲ τῆς πρώτης συμβολῆς] μηδὲν μελλήσας πρώτη δὲ τοῦ πολέμου προσβολῇ E *tunc in ipsa prima congressione* Lat 9 ὡς — 10 κατασχεθέντες] om. E *uelut uno uincti funiculo* Lat 11 *κατεπλάγη νοήσας] κατεπλάγη τὸ δράμα νοήσας i. ras. m. 2 A 12 *καὶ — 13 ὑπεχώρησεν] *et ipse cum exercitu discessit* Lat 13 συντεταγμένα E 14 δὲ MW 16 *διώκειν W τι] τὸ E 17 καὶ — εἶλε] ἑλὼν τε E προσμαχησάμενος MW διαρπάσας] καὶ διαρπάσας E 18 τε] δὲ MW τε — πολλὴ] τὰ ἐν αὐτῷ πολλὰ E 19 *ἀδιαβηνῆς W τὸν — ζῶντα] ἀβίας E *προκαταλαμβανόμενος Ernesti 20 γὰρ om. E *ἀνεῖλεν] ἀνεῖλεν πρὶν εἰσ χεῖρας συγκλεισθῆι τοῦ ἰζάτου A litt. πρὶν εἰσ — 23 πάλιν οὐο i. ras. m. 2 A 22 παραδιδόντοσ MW αὐτοὺσ, αὐ eras. M τῷ βασιλεῖ τοῦ Θεοῦ tr. M 23 ὣς] E ὡσ codd. ἠρέμησαν *οὐολογαίσῃ M οὐολιγαίσῃ W *uologessi* (*uologosso* cod. Ambr.) Lat

στῆσαι δ' αὐτοῖς ἕτερον δυνάστην καὶ τῷ γένει Πάρθον· μισεῖν γὰρ
ἔλεγον τὸν ἑαυτῶν βασιλέα καταλύσαντα μὲν τὰ πάτρια, ξένων δ'
82 ἐραστὴν ἐθῶν γενόμενον. ταῦτα ἀκούσας ὁ Πάρθος ἐπήρθη πρὸς
τὸν πόλεμον. καὶ προφάσεως δικαίας μυδεμίαν ἀφορμὴν ἔχων τὰς
ὑπὸ τοῦ πατρὸς αὐτῷ δοθείσας τιμὰς ἔτεμψεν ἀπαιτῶν, ἀπειθή-
83 σαντι δὲ πόλεμον κατήγγελλεν. παράσσεται δὲ τὴν ψυχὴν οὐχὶ με-
τρίως ὁ Ἰζάτης, ὡς ἤκουσεν ταῦτα, κατάγνωσιν μὲν φέρειν αὐτῷ
νομίσας τὸ τῶν δωρεῶν ἐξίστασθαι δοκεῖν διὰ φόβον τοῦτο πρά-
84 ξας. εἰδὼς δέ, ὅτι καὶ ἀπολαβὼν ὁ Πάρθος τὰς τιμὰς οὐκ ἂν
ἡρεμήσειεν, ἐκρινεν ἐπιτρέψαι τῷ κηδεμόνι θεῷ τὸν ὑπὲρ τῆς ψυ-
85 χῆς κίνδυνον, καὶ τοῦτον μέγιστον ἡγησάμενος ἔχειν σύμμαχον κατα-
τίθεται μὲν τὰ τέκνα καὶ τὰς γυναῖκας εἰς τὰ τῶν φρουρίων ἀσφαλέ-
στατα, τὸν σῖτον δὲ πάντα μὲν τὸν εἰς τὰς βάρεις * ἐμπίπρησιν
τόν τε χόρτον καὶ τὰς νομάς, ταῦτά τε προευτρεπισάμενος ἐξεδέχετο
86 τοὺς πολεμίους. παραγενομένου δὲ τοῦ Πάρθου μετὰ πολλῆς δυνά-
μεως πεζῶν τε καὶ ἱππέων θᾶττον ἐλπίδος, ὥδευσε γὰρ συντόνως,
βαλλομένου τε χάρακα πρὸς τῷ ποταμῷ τῷ τὴν Ἀδιαβηνὴν καὶ
τὴν Μηδίαν ὁρίζοντι, τίθησι καὶ ὁ Ἰζάτης τὸ στρατόπεδον οὐκ
87 ἄπωθεν ἔχων περὶ αὐτὸν ἱππεῖς τὸν ἀριθμὸν ἑξακισχιλίους. ἀφι-
κνεῖται δὲ πρὸς τὸν Ἰζάτην ἄγγελος παρὰ τοῦ Πάρθου πεμφθείς,
ὃς τὴν Πάρθων δύναμιν ὅση τίς ἐστιν ἤγγελλεν ἀπὸ Εὐφράτου
ποταμοῦ μέχρι Βάκτρων τοὺς ὅρους αὐτῆς τιθέμενος καὶ τοὺς

AMWELat Zonaras I p. 511.

1 δὲ MWE *δυνάτην W καὶ] κἀν MW, om. E 2 ἔλεγον om. E καταλύσαντα — πάτρια om. E τὰ πάτρια ξένων] τὰ πάτρια αὐτοῖς ξένων i. ras. m. 2 A *ξένον M δ'] δὲ MW, om. E 4 προφάσεως — ἔχων] πρόφασιν δικαίαν μὴ ἔχων E δικαίαν W ἔχων ἀφορμὴν tr. MW *ἔπεμπεν W *ἔπεμψεν ἀπαιτῶν] repetiit Lat 6 κατήγγελλεν πόλεμον tr. E *οὐχί] οὔτι coni. 7 ὡς ἤκουσε ταῦτα om. E *κατάγνωσιν — 8 πράξας] et iudicans turpitudinem sibi fore si propter metum collatis honoribus cedere uideretur Lat 8 δοκεῖν] om. ME δοκοῦντι Ernesti τοῦτο πράξας om. E πρᾶξαι Ernesti 9 *litt. ὲ ὅτι καὶ i. ras. ut uid. m. 2 A 10 ἡρεμήσειε A¹ ἡρεμήσῃ E ἔκρινεν] ἔκρινεν οὖν E κηδεμόνι om. E 12 εἰς τὰ — 14 νομάς] in munitissimis locis cunctaque frumenta et foenum et pabula congregauit Lat εἴσ τι τῶν φρουρίων ἀσφαλέστατον MW 13 τὸν om. MW μὲν τὸν] μὲν τῶν MW ἐμπίπρησιν] καὶ ἐμπίπρησιν ed. pr. 14 τε, τ i. ras. A 15 *παραγενομένου δὲ τοῦ Πάρθου] παραγενομένου τοῦ παρθυαίων βασιλέως, litt. γενομένου — βασιλέως i. ras. m. 2 A nuntio uero parthorum rege Lat 18 τὸ om. A 19 ἄποθεν M et ex corr. A *ἔχων — ἑξακισχιλίους om. W περὶ αὐτὸν om. E αὐτὸν ex corr. A τὸν om. M τον ἀριθμὸν om. E 21 Πάρθου] πάρθου MWE *ὅση τίς ἐστιν] ὅστις ἦν M ἤγγελεν E

ἐπηκόους αὐτῆς βασιλέας καταλέγων. ἡμεῖλει δὲ δώσειν αὐτὸν 88
δίκας ἀμάριστον περὶ δευτέρας τοὺς ἑαυτοῦ γενόμενον, καὶ φίεσθαι
τῶν βασιλέως αὐτὸν χειρῶν οὐδὲ τὸν Θεὸν ὃν σέβει δυνήσεσθαι.
ταῦτα τοῦ ἀγγέλου φράσαντος ὁ Ἰζάτης εἰδέναι μὲν τὴν Πάρθων 89
δύναμιν ἔφη πολὺ τῆς αὐτοῦ διαφέρουσαν, γινώσκειν δ' οὖν ἔτι
μᾶλλον πάντων ἀνθρώπων ἔλεγεν κρείσσω τὸν Θεόν. καὶ τοιαύτην
δοὺς τὴν ἀπόκρισιν ἐπὶ τὴν ἱκετείαν ἐτρέπετο τοῦ Θεοῦ, χαμαί τε
ῥίψας αὐτὸν καὶ σπουδῇ τὴν κεφαλὴν καταισχύνας μετὰ γυναικὸς καὶ
τέκνων ἐνήστευεν ἀνακαλῶν τὸν Θεὸν καὶ λέγων, „εἰ μὴ μάτην, ὦ δέ- 90
σποτα κύριε, τῆς σῆς ἐγενόμην χρηστότητος, τῶν πάντων δὲ δικαίως
μόνον καὶ πρώτων ἤγημαι κύριον, ἐλθὲ σύμμαχος οὐχ ὑπὲρ ἐμοῦ
μόνον ἀμυνούμενος τοὺς πολεμίους, ἀλλ' ὅτι καὶ τῆς σῆς δυνάμεως
κατατετολμήκασιν." ὁ μὲν ταῦτ' ἐποινιᾶτο δακρύων καὶ ὀδυρόμενος, 91
ἐπήκοος δὲ ὁ Θεὸς ἐγίνετο, καὶ κατ' ἐκείνην εὐθὺς τὴν νύκτα δεξάμενος
Οὐολογέσης ἐπιστολάς, ἐν αἷς ἐγέγραπτο Ἰαῶν καὶ Σακῶν χεῖρα
μεγάλην καταφρονήσασαν αὐτοῦ τῆς ἀποδημίας ἐπισιρατευσαμένην
διαρπάζειν τὴν Παρθυηνῶν, ἄτρακτος ἀνέζευξεν εἰς τοὐπίσω. καὶ
Ἰζάτης οὕτω κατὰ Θεοῦ πρόνοιαν τὰς ἀπειλὰς τοῦ Πάρθου διαφεύγει.

3. Μετ' οὐ πολὺν δὲ χρόνον πεντηκοστὸν μὲν καὶ πέμπτον 92
ἀπὸ γενεᾶς πληρώσας ἔτος τέταρτον δὲ πρὸς εἰκοστῷ δυναστεύσας,
καταλιπὼν παῖδας ἄρρενας εἰκοσιτέσσαρας καὶ θυγατέρας εἰκοσι-

AMWELat Zonaras I p. 511.

2 τοὺς ἑαυτοῦ om. E 3 *τῶν] τοῦ M 5 αὐτοῦ] αὐτῶν M *γινώσκειν MW δὲ E 6 ἀνθρώπων πάντων tr. MW καὶ — 7 ἱκετείαν] ἐφ' ἱκετείαν οὖν E 7 *ἐτράπετο M 8 αὐτὸν A^1MW ἑαυτὸν E *καταισχύνας] implens Lat γυναικὸς] γυναικῶν ELat 9 μάτην] πάτην M 10 τῶν] γρ τὸν τῶν πάντων δὲ δικαίως μόνον δεσπότην καὶ πρῶτον ἤγημαι προνοητὴν καὶ κύριον i. marg. A *et iuste omnium te solum et primum dominum esse cognoui* Lat 12 ἀμυνόμενος MW *ulturus* Lat ἀλλ' ὅτι — 13 κατατετολμήκασιν] *sed quia etiam contra tuam uirtutem cum nefanda praesumptione locuti sunt* Lat καὶ μεγαλορρήμονα γλῶσσαν ἐπαφιέναι οὐ πεφρίκασιν post κατατετολμήκασιν add. ed. pr. 13 ταῦτα MW 14 *ὑπήκοος M δ' E εὐθὺς] E εὐθὺ codd. ἐν ᾗ ταῦτα ἐκεῖνος ἐδεῖτο post νύκτα i. marg. add. A 15 *οὐολιγαίσης MW *bologesis* (*bologosis* cod. Ambr.) Lat Ἰαῶν] Hudson δακῶν AME δοκῶν W *dacus* (h. e. δακὸν) Lat Σακῶν] A^1MWE *ἰσακῶν* ex corr. A *isacus* (h. e. Ἰσακον)Lat 16 τῇ ἀποδημίᾳ Cocceji 17 Παρθυηνῶν] E παρθυηνὴν AW παρθυὴν M *parthorum prouinciam* Lat καὶ] καὶ ὁ MWE 20 *εἰκοστὸν MW 21 καταλιπὼν παῖδας] θυήσει καταλιπὼν παῖδας, litt. θυήσει — παῖ i. ras. m. 2 A καταλιπὼν — 292, 1 βίον] *relinquens filios masculos uiginti quattuor et filias uiginti quattuor* (*et filias uiginti quattuor* om. Ambr.) *uita priuatus est* Lat εἴκοσι καὶ τέσσαρας E καὶ θυγατέρας εἴκοσι τέσσαρας] om. MW καὶ θυγατέρας τοσαύτας E

93 τέσσαρας καταστρέφει τὸν βίον. τὴν μέντοι διαδοχὴν τῆς ἀρχῆς
τὸν ἀδελφὸν Μονόβαζον ἐκέλευεν παραλαβεῖν, ἀμειβόμενος αὐτὸν
ὅτι κατὰ τὴν ἀποδημίαν αὐτοῦ μετὰ τὸν τοῦ πατρὸς θάνατον
94 πιστῶς φυλάξειεν αὐτῷ τὴν δυναστείαν. ἡ δὲ μήτηρ Ἑλένη τὸν
τοῦ παιδὸς θάνατον ἀκούσασα βαρέως μὲν ἤνεγκεν ὡς εἰκὸς μητέρα
στερομένη εὐσεβεστάτου παιδός, παραμυθίαν δ' ὅμως εἶχεν τὴν
διαδοχὴν ἀκούσασα εἰς τὸν πρεσβύτερον αὐτῆς υἱὸν ἥκουσαν, καὶ
πρὸς αὐτὸν ἔσπευδεν. παραγενομένη δὲ εἰς τὴν Ἀδιαβηνὴν οὐ
95 πολὺν ἴζάτῃ τῷ παιδὶ χρόνον ἐπεβίωσεν. ὁ δὲ Μονόβαζος τά τε
ἐκείνης ὀστᾶ καὶ τὰ τοῦ ἀδελφοῦ πέμψας εἰς Ἱεροσόλυμα θάψαι
προσέταξεν ἐν ταῖς πυραμίσιν, ἃς ἡ μήτηρ κατεσκεύακει τρεῖς τὸν
96 ἀριθμὸν τρία σταδία τῆς Ἱεροσολυμιτῶν πόλεως ἀπεχούσας. ἀλλὰ
Μονόβαζος μὲν ὁ βασιλεὺς ὅσα κατὰ τὸν τῆς ζωῆς χρόνον ἔπραξεν,
ὕστερον ἀπαγγελοῦμεν.

97 V. 1. Φάδου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος γόης τις ἀνὴρ
θευδᾶς ὀνόματι πείθει τὸν πλεῖστον ὄχλον ἀναλαβόντα τὰς κτήσεις
ἕπεσθαι πρὸς τὸν Ἰορδάνην ποταμόν· προφήτης γὰρ ἔλεγεν
εἶναι, καὶ προστάγματι τὸν ποταμὸν σχίσας δίοδον ἔχειν ἔφη παρέ-
98 ξειν αὐτοῖς ῥᾳδίαν. καὶ ταῦτα λέγων πολλοὺς ἠπάτησεν. οὐ μὴν
ἔμελεν αὐτοὺς τῆς ἀφροσύνης ὄνασθαι Φάδου, ἀλλ' ἐξελαύνει ἵππη
ἱππέων ἐπ' αὐτούς, ἥτις ἀπροσδόκητος ἐπιπεσοῦσα πολλοὺς μὲν
ἀνεῖλεν, πολλοὺς δὲ ζῶντας ἔλαβεν, αὐτὸν δὲ τὸν Θευδᾶν ζωγρή-
σαντες ἀποτέμνουσι τὴν κεφαλὴν καὶ κομίζουσιν εἰς Ἱεροσόλυμα.
99 τὰ μὲν οὖν συμβάντα τοῖς Ἰουδαίοις κατὰ τοὺς Κουσπίου Φάδου
τῆς ἐπιτροπῆς χρόνους ταῦτ' ἐγένετο.

§ 97 = bell. Iud. II 220.

AMWELatZonaras I p. 512 Eusebius hist. eccl. II 11.

1 *κατεστρέφει τὸν βίον*] E et ut uid. Lat, om. codd. 3 **πατρος*] *πατρὸς αὐτοῦ* MW 4 *δυναστείαν*] *βασιλείαν* E *regnum* Lat 6 δὲ MW 8 litt. *γενομένη δὲ εἰσ* — 11 *μήτηρ* i. ras. m. 2 A 9 *Ἴζάτῃ* — *χρόνον*] *χρόνον αὐτῷ* E *ἀλλὰ τῷ γήρα καὶ τῶι τῆσ λύπησ ἀλγήματι πιεζομένη ταχέωσ ἀπέψυξεν* post *ἐπεβίωσεν* add. A *μονόβαζοσ δὲ* tr. E 11 **τρεῖς*] in fine uersus suppl. m. 1, *τ* i. ras. A, om. Lat *τὸν ἀριθμὸν*] *οὔσασ* E 12 *τρία*] *τρία τὲ* E *τῆς*] *τῆσ τῶν* MW *τῶν* E *Ἱεροσολυμιτῶν πόλεως*] *ἱεροσολύμων* E 14 *ἀπαγγελοῦμεν* M 15 incip. Eusebius 16 **theodas* Lat *ὄνομα* E 18 *ἔχειν* om. MWE Eusebius et fort. Lat 19 **ἠπάτησεν, ἡ* ex corr. M 20 **αὐτοὺς*] *αὐτοῦ* ex corr. A *ἔπεμψεν* E *ἵλην, ἵ* i. ras. AE 21 **ἐπ'*] *εἰσ* M *ἥτις*] *ἣ* E *μὲν*] *μὲν αὐτῶν* E 22 δὲ (ante *τὸν*)] *τε* MWE **theodam* Lat 23 *κεφαλὴν*] *κεφαλὴν αὐτοῦ* E **Ἱεροσόλυμα* fin. Eus. 24 *κουσπίου* W 25 *ταῦτα* MW

2. Ἦλθε δὲ Φάδῳ διάδοχος Τιβέριος Ἀλέξανδρος Ἀλεξάν- 100
δρου παῖς τοῦ καὶ ἀλαβαρχήσαντος ἐν Ἀλεξανδρείᾳ γένει τε καὶ
πλούτῳ πρωτεύσαντος τῶν ἐκεῖ καθ' αὑτόν. διήνεγκε καὶ τῇ πρὸς
τὸν Θεὸν εὐσεβείᾳ τοῦ παιδὸς Ἀλεξάνδρου· τοῖς γὰρ πατρίοις οὐκ
ἐνέμεινεν οὗτος ἔθεσιν. ἐπὶ τούτου δὲ καὶ τὸν μέγαν λιμὸν κατὰ 101
τὴν Ἰουδαίαν συνέβη γενέσθαι, καθ' ὃν καὶ ἡ βασίλισσα Ἑλένη
πολλῶν χρημάτων ὠνησαμένη σῖτον ἀπὸ τῆς Αἰγύπτου διένειμεν
τοῖς ἀπορουμένοις, ὡς προεῖπον. πρὸς τούτοις δὲ καὶ οἱ παῖδες 102
Ἰούδα τοῦ Γαλιλαίου ἀνήχθησαν τοῦ τὸν λαὸν ἀπὸ Ῥωμαίων ἀπο-
στήσαντος Κυρινίου τῆς Ἰουδαίας τιμητεύοντος, ὡς ἐν τοῖς πρὸ
τούτων δεδηλώκαμεν, Ἰάκωβος καὶ Σίμων, οὓς ἀνεσταύρωσαι προσ-
έταξεν Ἀλέξανδρος. ὁ δὲ τῆς Χαλκίδος βασιλεὺς Ἡρῴδης μετα- 103
στήσας τῆς ἀρχιερωσύνης Ἰώσηπον τὸν τοῦ Καμοιδὶ τὴν διαδοχὴν
τῆς τιμῆς Ἀνανίᾳ τῷ τοῦ Νεβεδαίου δίδωσιν. Τιβερίῳ δὲ Ἀλε-
ξάνδρῳ Κουμανὸς ἀφίκετο διάδοχος. καὶ τελευτᾷ τὸν βίον Ἡρῴδης 104
ὁ τοῦ μεγάλου βασιλέως Ἀγρίππα ἀδελφὸς ὀγδόῳ τῆς Κλαυδίου
Καίσαρος ἀρχῆς ἔτει, καταλιπὼν τρεῖς υἱοὺς Ἀριστόβουλον μὲν
ἐκ τῆς πρώτης αὐτῷ τεχθέντα γυναικός, ἐκ Βερενίκης δὲ τῆς
ἀδελφοῦ θυγατρὸς Βερενικιανὸν καὶ Ὑρκανόν. τὴν δ' ἀρχὴν αὖ-
τοῦ Καῖσαρ Κλαύδιος Ἀγρίππᾳ τῷ νεωτέρῳ δίδωσιν.

§ 100 = bell. Iud. II 220; § 104 = bell. Iud. II 221.

AMWELatZonaras I p. 512 Eusebius hist. eccl. II 11, 12. Photius bibl. p. 317a Bekker.

1 i. marg. *γ'* E *VII* Lat *τιβέριος ἀλέξανδρος διάδοχος* tr. MWE 2 *τοῦ καὶ* — 4 *Ἀλεξάνδρου*] *qui etiam in alexandria fuerat alabarchis id est princeps salis, genere diuitiisque alexandrinorum cunctos excellens, sed etiam filio alexandro diuina cultura melior* Lat *γένει τε* om. MWE 3 *καθ' αὑτόν* om. E *διήνεγκε*] *ὅσ διήνεγκε* E *καὶ* om. E 4 *τὸν* om. ME 5 **ἐνέμενεν* MW incip. Euseb. *ἐπὶ τούτου*] E *ἐπὶ τούτοις* codd. Eus *horum temporibus* Lat **δὲ*] *γὰρ* MW *ergo* Lat *δὴ* Hudson **κατὰ τὴν Ἰουδαίαν* om. Lat **συνέβη γενέσθαι κατὰ τὴν Ἰουδαίαν* tr. M 6 *ἰουδαίων* E *βασιλὶς* E 7 *διένεμε* E 8 **ἀπορουμένοις* fin. Eus 9 *ἀνήχθησαν*] *ἀνηρέθησαν* MWE et i. marg. A, om. Lat **τοῦ* om. MW **ἀποστήσαντες* MW 10 *Κυρινίου*] *κυρηνίου* codd. E *cyrineo* Lat **τιμητεύοντος*] *τιμητοῦ ὄντος* MW 11 *ἐδηλώσαμεν* MW **iacobum atque symeonem et filios iudae galilaei* Lat 12 **ὁ ἀλέξανδρος* MW i. marg. *VIII* Lat 13 *καμοιδί, οι* ex *ωι* corr., i. marg. *γρ ἐν ἄλλοις κεμεδί γρ δὲ ἐν ἄλλοις καμύδου* A *καμύδου* MW *κεμεδῆ* E *cami* Lat, cf. supra § 17 14 **τῆς τιμῆς*] *τὴν τιμῆς* M *Νεβεδαίου*] *νεδεβαίου* (*δεβαίου* i. ras. m. 1 A) AE *nibedei* Lat 15 *κούμανος* MWE § 104 breuiter excerpsit Photius 16 *ἀγρίππου* E 17 *ἔτει* om. E **καταλείπων* Ernesti 18 *ὑπὸ*] *ἀπὸ* E *βερνίκης* MWE *berenice* Lat 19 **Βερνικιανὸν*] *βερνικίανον* MW *bereniciauum* Lat **δὲ* MW 20 **κλαύδιος καῖσαρ* tr. MW

105 3. Στάσεως δ' ἐμπεσούσης τῇ τῶν Ἱεροσολυμιτῶν πόλει Κου-
μανοῦ τὰ κατὰ τὴν Ἰουδαίαν πράγματα διοικοῦντος ἐφθάρησαν
ὑπὸ ταύτης πολλοὶ τῶν Ἰουδαίων. καὶ πρότερον ἀρηγήσομαι τὴν
106 αἰτίαν, δι' ἣν ταῦτα συνέβη· τῆς πάσχα προσαγορευομένης ἑορτῆς
ἐνστάσης, καθ' ἣν ἔθος ἐστὶν ἡμῖν ἄζυμα προσφέρεσθαι, πολλοῦ
καὶ πανταχόθεν πλήθους συναχθέντος ἐπὶ τὴν ἑορτὴν ὀείσας ὁ
Κουμανός, μὴ νεώτερόν τι παρὰ τούτων προσπέσῃ, κελεύει τῶν
στρατιωτῶν μίαν τάξιν ἀναλαβοῦσαν τὰ ὅπλα ἐπὶ τῶν τοῦ ἱεροῦ
στοῶν ἑστάναι καταστελοῦντας τὸν νεωτερισμόν, εἰ ἄρα τις γένοιτο.
107 τοῦτο δὲ καὶ οἱ πρὸ αὐτοῦ τῆς Ἰουδαίας ἐπιτροπεύσαντες ἐν ταῖς
108 ἑορταῖς ἔπραττον. τετάρτῃ δὲ ἡμέρᾳ τῆς ἑορτῆς στρατιώτης τις
ἀνακαλύψας ἐπεδείκνυε τῷ πλήθει τὰ αἰδοῖα, καὶ πρὸς τοῦτο
θεασαμένων ὀργὴ καὶ θυμὸς ἦν οὐχ ἑαυτοὺς ὑβρίσθαι λεγόντων,
ἀλλὰ τὸν θεὸν ἠσεβῆσθαι· τινὲς δὲ τῶν θρασυτέρων τὸν Κουμα-
νὸν ἐβλασφήμουν ὑπ' αὐτοῦ τὸν στρατιώτην καθεῖσθαι λέγοντες.
109 Κουμανὸς δ' ἀκούσας καὶ αὐτὸς οὐ μετρίως ἐρεθίζεται πρὸς τὰς
βλασφημίας, παρήνει μέντοι παύσασθαι νεωτέρων ἐπιθυμοῦντας
110 πραγμάτων μηδὲ στάσεις ἐξάπτειν ἐν ἑορτῇ. μὴ πείθων δέ, μᾶλ-
λον γὰρ ἐπέκειντο βλασφημοῦντες, κελεύει τὸ στράτευμα πᾶν τὰς
πανοπλίας ἀναλαβὸν ἥκειν εἰς τὴν Ἀντωνίαν, φρούριον δ' ἦν τοῦτο,
111 καθάπερ καὶ πρότερον εἴπομεν, ἐπικείμενον τῷ ἱερῷ. παραγενο-
μένους δὲ τοὺς στρατιώτας θεασάμενον τὸ πλῆθος καὶ φοβηθὲν
φεύγειν ὥρμησεν, τῶν δ' ἐξόδων στενῶν οὐσῶν διώκεσθαι νομί-
ζοντες ὑπὸ τῶν πολεμίων καὶ συνωθούμενοι κατὰ τὴν φυγὴν πολ-

§ 105 = bell. Iud. II 223.

AMWELatZonaras I p. 513 Eusebius hist. eccl. II, 19.

1 i. marg. *VIIII* Lat *δὲ MW *κουμάνον* MWE 4 *προσαγορευο-
μένης*] *γὰρ καλουμένης* E 5 *πολλοῦ* — 6 *συναχθέντος*] *πολλῆς πάντοθεν
πληθύος συναχθείσης* E *πολλοῦ καὶ* om. Lat 6 *καὶ* om. M 7 *κούμα-
νος* MWE *μή* — *προσπέσῃ*] *ne quae per multitudinem turba aut resultatio
nasceretur* Lat *νεώτερόν*] *πρὸς νεωτερισμόν* E 8 *ἀναλαβοῦσα* A
10 *ἐπιτροπεύοντες* E 11 *δ'* E 13 *θεασαμένων*] *τῶν θεασαμένων* E
ὑβρισθαι E 14 *κούμανον* A¹MWE 15 *καθεῖσθαι*] E *καθίστασθαι* codd.
16 *κούμανος* MWE *δὲ* MWE *ἐρεθίζεται*] *ἠρέθιζε* MW 18 *ἐν ἑορτῇ*] *καὶ
τεταχὰς* E 19 *τὸ στράτευμα* — 20 *ἀναλαβὸν*] *omnes milites arma sumentes*
Lat *πᾶν τὰς πανοπλίας ἀναλαβὸν*] *πανοπλίαν ἀναλαβόντας* MW *πάντων
πανοπλίαν ἀναλαβόντας* E 20 *δ' ἦν*] *δὲ* MW *erat enim* Lat 21 *τῷ
ἱερῷ ἐπικείμενον* tr. E 23 **δ' ἐξόδων*] *διεξόδων* MW 24 *τὴν* om. E
**πολλοὺς* — 295, 1 *διέφθειρον*] *et multos adinvicem conterentes interemerunt* Lat

λοὺς ἀλλήλοις ἐν τοῖς στενοῖς θλιβόμενοι διέφθειρον. δύο γοῦν 112
μυριάδες ἐξηριθμήθησαν τῶν κατὰ τὴν στάσιν ἐκείνην ἀφαρέντων. πένθος δ' ἦν τὸ λοιπὸν ἀπὶ τῆς ἑορτῆς, καὶ πάντες ἐκλαθόμενοι τῶν εὐχῶν καὶ τῶν θυσιῶν ἐπὶ θρήνους καὶ κλαυθμοὺς ἐτράποντο. τοιαῦτα μὲν ἑνὸς ἀσέλγεια στρατιώτου παθήματα γενέσθαι παρεσκεύασεν.

4. Οὕτω δ' αὐτῶν τὸ πρῶτον πένθος ἐπέπαυτο καὶ κακὸν 113
ἄλλο προσέπιπτεν· τῶν γὰρ ἀφεστώτων ἐπὶ νεωτερισμῷ τινες κατὰ τὴν δημοσίαν ὁδὸν ὡς ἑκατὸν σταδίων ἄνωθεν τῆς πόλεως Στέφανον Καίσαρος δοῦλον ὁδοιποροῦντα λῃστεύσαντες ἅπασαν αὐτοῦ τὴν κτῆσιν διαρπάζουσιν. ἀκούσας δὲ τὸ πραχθὲν ὁ Κουμανὸς 114
εὐθὺς πέμπει στρατιώτας, κελεύσας αὐτοῖς τὰς πλησίον κώμας διαρπάσαι, τοὺς δ' ἐπιφανεστάτους αὐτῶν δῆσαντας ἐπ' αὐτὸν ἄγειν. τῆς δὲ πορθήσεως γενομένης τῶν στρατιωτῶν τις τοὺς Μωυσέως 115
νόμους ἔν τινι κώμῃ λαβὼν κειμήλιον προκομίσας εἰς τὴν πάντων ὄψιν διέσχισεν ἐπιβλασφημῶν καὶ πολλὰ κατακερτομῶν. Ἰουδαῖοι 116
δὲ ταῦτα ἀκούσαντες καὶ πολλοὶ συνδραμόντες καταβαίνουσιν εἰς Καισάρειαν. ἐκεῖ γὰρ ἐτύγχανεν ὁ Κουμανὸς ὤν. ἱκετεύοντες μὴ αὐτοὺς ἀλλὰ τὸν θεὸν ὑπὲρ οὗ νόμοι καθυβρίσθησαν ἐκδικῆσαι· ζῆ γὰρ οὐχ ὑπομένειν τῶν πατρίων αὐτοῖς οὕτως περιυβρισμένων.

§ 112 = bell. Iud. II 227.

AMWELatZonaras I p. 513.

1 *ἀλλήλοις*] *ἀλλήλων* MW *ὑπ' ἀλλήλων* E *ἐν τοῖσ στενοῖσ θλιβομένους* E **δύο — 2 μυριάδες*] *ὑπὲρ τοὺς μυρίους* bell. Iud. *τρεῖς μυριάδας* Eusebius *γοῦν*] *οὖν* AE 2 *ἠριθμήθησαν* E 3 **δὲ* MW 4 *καὶ κλαυθμοὺς* om. E 5 **τοιοῦτον* W **ἀσέλγεια*] *ἀσελγοῦσ* MW *luxuria* Lat *παθήματα*] *πάθημα* MW *πάθη* E 7 *δ'*] *δὲ* MW, om. E *πρῶτον πένθος*] *τοῦτο καὶ ὁ θροῦσ* E 8 *ἄλλο*] *ἄλλο τῶ προτέρω* E *προσέπιπτεν*] *προσεπιγίνεται* E et i. marg. A **τῶν γὰρ — τινὲς*] *quidam enim qui ex illa turba fugientes euaserant* Lat *ἐφεστώτων* WE 9 *ἅπωθεν*] *ἄποθεν* MW et ex corr. A *ἄποθεν ἀπέχουσαν* E 10 *Καίσαροσ*] *τινα τοῦ καίσαροσ* E 11 *κούμανοσ* MWE 12 *κώμασ*] *χώρασ* AE *uicos* Lat 13 **τοὺς δ' ἐπιφανεστάτους — 15 πάντων* i. ras. m. 2 A **δὲ* MW **δήσαντεσ* W *ἄγειν*] *ἀγαγεῖν* E *λόγον τῶν τετολμημένων εἰσπράξαντασ* post *ἄγειν* add. A 14 *πορθήσεωσ γενομένησ*] *πορθήσεωσ τῶν χωρίων ὑπὸ τῶν πεμφθέντων στρατιωτῶν γινομένησ* E *γενομένησ*] *γενομένησ τῶν κωμῶν* A *τῶν στρατιωτῶν τισ*] *ἀτάσθαλόσ τισ ἐξ αὐτῶν νεανίασ* E *μωϋσέοσ* E 15 *λαβὼν*] *λαβὼν σεβασμίωσ* E 16 *ὄψιν*] *ὄψιν ἀναιδῶσ* E *κατακερτομῶν*] *κατακερτομῶν καὶ ἀκρατῶσ καθυλακτῶν* E *Ἰουδαῖοι δὲ*] *οἱ δὲ ἰουδαῖοι* MWE 18 *ἔτυχεν* E *κούμανοσ* MWE **ὁ κούμανοσ ἐτύγχανεν* tr. M 20 *τῶν πατρίων αὐτοῖσ*] *τῶν πατρίων αὐτοῖσ νόμων* i. ras. m. 2, i. marg. *νόμων* suppl. A *τῶν πατρίων καὶ νομίμων αὐτοῖσ* E *τῶν πατρίων — περιυβρισμένων*] *dum leges patrias sic tractari uiderent* Lat **οὕτω* MW

117 καὶ Κουμανὸς δείσας, μὴ πάλιν νεωτερίσειεν τὸ πλῆθος, συμβουλευσάντων καὶ τῶν φίλων τὸν ἐνεβρίσαντα τοῖς νόμοις στρατιώτην
118 λελεκίσας ἔπαυσεν τὴν στάσιν ἐκ δευτέρου μέλλουσαν ἐξάπτεσθαι.
VI. 1. Γίνεται δὲ καὶ Σαμαρείταις πρὸς Ἰουδαίους ἔχθρα δι' αἰτίαν τοιαύτην· ἔθος ἦν τοῖς Γαλιλαίοις ἐν ταῖς ἑορταῖς εἰς τὴν ἱερὰν πόλιν παραγινομένοις ὁδεύειν διὰ τῆς Σαμαρέων χώρας. καὶ τότε κατ' ὁδὸν αὐτοῖς κώμης Γινα-
119 ῖς λεγομένης τῆς ἐν μεθορίῳ κειμένης Σαμαρείας τε καὶ τοῦ μεγάλου πεδίου τινὲς συνάψαντες μάχην πολλοὺς αὐτῶν ἀναιροῦσιν. πυθόμενοι δὲ τὰ πραχθέντα τῶν Γαλιλαίων οἱ πρῶτοι πρὸς Κουμανὸν ἀφίκοντο καὶ παρεκά-
120 λουν αὐτὸν μετιέναι τῶν ἀνῃρημένων τὸν φόνον. ὁ δὲ χρήμασι πεισθεὶς ὑπὸ τῶν Σαμαρέων ὠλιγώρησεν. ἀγανακτήσαντες δὲ ἐπὶ τούτῳ Γαλιλαῖοι τὸ πλῆθος τῶν Ἰουδαίων ἐτιθρον ἐφ' ὅπλα χωρήσαι καὶ τῆς ἐλευθερίας ἀντέχεσθαι· δουλείαν γὰρ καὶ καθ' αὑτὴν μὲν πικρὰν ἔλεγον εἶναι, τὴν ἐφ' ὕβρει δὲ παντάπασιν ἀφόρητον.
121 τῶν δ' ἐν τέλει καταπραΰνειν αὐτοὺς πειρωμένων καὶ πείσειν τὸν Κουμανὸν ἐπαγγελλομένων δίκας εἰσπράξασθαι παρὰ τῶν ἀνῃρηκότων, ἐκείνοις μὲν οὐ προσέσχον, ἀναλαβόντες δὲ τὰ ὅπλα καὶ βοηθοῦντι Ἐλεάζαρον τὸν τοῦ Δειναίου παρακαλέσαντες, λῃστὴς δ' οὗτος ἦν ἔτη πολλὰ τὴν διατριβὴν ἐν ὄρει πεποιημένος, κώμας τινὰς
122 τῶν Σαμαρέων ἐμπρήσαντες διαπαίζουσι. Κουμανὸς δὲ τῆς πρά-

§ 117 = bell. Iud. II 231.

AMWELatZonaras I p. 514.

1 *Κουμανὸς*] *κούμανος* MW *ὁ κούμανος* E **νεωτερήσειε* W 2 **ὑβρίσαντα* M 4 i. marg. *X* Lat *ἔχθρα πρὸς ἰουδαίους* tr. E 7 *κώμης*] *ἐκ κώμης* coni. *Γιναῆς*] E *γαναῆσ, να* i. ras. maiore, *η* ex *ι* corr. A *τῆσ ναῖσ* MW *ginais* Lat *Γήμαν* appellat uicum bell. Iud. **τῆς ἐν μεθορίῳ κειμένης* om. MW **τῆς — S κειμένης*] *inter samariam et campum maximum constitutum* Lat S **τε*] *δὲ* MW 10 **Γαλιλαίων*] *γαλιλαίων τινὲσ καὶ μᾶλλον* M *κούμανον* MWE 11 *μετιέναι*] Cocceji *μετεῖναι* codd. E *ut — inquireret* Lat *τῶν*] *τῶν ἀδίκωσ* E **ὁ δὲ — 12 ὠλιγώρησεν*] *at ille pecunias a samaritis accipiens neglexit hoc facere* Lat 12 *πεισθεὶς*] *πολλοῖσ ἀποτυφλωθεὶσ* E **ὑπὸ τῶν — 13 τούτῳ* i. ras. m. 2 A *Σαμαρέων*] *σαμαρέων τὴν ἐκδίκησιν* A *σαμαρέων κἀκείνοισ μᾶλλον πεισθεὶσ τὴν ἐκδίκησιν* E **ὀλιγώρησεν* A 13 *ὅπλα*] *ὅπλα καὶ φόνουσ* E 14 *δουλείαν — 15 ἀφόρητον*] *seruitutem namque amarissimam esse dicentes et iniurias inportabiles in talibus non defendi* Lat 15 *μὲν* om. M 16 *τῶν δ' — 17 ἀνῃρηκότων*] *primatibus autem eorum eos compescere uolentibus ac promittentibus quia faceret uindictam cumanus* Lat **δὲ* MW *αὐτοὺς*] *αὐτοὺσ καὶ συστέλλειν τὴν τεραχὴν* AE litt. **καὶ τοὺσ* 17 *δίκασ* i. ras. m. 2 A *κούμανον* MWE *ἐπαγγελομένων* AE **εἰσπράσσεσθαι* MW 19 **δὲ* MW 21 *κούμανοσ* MWE

ξεως εἰς αὐτὸν ἀφικομένης ἀναλαβὼν τὴν τῶν Σεβαστηνῶν ἵλην καὶ πεζῶν τέσσαρα τάγματα τούς τε Σαμαρεῖς καθοπλίσας ἐξῆλθεν ἐπὶ τοὺς Ἰουδαίους, καὶ συμβαλὼν πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν πλείους δὲ ζῶντας ἔλαβεν. οἱ δὲ πρῶτοι κατὰ τιμὴν καὶ γένος 123
τῶν Ἱεροσολυμιτῶν, ὡς εἶδον εἰς οἷον κακῶν μέγεθος ἥκουσιν, μετενδυσάμενοι σάκκους καὶ σποδοῦ τὰς κεφαλὰς ἀναπλήσαντες πάντοῖοι τοὺς ἀφεστῶτας παρακαλοῦντες ἦσαν καὶ πείθοντες πρὸ ὀφθαλμῶν θεμένους καταισχυνομένην μὲν αὐτῶν τὴν πατρίδα, τὸ δὲ ἱερὸν πυρποληθησόμενον, αὐτῶν δὲ καὶ γυναικῶν σὺν τέκνοις ἀνδραποδισμοὺς ἐσομένους, μεταθέσθαι τὸν λογισμὸν καὶ τὰ ὅπλα ῥίψαντας ἠρεμεῖν εἰς τὸ λοιπὸν ἀποχωρήσαντας εἰς τὰ αὑτῶν. ταῦτα δὲ εἰπόντες ἔπεισαν. καὶ οἱ μὲν διελύθησαν, οἱ λῃσταὶ δὲ 124
ἐπὶ τοὺς ἐχυροὺς τόπους πάλιν ἀπῆλθον. ἐξ ἐκείνου τε ἡ σύμπασα Ἰουδαία λῃστηρίων ἐπλήρωθη.

2. Σαμαρέων δὲ οἱ πρῶτοι πρὸς Οὐμμίδιον Κοδρᾶτον τῆς 125
Συρίας πρεσβεύοντα κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν Τύρῳ τυγχάνοντα παραγενόμενοι κατηγόρουν τῶν Ἰουδαίων, ὡς τὰς κώμας αὐτῶν ἐμπρήσειαν καὶ διαρπάσειαν. καὶ περὶ μὲν ὧν αὐτοὶ πεποιήσαιεν οὐκ 126
αὖτως ἀναπαύειν ἔφασκον, εἰς ὅτι Ῥωμαίων καταφρονήσειαν. ἐφ' οἷς κριτὰς ἔχειν αὐτοὺς εἶπον ἐβούλοντο παραγενέσθαι. ἢ νῦν ὡς οὐκ ἐχόντων ἡγεμόνας Ῥωμαίους καταδραμεῖν· ἔχειν οὖν ἐπ' αὐτῶν ἐκδικίας τετεῦχθαι. ταῦτα μὲν οὖν οἱ Σαμαρεῖς κατηγόρουν. Ἰου- 127
δαῖοι δὲ καὶ τῆς στάσεως καὶ τῆς μάχης αἰτίους γεγονέναι Σαμαρεῖς ἔφασαν, πρὸ πάντων δὲ Κουμανὸν δώροις ὑπ' αὐτῶν φθαρέντα

§ 122 = bell. Iud. II 236.

AMWELatZonaras I p. 515.

1 ἵλην, ῖ i. ras. A εἵλην M εἵλην W 2 *σαμαρείτας MW 3 συμβαλὼν] E συλλαβὼν codd. *facta — congressione* Lat *αὐτῶν om. M 4 *γένους W 7 τοὺς ἐφεστῶτας MWE *eos qui resultauerant* Lat 9 δ' E 10 *τὰ om. MW 11 *ῥίψαντες A *ἀποχωρήσοντας AM *αὐτῶν MW 12 δὲ εἰπόντες] δ' ἐπιόντες E δ' E 13 ὀχυροὺς E *τε] δὲ MW 14 ἐπληρώθη] ἐπλήσθη MWE 15 δὲ om. W Οὐμμίδιον] Hudson ex bell. Iud. *νουμίδιον* (νουμήδιον W) codd. ELat κοναδράτον E *quadratum* Lat 19 οὕτως, υ i. ras. A *ἐφ' οὓς — 22 τενξόμενοι] *ad quorum iudicium debuerant pro sua uel si qua fuisset laesione concurrere, nunc autem quasi romanos iudices non haberent haec ab eis acta dicebant et propterea uindictam fieri postulabant* Lat 20 *οὓς] οὗ W ᾐδικοῦντο E *παραγενέσθαι] παράγεσθαι M ἢ νῦν] νῦν δὲ E 21 *ῥωμαίους ἡγεμόνας tr. M 22 οὖν om. E *κατηγόρουν — 23 Σαμαρεῖς om. MW 24 *κούμανον MWE *ὑπ' αὐτῶν — 298, 1 φόνον] *corruptum qui peremptorum necem noluit uindicare* Lat

128 καὶ παρασιωπήσαντα τὸν τῶν ἀνῃρημένων φόνον. καὶ Κουαδρᾶτος
ἀκούσας ὑπερτίθεται τὴν κρίσιν, εἰπὼν ἀποφανεῖσθαι, ἐπειδὰν εἰς
τὴν Ἰουδαίαν παραγενόμενος ἀκριβέστερον ἐπιγνῷ τὴν ἀλήθειαν.
129 καὶ οἱ μὲν ἀπῆσαν ἄπρακτοι. μετ' οὐ πολὺν δὲ χρόνον ὁ Κουα-
δρᾶτος ἦκεν εἰς Σαμάρειαν, ἔνθα διακούσας αἰτίους τῆς ταραχῆς
ἐτέλεσε γεγονέναι τοὺς Σαμαρεῖς. Σαμαρέων δὲ καὶ Ἰουδαίων οὔσ-
τινας νεωτερίσαντας ἔμαθεν ἀνεσταύρωσεν οὓς Κουμανὸς ἔλαβεν
130 αἰχμαλώτους. κἀκεῖθεν εἰς κώμην τινὰ παραγενόμενος Λύδδαν
πόλεως τὸ μέγεθος οὐκ ἀποδέουσαν καθίσας ἐπὶ βήματος κἀκ
δευτέρου τῶν Σαμαρέων διακούσας διδάσκεται παρά τινος Σαμα-
ρέως, ὅτι τῶν Ἰουδαίων τις πρῶτος ὄνομα Λόητος καί τινες σὺν
αὐτῷ νεωτερισταὶ τέσσαρες τὸν ἀριθμὸν πείσειαν τὸν ὄχλον ἐπὶ
131 τῇ Ῥωμαίων ἀποστάσει. κἀκείνους μὲν ὁ Κουαδρᾶτος ἀνελεῖν
προσέταξεν, τοὺς δὲ περὶ Ἀνανίαν τὸν ἀρχιερέα καὶ τὸν στρα-
τηγὸν Ἄνανον δήσας εἰς Ῥώμην ἀνέπεμψεν περὶ τῶν πεπραγμένων
132 λόγον ὑφέξοντας Κλαυδίῳ Καίσαρι. κελεύει δὲ καὶ τοῖς τῶν Σα-
μαρέων πρώτοις καὶ τοῖς Ἰουδαίοις Κουμανῷ τε τῷ ἐπιτρόπῳ καὶ
Κέλερι, χιλίαρχος δ' ἦν οὗτος, ἐπ' Ἰταλίας ἀπιέναι πρὸς τὸν αὐ-
τοκράτορα κριθησομένους ἐπ' αὐτοῦ περὶ τῶν πρὸς ἀλλήλους ζητή-
133 σεων. αὐτὸς δὲ δείσας, μὴ τὸ πλῆθος πάλιν τῶν Ἰουδαίων νεω-
τερίσειεν, εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν ἀφικνεῖται· καταλαμ-
βάνει δ' αὐτὴν εἰρηνευομένην καὶ πάτριον ἑορτὴν τῷ θεῷ τελοῦσαν.
πιστεύσας οὖν μηδέν νεωτερισμὸν παρ' αὐτῶν γενήσεσθαι κατα-
λιπὼν ἑορτάζοντας ἐπέστρεψεν εἰς Ἀντιόχειαν.

§ 125 = bell. Iud. II 241.

AMWELat Zonaras I p. 515.

2 *ἀποφαίνεσθαι MW 3 ἐπιγνῷ MWE 4 i. marg. *VI* Lat 5 *ἔνθα — 7 ἔμαθεν] *ubi auctores seditionis audiens et quosdam samaritanorum ac iudaeorum indisciplinatos inueniens* Lat 5 *αἰτίους — 6 σαμαρεῖς i. ras. m. 2 A 6 τοὺς Σαμαρεῖς. Σαμαρέων] σαμαρέων MW σαμαρεῖσ ὡσ E Ἰουδαίων οὔστινας] ἰουδαίουσ τινὰσ E 7 κούμανοσ MWE 8 Λύδδαν] λύδδαν λεγομένην E *nomine liddam* Lat 11 Λόητος] δόρτοσ MW δόϊτοσ E *doitus* Lat 12 πείσειαν M πείσαισαν WE 13 κουαδράτησ E 15 ἀπέπεμψε MWE 16 τοῖς — 17 καὶ om. E 17 καὶ τοῖς Ἰουδαίοις] om. MW τοῖσ ἰουδαίων E Lat κουμάνω MWE *τῷ τε tr. MW 18 χιλίαρχος — Ἰταλίας] *millenario et violentiarum inhibitori* Lat *δ' ἦν] δὲ MW ἐπ' Ἰταλίας] Lowthius ἐπὶ τῆς μίας codd. E ἀπιέναι] Hudson ἀπεῖναι codd. E *ut — pergerent* Lat 19 *ἐπ' αὐτῷ MW 20 πλῆθος πάλιν] AE Lat προαλὲσ MW *νεωτερήσειεν W 21 τῶν om. E 22 *δὲ MW 23 γενήσεσθαι] γεγενῆσθαι AE *generari* Lat 24 ἐπέστρεψεν AE

3. Οἱ περὶ Κουμανὸν δὲ καὶ τοὺς πρώτους τῶν Σαμαρέων 134
ἀναπεμφθέντες εἰς Ῥώμην λαμβάνουσι παρὰ τοῦ αὐτοκράτορος
ἡμέραν, καθ' ἣν περὶ τῶν πρὸς ἀλλήλους ἀμφισβητήσεων λέγειν
ἔμελλον. σπουδὴ δὲ μεγίστη τῷ Κουμανῷ καὶ τοῖς Σαμαρεῦσιν 135
ἦν παρὰ τῶν Καίσαρος ἀπελευθέρων καὶ φίλων, κἂν περιεγένοντο
τῶν Ἰουδαίων, εἰ μή περ Ἀγρίππας ὁ νεώτερος ἐν τῇ Ῥώμῃ τυγ-
χάνων κατασπευδομένους ἰδὼν τοὺς τῶν Ἰουδαίων πρώτους ἐδεήθη
πολλὰ τῆς τοῦ αὐτοκράτορος γυναικὸς Ἀγριππίνης πεῖσαι τὸν ἄνδρα
διακοῦσαντα πρὸ τούτου τῇ ἑαυτοῦ δικαιοσύνῃ τιμωρήσασθαι τοὺς
αἰτίους τῆς ἀποστάσεως. καὶ Κλαύδιος τῇ δεήσει ταύτῃ προευ- 136
φημισθεὶς καὶ διοκωσας, ὡς εὗρε τῶν κακῶν ἀρχηγοὺς τοὺς Σαμα-
ρίτας γενομένους, τοὺς μὲν ἀναβάντας πρὸς αὐτὸν ἐκέλευσεν ἀναιρε-
θῆναι, τῷ Κουμανῷ δὲ φυγὴν ἐπέβαλεν, Κέλερα δὲ τὸν χιλίαρχον
ἐκέλευσεν ἀγαγόντας εἰς τὰ Ἱεροσόλυμα πάντων ὁρώντων ἐπὶ τὴν
πόλιν πᾶσαν σύραντας οὕτως ἀποκτεῖναι.

VII. 1. Πέμπει δὲ καὶ Κλαύδιον Φήλικα Παλλαντος ἀδελφὸν 137
τῶν κατὰ τὴν Ἰουδαίαν προστησόμενον πραγμάτων. τῆς δ' ἀρχῆς 138
δωδέκατον ἔτος ἤδη πεπληρωκὼς δωρεῖται τὸν Ἀγρίππαν τῇ Φιλίπ-
που τετραρχίᾳ καὶ Βατανείᾳ προσθεὶς αὐτῷ τὴν Τραχωνῖτιν σὺν
Ἀβέλλᾳ· Λυσανία δ' αὖτη γεγόνει τετραρχία· τὴν Χαλκίδα δ' αὖ-
τὸν ἀφαιρεῖται δυνασεύσαντα ταύτης ἔτη τέσσαρα. λαβὼν δὲ τὴν 139
δωρεὰν παρὰ τοῦ Καίσαρος Ἀγρίππας ἐκδίδωσι πρὸς γάμον Ἀζίζῳ
τῷ Ἐμεσῶν βασιλεῖ περιτέμνεσθαι θελήσαντι Δρουσίλλαν τὴν ἀδελ-
φὴν· Ἐπιφανὶς γὰρ ὁ Ἀντιόχου τοῦ βασιλέως καὶ ταύτης ἠράσατο
τὸν γάμον μὴ βουληθεὶς τὰ Ἰουδαίων ἔθη μεταλαβεῖν καίτερ τοῦτο

§ 134 = bell. Iud. II 245.

AMWELatZonaras I p. 515. Photius bibl. p. 317a Bekker.

1 *κούμανον* MWE 4 *κουμάνῳ* MWE 5 **κἂν] καὶ* MW **περιεγίνοντο* W 8 *τοῦ* om. AE 9 *διακούσαντα] διάσαντα* MWE *causam audiens* Lat *αὐτοῦ* MWE 10 i. marg. *XII* Lat 11 **σαμαρεῖσ* MW 13 *κουμάνω* MWE *κελλέρα* E 14 **ἀγοντασ* MW 16 i. marg. *XIII* Lat *κλαύδιοσ* E *φίλικα* ex *φήλικα* corr. A *πάλαντοσ* E 17 § 138—143 excerpsit Photius *δὲ* MWE 18 **δωδέκατον] decimum* Lat *ἤδη* om. E **πεπληρωκότοσ* MW 19 *σὺν Ἀβέλλᾳ] συνέβαλε* M *συνέβαλλε* W *σὺν ἀβέλα* E *una cum abela* Lat 20 **λυσανίου* (*ου* ex *α* corr. A) APhot **δὲ* MW *ἐγεγόνει* EPhot. **δ'* om. MW 21 **ἀφαιρεῖται ταύτησ δυναστεύσαντα* (litt. *αι ταύτησ δυναστεύσαν* i. ras. m. 2) tr. A 22 **Ἀζίζῳ* Phot. 23 **Ἐμεσῶν] amasorum* Lat *Ἐμέσων* Phot. **δρουσίλλαν* MW *δρουσίλλαν* Phot. 24 *ἀντίοχοσ* E 25 *βουληθεὶς] βουληθεὶσ εἰσ* E 25 *μεταλαβεῖν] μεταβαλεῖν* E

140 ποιήσειν προϋπεσχημένος αὐτῆς τῷ πατρί. καὶ Μαριάμμην δ' ἐξεδόσατο Ἀρχελάῳ τῷ Ἑλκίου παιδὶ πρότερον ὑπὸ Ἀγρίππα τοῦ πατρὸς ἁρμοσθεῖσαν αὐτῷ, καὶ γίνεται θυγάτηρ αὐτοῖς ὄνομα Βερενίκη.

141 2. Διαλύονται δὲ τῇ Δρουσίλλῃ πρὸς τὸν Ἄζιζον οἱ γάμοι ἐ-
142 μετ' οὐ πολὺν χρόνον τοιαύτης ἐμπεσούσης αἰτίας· καθ' ὃν χρόνον τῆς Ἰουδαίας ἐπετρόπευε Φῆλιξ θεασάμενος ταύτην, καὶ γὰρ ἦν κάλλει πασῶν διαφέρουσα, λαμβάνει τῆς γυναικὸς ἐπιθυμίαν, καὶ Ἄτομον ὀνόματι τῶν ἑαυτοῦ φίλων Ἰουδαῖον, Κύπριον δὲ τὸ γένος, μάγον εἶναι σκηπτόμενον πέμπτον πρὸς αὐτὴν ἔπειθεν τὸν ἄνδρα καταλιποῦσαν αὐτῷ γήμασθαι, μακαρίαν ποιήσειν ἐπαγγελλόμενος
143 μὴ ὑπερφανήσασαν αὐτόν. ἡ δὲ κακῶς πράττουσα καὶ φυγεῖν τὸν ἐκ τῆς ἀδελφῆς Βερενίκης βουλομένη, φθόνον αὐτῇ διὰ τὸ κάλλος παρεκάλει παρ' ἐκείνης οἰόμενος οὐκ ἐν ὀλίγοις ἔβλαπτεν, παραβῆναί τε τὰ πάτρια νόμιμα πείθεται καὶ τῷ Φήλικι γήμασθαι.
144 τεκοῦσα δ' ἐξ αὐτοῦ παῖδα προσηγόρευσεν Ἀγρίππαν. ἀλλ' ὧν μὲν τρόπον ὁ νεανίας οὗτος σὺν τῇ γυναικὶ κατὰ τὴν ἐκπύρωσιν τοῦ Βεσβίου ὄρους ἐπὶ τῶν Τίτου Καίσαρος χρόνων ἠφανίσθη, μετὰ ταῦτα δηλώσω.

145 3. Βερενίκη δὲ μετὰ τὴν Ἡρῴδου τελευτήν, ὃς αὐτῆς ἀνὴρ καὶ θεῖος ἐγεγόνει, πολὺν χρόνον ἐπιχηρεύσασα, φήμης ἐσχούσης, ὅτι ἀδελφῷ συνείη, πείθει Πολέμωνα, Κιλικίας ὃς ἦν οὗτος βασιλεύς, περιτεμόμενον ἀγαγέσθαι πρὸς γάμον αὐτήν· οὕτως γὰρ

AMWELatZonaras I p. 516. Photius bibl. p. 317a Bekker.

1 *προϋποσχόμενος* MW *μαριάμην* E *mariam* Lat δ'] δὲ MW, om. E 2 *ἀγρίππου* E 3 *πατρὸς*] MWLatPhot *παῖδα* A *αὐτοῖς] αὐτῆς* MW 4 *Βερενίκη*] APhot *βερνίκη* MWE *beronice* Lat 5 *Δρουσίλα* (genet.) Phot *Ἀζίζου* Phot 6 *χρόνον*] *καιρὸν* MWE 7 *ἐπετρόπευσε* W *φῆλιξ, ῑ* ex *ῆ* corr. A *φίλιξ* E 9 *Ἄτομον*] AE *σίμωνα* MWLat et i. marg. A *Ἰουδαῖον* W *τὸ* om. MWE 10 *πέμπει* E *ἔπειθεν*] *ἔπειθέ τε* E 12 *μὴ — αὐτὸν*] om. E *ἡ δὲ* — 15 *γήμασθαι*] *illa vero non bene faciens declinare uolens inuidiam berenicae sororis propter pulchritudinem suam transcendere paternas sollemnitates flexa est et felicis nuptias est secuta* Lat 13 *βερνίκης* MW *αὐτῇ* — 14 *ἔβλαπτε*] *διὰ γὰρ τὸ κάλλος παρ' ἐκείνης ἐν οὐκ ὀλίγοις ἐβλάπτετο* ed. pr. *αὐτῇ* MW 14 *παρεκάλει*] ras. circiter 10 litt. A *οἰόμενος*] *γρ ὑποπτευόμενος* i. marg. A *ἐν οὐκ* tr. MW 15 *τε τὰ*] *τά τε* MW *τὰ* E *φίλικι, ῑ* ex *ῐ* corr. A *φίληκι* E 16 **δὲ* MW 17 *οὗτος*] *ἐκεῖνος* MW *iste* Lat 20 *βερνίκη* MWE *berenice* Lat 11 **ἐπισχούσης*] *ἐπισχούσης* Ernesti 22 *συνείη*] *γρ συνοικεῖ* i. marg. A *συν-ᾖει* MWE *coiret* Lat **Κιλικίας*] *lyciae* Lat δ' E 23 *ἄγεσθαι* MWE **γὰρ* om. MW

ἐλέγξειν ᾤετο ψευδεῖς τὰς διαβολάς. καὶ ὁ Πολέμων ἐπείσθη μά- 146
λιστα διὰ τὸν πλοῦτον αὐτῆς· οὐ μὴν ἐπὶ πολὺ συνέμεινεν ὁ γάμος, ἀλλ' ἡ Βερενίκη δι' ἀκολασίαν, ὡς ἔφασαν, καταλύσει τὸν Πολέμωνα. ὁ δ' ἅμα τοῦ τε γάμου καὶ τοῦ τοῖς ἔθεσι τῶν Ἰουδαίων ἐμμένειν ἀπήλλακτο. τῷ αὐτῷ δὲ καιρῷ καὶ Μαριάμμη παραιτη- 147
σαμένη τὸν Ἀρχέλαον σατρείαν ἡμιτρίτην τῶν ἐν Ἀλεξανδρείᾳ Ἰουδαίων πρωτείοντι γένει τε καὶ πλούτῳ· τότε δὴ καὶ τὴν ἀλαβαρχίαν αὐτὸς εἶχεν. γενόμενον δ' αὐτῇ παιδίον ἐξ ἐκείνου Ἀγριππῖνον προσηγόρευσεν. ἀλλὰ περὶ μὲν ἑκάστου τούτων μετὰ ἀκριβείας ὕστερον ἀπαγγελοῦμεν.

VIII. 1. Τελευτᾷ δὲ Κλαύδιος Καῖσαρ βασιλεύσας ἔτη δεκα- 148
τρία καὶ μῆνας ὀκτὼ ἡμέραις εἴκοσι, καὶ λόγος ἦν παρά τινων, ὡς ὑπὸ τῆς γυναικὸς Ἀγριππίνης φαρμάκοις ἀνῄρητο. ταύτης πατὴρ μὲν ἦν Γερμανικὸς ὁ Καίσαρος ἀδελφός, ἀνὴρ δὲ γενόμενος Δομέτιος Ἀηνόβαρβος ὁ τῶν ἐπισήμων κατὰ τὴν Ῥωμαίων πόλιν. οὗ τελευτήσαντος χηρεύουσαν αὐτὴν ἐπὶ πολὺν χρόνον Κλαύδιος 149
ἄγεται πρὸς γάμον ἐπαγομένην καὶ παῖδα Δομέτιον ὁμώνυμον τῷ πατρί. προαιρεῖται δὲ τὴν γυναῖκα Μεσσαλίναν διὰ ζηλοτυπίαν, ἐξ ἧς αὐτῷ καὶ παῖδες ἐγεγόνεσαν Βρεττανικός τε καὶ Ὀκταουία. ἦν γὰρ Ἀντωνιανῇ καὶ πρεσβυτάτη τῶν ἀδελφῶν. ἣν ἐκ Πετίνης τῆς 150
πρώτης γυναικὸς εἶχεν. καὶ δὴ τὴν Ὀκταουίαν ὥρμισεν τῷ Νέρωνι· τοῦτο γὰρ ὕστερον αὐτὸν ἐκάλεσεν εἰστοιησάμενος υἱὸν ὁ Καῖσαρ.

§ 148 = bell. Iud. II 248.

AMWELat Zonaras I p. 517.

1 *ᾤετο] ὥστε W 3 ἀλλ' ἡ] ἀλλὰ MWE *βερνίκη* MW *beronice* Lat *κατέλιπε* E 4 ante ὁ ras. 1 litt. A δὲ MWE et ex corr. A 5 *μαριάμη* E *maria* Lat 6 τῶν] ex corr. A τῷ A¹MWE τῶν — 7 πλούτῳ] *alexandrino iudaeo genere et diuitiis ualde claro* Lat 8 *δ' om. MW *Ἀγριππῖνον] *agrippae uocabulo* Lat 12 καὶ om. WE · ἡμέρας E 14 *Γερμανικὸς — γενόμενος* (ὁ om. W)] WE *γερμανικὸσ τιβερίου καίσαροσ ἀδελφόσ ἀνὴρ γενόμενοσ*, litt. σ τιβερίου — γενόμενοσ i. ras. m. 2 paullo spatiosius scriptae A *γερμανικὸσ καίσαροσ ἀδελφὸσ* M *germanicus caesaris frater uir autem eius* Lat 15 Δομέτιος Ἀηνόβαρβος] ed. pr. *δομίτιοσ ἦν ὁ βάρβαροσ* A *καίσαροσ ἀδελφὸσ δομέτιοσ ἦν ὁ βάρβαροσ* W *δομίτιοσ βάρβαροσ* M *ἦν δομέτιοσ ὁ βάρβαροσ* E *domelius barbarus* Lat ὁ om. E 16 *ἐπὶ πολὺν χρόνον* om. E 18 δὲ] γὰρ E *μεσαλίναν* E 19 ἐξ ἧς — 21 εἶχεν] *ex qua filios habuerat brittannicum et octauiam. erat autem ei et antonia filia senior, quam ex prima uxore nomine petina habuerat* Lat καὶ om. MWE *ἐγεγόνεσαν* MWE *βρετανικὸσ* E τε om. MWE Ὀκταουία] Hudson ex Lat *ὀκταούϊοσ καὶ ὀκταουία* codd. E 20 ἦν γὰρ Ἀντωνιανῇ καὶ] ἣ καὶ MW, om. E *ἦν δὲ καὶ αὐτῷ Ἀντωνία* Hudson *ἦν γὰρ καὶ Ἀντωνία ἣ* coni.; cf. bell. Iud. et Sueton. Claud. 27 *Πετίνης*] *πετείνησ* MWE 22 *τοῦτο ν A *υἱὸν*] *αὐτὸν* E

151 2. *Δεδοικυῖα δ' ἡ Ἀγριππῖνα, μὴ ὁ Βρεττανικὸς ἀνδρωθεὶς*
αὐτὸς παρὰ τοῦ πατρὸς τὴν ἀρχὴν παραλάβοι, τῷ δὲ αὐτῆς παιδὶ
προαρπάσαι βουλομένη τὴν ἡγεμονίαν τά τε περὶ τὸν θάνατον τοῦ
152 *Κλαυδίου, καθάπερ ἦν λόγος, διεπράξατο, καὶ παραχρῆμα πέμπει*
τὸν τῶν στρατευμάτων ἔπαρχον Βοῦρρον καὶ σὺν αὐτῷ τοὺς χιλι-
άρχους τῶν τε ἀντιλήψεων τοῖς πλείστον δυναμένους ἀπάξοντας εἰς
τὴν παρεμβολὴν τὸν Νέρωνα καὶ προσαγορεύσοντας αὐτὸν αὐτοκρά-
153 *τορα. Νέρων δὲ τὴν ἀρχὴν οὕτως παραλαβὼν Βρεττανικὸν μὲν ἀδι-*
λως τοῖς πολλοῖς ἀναιρεῖ διὰ φαρμάκων, φανερῶς δ' οὐκ εἰς μακρὰν
τὴν μητέρα τὴν ἑαυτοῦ φονεύει, ταύτην ἀμοιβὴν ἀποτίσας αὐτῇ οὐ
μόνον τῆς γενέσεως ἀλλὰ καὶ τοῦ ταῖς ἐκείνης μηχαναῖς τὴν Ῥωμαίων
ἡγεμονίαν παραλαβεῖν. κτείνει δὲ καὶ τὴν Ὀκταουίαν, ᾗ συνῴκει,
πολλούς τε ἐπιφανεῖς ἄνδρας ὡς ἐπ' αὐτὸν ἐπιβουλὰς συντιθέντας.
154 3. *Ἀλλὰ περὶ μὲν τούτων ἐῶ πλείω γράφειν· πολλοὶ γὰρ*
τὴν περὶ Νέρωνα διατέταχασιν ἱστορίαν, ὧν οἱ μὲν διὰ χάριτ' εἰ τι
πεπονθότες ὑπ' αὐτοῦ τῆς ἀληθείας ἠμέλησαν, οἱ δὲ διὰ μῖσος
καὶ τὴν πρὸς αὐτὸν ἀπέχθειαν οὕτως ἀναιδῶς ἐνεπαρῴνησαν τοῖς
155 *ψεύσμασιν, ὡς ἀξίους αὐτοὺς εἶναι καταγνώσεως. καὶ θαυμάζειν*
οὐκ ἔπεισί μοι τοὺς περὶ Νέρωνος ψευσαμένους, ὅτου μηδὲ τῶν
πρὸ αὐτοῦ γενομένων γράφοντες τὴν ἀλήθειαν τῆς ἱστορίας τετηρήκασιν,
156 *καίτοι πρὸς ἐκείνους αὐτοῖς οὐδὲν μῖσος ἦν ἅτε μετ' αὐτοὺς*
πολλῷ χρόνῳ γενομένοις. ἀλλὰ γὰρ τοῖς μὲν οὐ προνοουμένοις
157 *τῆς ἀληθείας ἐξέστω γράφειν ὡς θέλουσιν, τοῦτο γὰρ χαίρειν*
ἐάσασιν, ἡμεῖς δὲ σκοπὸν προθέμενοι τὴν ἀλήθειαν τὰ μὲν ἁπαντη-
μένα τῆς προκειμένης ἡμῖν πραγματείας ἐπ' ὀλίγον μνήμης ἀξιοῦ-
μεν, τὰ δ' ἡμῖν τοῖς Ἰουδαίοις συμπεσόντα διηλθόντες οὔτ' ὑπερβο-
λὴν οὔτε τὰς συμφορὰς οὔτε τὰς ἁμαρτίας διασαφεῖν ὀκνοῦντες.
ἐπανήξω τοίνυν ἐπὶ τὴν τῶν οἰκείων πραγμάτων διήγησιν.

§ 153 = bell. Iud. II 250.

AMWELat Zonaras I p. 517.

1 *δὲ MW *βρετανικὸς* E *brittannicus* Lat 2 δὲ om. E 3 *τε] γε A 4 *καθάπερ ἦν] ὡς E 6 *πλεῖστον] πλειστους AW *πλεῖστα* ed. pr. *valde* Lat 7 *καὶ — αὐτοκράτορα] *et cum more principis adorarent* Lat 8 *οὕτω* MWE *βρετανικὸν* E *brittannicum* Lat 9 *φανερῶς — μακρὰν* om. Lat δὲ MWE 11 *γενέσεως] γρ γεννήσεως i. marg. A 13 *ἐπ' αὐτὸν — συντιθέντας] αὐτῷ ἐπιβουλεύοντας E *συνθέντας* Ernesti 14 *ἐῶ — γράφειν] οὐ πλείω E 15 *ὧν* om. MW 17 *καὶ* suppl. m. 1 A 18 *αὐτοὺς* om. W 22 *γενομένους* M 24 *τὴν ἀλήθειαν προθέμενοι* tr. MW 26 δὲ MW *ἡμῖν* W 27 *μήτε τὰς συμφορὰς* om. W litt. *οὔτεσ ἐπανήξω* — 28 *τὴν τῶ* i. ras. m. 2 A *ἐπανάξω* AE (sed in cod. Busb. utrum *ἐπανήξω* an *ἐπανέξω* scriptum sit certo distingui non potest) *revertar* Lat 28 *τοίνυν] τοίνυν τὸν λόγον A *δὲ τὸν λόγον* E

4. Τῷ γὰρ πρώτῳ τῆς Νέρωνος ἀρχῆς ἔτει τελευτήσαντος 158
τοῦ Ἐμέσων δυνάστου Ἄζιζος Σόεμος ἀδελφὸς τὴν ἀρχὴν διαδέχεται.
τὴν δὲ τῆς μικρᾶς Ἀρμενίας προστασίαν Ἀριστόβουλος Ἡρῴδου
τῆς Χαλκίδος βασιλέως παῖς ὑπὸ Νέρωνος ἐγχειρίζεται. καὶ τὸν 159
Ἀγρίππαν δὲ δωρεῖται μοίρᾳ τινὶ τῆς Γαλιλαίας ὁ Καῖσαρ Τιβε-
ριάδα καὶ Ταριχέας ὑπακούειν αὐτῷ κελεύσας, δίδωσι δὲ καὶ Ἰου-
λιάδα πόλιν τῆς Περαίας καὶ κώμας τὰς περὶ αὐτὴν δεκατέσσαρας.

5. Τὰ δὲ κατὰ τὴν Ἰουδαίαν πράγματα πρὸς τὸ χεῖρον ἀεὶ 160
τὴν ἐπίδοσιν ἐλάμβανεν· λῃστηρίων γὰρ ἡ χώρα πάλιν ἀνεπλήσθη
καὶ γοήτων ἀνθρώπων, οἳ τὸν ὄχλον ἠπάτων. ἀλλὰ τούτους μὲν 161
ὁ Φῆλιξ πολλοὺς καθ' ἑκάστην ἡμέραν οὓς τοὺς λῃστὰς ἐμβάτους
ἀνῄρει. καὶ Ἐλεάζαρον δὲ τὸν Ἰαείρου παῖδα τῶν αὐστηρημένων
τῶν λῃστῶν τὸ σύνταγμα δι' ἐνέδρας εἶλεν ζῶντα· πίστιν γὰρ αὐτῷ
προτείνας ὑπὲρ τοῦ μηδὲν πείσεσθαι κακὸν πείθει πρὸς αὐτὸν
ἀφικέσθαι καὶ δήσας ἀπέπεμψεν εἰς Ῥώμην. ἔχων δὲ καὶ ἀπεχθῆ 162
πρὸς τὸν ἀρχιερέα Ἰωνάθην ὁ Φῆλιξ διὰ τὸ πολλάκις ὑπ' αὐτοῦ
νουθετεῖσθαι περὶ τοῦ κρειττόνως προΐστασθαι τῶν κατὰ τὴν Ἰου-
δαίαν πραγμάτων, μὴ καὶ μέμψιν αὐτὸς ὀφλοίη παρὰ τοῖς πλή-
θεσιν αἰτησάμενος ἐκεῖνον παρὰ τοῦ Καίσαρος πεμφθῆναι τῆς
Ἰουδαίας ἐπίτροπον, πρόφασιν ἐπενόει δι' ἧς μεταστήσεται τὸν
συνεχῶς ὀχληρὸν αὐτῷ γινόμενον· βαρὺ γὰρ τοῖς ἀδικεῖν θέλουσιν
τὸ συνεχῶς νουθετοῦν. καὶ δὴ διὰ τοιαύτης αἰτίας ὁ Φῆλιξ τὸν 163
πιστότατον τῶν Ἰωνάθου φίλων Ἱεροσολυμίτην τὸ γένος Δωρᾶν
ὀνόματι πείθει πολλὰ χρήματα δώσειν ὑπισχνούμενος ἐπαγαγεῖν

§ 158 = bell. Iud. II 252.

AMWELat Zonaras I p. 517. Photius bibl. p. 317a Bekker.

1 *ἔτει om. MW 2 Ἐμέσων] ἐμεσῶν (ἐμε ex ἀμα corr. m. 1 A) AE *amasorum* Lat cf. § 139 et XIX 338 *δυνάστου] βασιλέως MW *rege* Lat Σόεμος] E ὁ ἐμὸς A ἐμὸς MW *meus* Lat 4 τῆς] τοῦ E § 159 excerpsit Photius τὸν Ἀγρίππαν. — 5 τινὶ] τῷ ἀγρίππα δεδώρηται μοίραν τινὰ E 5 δὲ om. MW 6 *ταριχαίας, αἱ i. ras. A *taricae* Lat ὑπακούειν — κελεύσας om. E Ἰουλιάδα] λουλίδα E 7 *τῆς iterat W *δεκατέσσαρας] τεσσαρεσκαίδεκα MW δέκα Phot. 8 πράγματα om. E 9 *ἐλάμβανον M 10 τούτων E *quorum* Lat 11 φῆλιξ, τ ex η corr. A φήλιξ M φῆλιξ E ἡμέραν om. E 12 δεινοῦ MWE 15 *ἀνέπεμπεν MW *καὶ om. MW ἀπεχθῶσ καὶ tr. E 16 *ἀρχιερέα] ἀρχιερέα τὸν MW φῆλιξ, τ ex η corr. A φήλιξ M φῆλιξ E 17 *κρείττονος MW 19 *αἰτησόμενος A 21 γενόμενον E *ἐθέλουσι MW 22 *νουθετεῖν W διὰ τοιαύτην αἰτίαν M φῆλιξ, τ ex η corr. A φήλιξ M 23 *δώραν MW 24 *πολλὰ om. MW *πολλὰ — ὑπιαχνούμενος] *multarum pecuniarum promissione* Lat *ἐπάγειν MW

τῷ Ἰωνάθῃ τοὺς [λῃστὰς] ἀναιρήσοντας, κἀκεῖνος ὑπακούσας ἐμη-
164 χανήσατο διὰ τῶν λῃστῶν πραχθῆναι τοιούτῳ τρόπῳ τὸν φόνον· ἀνέβησάν τινες αὐτῶν εἰς τὴν πόλιν ὡς προσκυνήσοντες τὸν Θεὸν διὰ τὰς ἐσθῆτας ἔχοντες ξιφίδια καὶ συναμυνόμενοι τῷ Ἰωνάθῃ
165 κτείνουσιν αὐτόν. ἀνεκδικήτου δὲ τούτου τοῦ φόνου μεμενηκότος μετὰ πάσης τὸ λοιπὸν ἀδείας ἀναβαίνοντες ἐν ταῖς ἑορταῖς οἱ λῃσταὶ καὶ τὸν σίδηρον ὁμοίως κεκρυμμένον ἔχοντες συναμυνόμενοι τοῖς τελήθεσιν ἀνῄρουν μέν τινας ἑαυτῶν ἐχθρούς, οἷς δ' ἐπὶ χρήμασιν ἄλλοις ὑπηρετοῦντες, οὐ μόνον κατὰ τὴν ἄλλην πόλιν ἀλλὰ καὶ κατὰ τὸ ἱερὸν ἐνίους· καὶ γὰρ ἐκεῖ σφάττειν ἐτόλμων,
166 οὐδ' ἐν τούτῳ δοκοῦντες ἀσεβεῖν. διὰ τοῦτ' οἶμαι καὶ τὸν Θεὸν μισήσαντα τὴν ἀσέβειαν αὐτῶν ἀποστραφῆναι μὲν ἡμῶν τὴν πόλιν, τὸ δὲ ἱερὸν οὐκέτι καθαρὸν οἰκητήριον αὐτῷ κρίναντα Ῥωμαίους ἐπαγαγεῖν ἡμῖν καὶ τῇ πόλει καθάρσιον πῦρ καὶ δουλείαν ἐπιβαλεῖν σὺν γυναιξὶν καὶ τέκνοις σωφρονίσαι ταῖς συμφοραῖς βου-
167 λόμενον ἡμᾶς. 6. Τὰ μὲν οὖν τῶν λῃστῶν ἔργα τοιαύτης ἀνοσιότητος ἐπλήρου τὴν πόλιν, οἱ δὲ γόητες καὶ ἀπατεῶνες ἄνθρωποι τὸν ὄχλον ἔπει-
168 σθον αὐτοῖς εἰς τὴν ἐρημίαν ἕπεσθαι· δείξειν γὰρ ἔφασαν ἐναργῆ τέρατα καὶ σημεῖα κατὰ τὴν τοῦ Θεοῦ πρόνοιαν γινόμενα. καὶ πολλοὶ πεισθέντες τῆς ἀφροσύνης τιμωρίας ὑπέσχον· ἀναχθέντας
169 γὰρ αὐτοὺς Φῆλιξ ἐκόλασεν. ἀφικνεῖται δέ τις ἐξ Αἰγύπτου κατὰ τοῦτον τὸν καιρὸν εἰς Ἱεροσόλυμα προφήτης εἶναι λέγων καὶ συμβουλεύων τῷ δημοτικῷ τελήθει σὺν αὐτῷ πρὸς ὄρος τὸ προσαγο-

§ 163 = bell. Iud. II 254.

AMWELatZonaras I p. 518.

1 *τῷ in confinio uersuum iterat W *λῃστὰς* suspectum *ὑπακούσας*] ὑπήκουσεν E 3 *ἀνέβησαν*] ἀνέβησαν γὰρ E αὐτῶν] suppl. m. 1 M *τῶν λῃστῶν* E ὡς om. E *θεὸν*] θεὸν φέροντες E 4 ἔχοντες om. E *ξιφείδια (ει i. ras. m. 1, i. marg. ξιφείδιον ἀπὸ τοῦ ξίφους ξιφίδιον ἀπὸ τῆς ξιφίδος A) AW *συναμυνθέντες MWE 5 τούτου om. MWE 6 ἐν — ἑορταῖς om. E 8 *μέν τινας] οὓς μὲν E ἐχθροὺς ἑαυτῶν tr. E *δὲ MW 11 *οὐδὲ MW δοκοῦντας E *τοῦτο MW 12 *μισήσαντα τὴν ἀσέβειαν om. Lat 13 *οὐκέτι] *uelut nequaquam suo habitaculo mundum* Lat *οὐκέτι] οὐκ ἔσται MW 14 *καὶ τῇ πόλει] κατὰ τὴν πόλιν E καθάρσιον] καθάρσιόν τε E ἐπιβαλεῖν] ἐπαγαγεῖν M ἐπενεγκεῖν E 15 *σωφρονῆσαι W *castigare* Lat 17 i. marg. *XV* Lat 18 *οἱ δὲ γόητες] γόητες δὲ E 19 *αὐτοῖσ ex corr. A 20 *γενόμενα W 21 *τιμωρίαν E 22 *φῆλιξ, ῆ ex ῆ corr. A *φήληξ M *φλῆξ E 23 *εἰς] εἰσ τὰ MW 24 *σὺν αὐτῷ — 305, 2 πέντε] *uti cum eo ad montem qui dicitur oliuarum positum e diuerso ciuitatis procul stadiis quinque conscenderent* Lat *προσαγορεύομενον*, litt. *ενόμενον* i. ras. M, om. E

ρυόμενον ἐλαιῶν, ὃ τῆς πόλεως ἔντικρυς κείμενον ἀτέχει στάδια πέντε· θέλειν γὰρ ἔφασκεν αὐτοῖς ἐκεῖθεν ἐπιδεῖξαι, ὡς κελεύσαντος αὐτοῦ πίπτοι τὰ τῶν Ἱεροσολυμιτῶν τείχη, δι' ὧν καὶ τὴν εἴσοδον αὐτοῖς παρέξειν ἐνεγγέλλετο. Φῆλιξ δ' ὡς ἐπύθετο ταῦτα, κελεύει τοὺς στρατιώτας ἀναλαβεῖν τὰ ὅπλα καὶ μετὰ πολλῶν ἱππέων τε καὶ πεζῶν ὁρμήσας ἀπὸ τῶν Ἱεροσολύμων προσβάλλει τοῖς περὶ τὸν Αἰγύπτιον, καὶ τετρακοσίους μὲν αὐτῶν ἀνεῖλεν, διακοσίους δὲ ζῶντας ἔλαβεν. ὁ δ' Αἰγύπτιος αὐτὸς διαδρὰς ἐκ τῆς μάχης ἀφανὴς ἐγένετο. πάλιν δ' οἱ λῃσταὶ τὸν δῆμον εἰς τὸν πρὸς Ῥωμαίους πόλεμον ἠρέθιζον μηδὲν ὑπακούειν αὐτοῖς λέγοντες, καὶ τὰς τῶν ἀπειθούντων κώμας ἐμπιπράντες διήρπαζον. 170 171 172

7. Γίνεται δὲ καὶ τῶν Καισαρειαν οἰκούντων Ἰουδαίων στάσις πρὸς τοὺς ἐν αὐτῇ Σύρους περὶ ἰσοπολιτείας· οἱ μὲν γὰρ Ἰουδαῖοι πρωτεύειν ἠξίουν διὰ τὸ τὸν κτίστην τῆς Καισαρείας Ἡρώδην αὐτῶν βασιλέα γεγονέναι τὸ γένος Ἰουδαῖον, Σύροι δὲ τὰ μὲν περὶ τὸν Ἡρώδην ὡμολόγουν, ἔφασκον δὲ τὴν Καισάρειαν Στράτωνος πύργον τὸ πρότερον καλεῖσθαι καὶ τότε μηδένα γεγονέναι τῆς πόλεως αὐτῶν Ἰουδαῖον οἰκήτορα. ταῦτα ἀκούσαντες οἱ τῆς χώρας ἔπαρχοι λαβόντες ἀμφοτέρωθεν τοὺς αἰτίους τῆς στάσεως πληγαῖς ᾐκίσαντο καὶ τὴν ταραχὴν οὕτω κατέστειλαν πρὸς ὀλίγον. πάλιν γὰρ οἱ κατὰ τὴν πόλιν Ἰουδαῖοι τῷ πλούτῳ θαρροῦντες καὶ διὰ τοῦτο καταφρονοῦντες τῶν Σύρων ἐβλασφήμουν εἰς αὐτοὺς ἐρεθίσειν προσδοκῶντες. οἱ δὲ χρήμασιν μὲν ἡττώμενοι, μέγα δὲ φρονοῦντες 173 174 175 176

§ 170 = bell. Iud. II 262.

AMWELat Zonaras I p. 518.

1 ἐλαιῶν] ἐλαιῶν ἔρχεσθαι W τῶν ἐλαιῶν ἔρχεσθαι E *ὃ] ὃ καὶ W ἔντικρυς E 2 ἔφασκεν] om. MW *dicens* Lat 3 *πίπτοι] πίπτειν M πίπτει W Ἱεροσολυμιτῶν] ἱεροσολύμων E *hierosolymorum* Lat . καὶ om. Lat et ed. pr. 4 φῆλιξ, τ ex η corr. A φήληξ M φίληξ E δὲ MWE 5 τοὺς — ἀναλαβεῖν] τοῖσ στρ * (reliqua euanuerunt) E μετὰ — 6 πεζῶν] μετ' αὐτῶν E 6 τε καὶ πεζῶν om. Lat ἀπὸ — Ἱεροσολύων om. E *προσβάλλει — 7 Αἰγύπτιον] *irruit super eos* Lat 7 αὐτῶν om. E 8 *δὲ MW αὐτὸς om. E *διαδράσας MW 9 *δὲ (suppl. M) MW 10 *μηδὲν] γρ μηδεῖν i. marg. A λέγοντες] θέλοντες E 11 ἐμπιπρῶντες E διήρπαζον] καθήρπαζον M διέφθειρον E 12 i. marg. *XVI* Lat 13 *ἐν αὐτῇ om. Lat *αὐτῇ] αὐτοῖ M 14 τὸ] E, om. codd. 15 τὸ γένος Ἰουδαῖον] ἰουδαῖον τῷ γένει E

16 ἔφασκον MWE 18 αὐτῶν] ALat τῶν MWE Ἰουδαῖον] ἰουδαίων A ἰουδαίων MWE *iudaeum* Lat 20 *ᾐκίσαντο πληγαῖσ tr. M 23 μέγα — 306, 2 Σεβαστηνοὺς] *sed sapientia fortiores dum multi caesariensium et sebastenorum sub romanis ibidem militarent* Lat φρονοῦντες] φρονοῦντεσ τῶν σύρων, litt. τεσ τῶν σύρων i. ras. m. 2 A

ἐπὶ τῷ τοὺς πλείστους τῶν ὑπὸ Ῥωμαίοις ἐκεῖ στρατευομένων Καισαρεῖς εἶναι καὶ Σεβαστηνοὺς μέχρι μέν τινος καὶ αὐτοὶ τοὺς Ἰουδαίους λόγῳ ὕβριζον, εἶτα λίθοις ἀλλήλους ἔβαλλον, ἕως πολλοὺς παρ' ἀμφότερα τρωθῆναί τε καὶ πεσεῖν συνέβη· νικῶσί γε μὴν Ἰου-
177 δαῖοι. Φῆλιξ δ' ὡς ἐθεάσατο φιλονεικίαν ἐν πολέμου τρόπῳ γενο- 5
μένην προπηδήσας παύεσθαι τοὺς Ἰουδαίους παρεκάλει, μὴ πειθο-
μένοις δὲ τοὺς στρατιώτας ὁπλίσας ἐπαφῆσι καὶ πολλοὺς μὲν αὐ-
τῶν ἀνεῖλεν, πλείους δὲ ζῶντας ἔλαβεν, οἰκίας δέ τινας τῶν ἐν τῇ
178 πόλει πολλῶν πάνυ χρημάτων γεμούσας διαρπάζειν ἐφῆκεν. οἱ δὲ 10
τῶν Ἰουδαίων ἐπιεικέστεροι καὶ προύχοντες κατὰ τὴν ἀξίωσιν δεί-
σαντες περὶ ἑαυτῶν παρεκάλουν τὸν Φῆλικα τοὺς στρατιώτας ἀνα-
καλέσασθαι τῇ σάλπιγγι καὶ φείσασθαι τὸ λοιπὸν αὐτῶν δοῦναί
τε μετάνοιαν ἐπὶ τοῖς πεπραγμένοις. καὶ Φῆλιξ ἐπείσθη.
179 S. Κατὰ τοῦτον τὸν καιρὸν ὁ βασιλεὺς Ἀγρίππας δίδωσιν
180 τὴν ἀρχιερωσύνην Ἰσμαήλῳ· Φαβεῖ παῖς οὗτος ἦν. ἐξάπτεται δὲ 15
καὶ τοῖς ἀρχιερεῦσι στάσις πρὸς τοὺς ἱερεῖς καὶ τοὺς πρώτους τοῦ
πλήθους τῶν Ἱεροσολυμιτῶν, ἕκαστός τε αὐτῶν στῖφος ἀνθρώπων
τῶν θρασυτάτων καὶ νεωτεριστῶν ἑαυτῷ ποιήσας ἡγεμὼν ἦν, καὶ
συρράσσοντες ἐκακολόγουν τε ἀλλήλους καὶ λίθοις ἔβαλλον. ὁ δ'
ἐπιπλήξων ἦν οὐδὲ εἷς, ἀλλ' ὡς ἐν ἀτροστατήτῳ πόλει ταῦτ' 20

§ 177 = bell. Iud. II 268.

AMWELatZonaras I p. 519. Eusebius hist. eccl. II 20, 2.

1 *τοὺς πλείστους*] *πλήστους* E *ῥωμαίους* MWE **ἐκεῖ*] *ἐκεῖσε* MW 2 **σεβαστεινοὺς* W 4 *παραμφότερα* A[1]W *παρ' ἀμφοτέρων* E et i. marg. A 5 *φῆλιξ, ῑ* ex *ῆ* corr. A *φήληξ* M *φίληξ* E **δὲ* MW **γινομένην* M 6 *πειθομένοις* E 7 *ὁπλίτας* E *armatos* Lat 8 **ἔλαβε* A 9 *πολλῶν πάνυ χρημάτων*] *πολλῶν* MW *πάνυ πολλῶν χρημάτων* E *multis pecuniis* Lat **litt. πάζειν* — 10 *καὶ* i. ras. m. 2 A *ἐφῆκεν*] *τοῖς στρατιώταις ἐφῆκεν* (*ἐπαφῆκεν* E) AE *militari* (*militaribus* cod. Ambr.) *inruptione permisit* Lat 11 *φίληκα* ex corr. A *φήληκα* E **ἀνακαλεῖσθαι* MW 12 *τῇ σάλπιγγι*] *turba missa* Lat **φείδεσθαι* ed. pr. **δοῦναί* — 13 *ἐπείσθη*] *quod felix facere eorum precibus adquieuit* Lat 13 *φῆλιξ, ῑ* ex *ῆ* corr. A *φήληξ* M *φίληξ* E 15 *ἰσμαήλῳ τὴν ἀρχιερωσύνην* tr. E *Φαβεῖ*] *φαβὶ* ALat, cf. XVIII 34 *ἦν* om. E **ἐξάπτεται*] incip. Euseb. 16 *ἀρχιερεῦσι* — 17 *Ἱεροσολυμιτῶν*] MWLatEus *ἀρχιερεῦσι ἔγθρα τις εἰσ ἀλλήλους καὶ στάσις καὶ πρὸσ τοὺσ πρώτουσ τοῦ πλήθουσ τῶν ἱεροσολυμιτῶν* (litt. *ερεῦσι* — *πλήθους* i. ras. m. 2) A *ἀρχιερεῦσι πρὸσ τοὺσ ἱερεῖσ καὶ τοὺσ πρώτουσ τοῦ πλήθουσ τῶν ἱεροσολυμιτῶν ἔγθρα τίσ πρὸσ ἀλλήλουσ καὶ διάστασισ* E 17 **Ἱεροσολύμων* Eus *στῖφος*] *πλῆθοσ* E 18 litt. *τάτων καὶ* — *ἦν* i. ras. m. 2 A *ἑαυτῷ* om. E **ποιήσας*] *ποιήσασ καὶ καθ' ἑαυτὸν συναγείρασ* A *ἡγεμὼν*] *ἡγεμὼν καὶ ἔξαρχοσ στάσεωσ* E 19 *τε* om. E **δὲ* MW 20 *ἐπιπλήξων*] *ἐπιπλῆξον καὶ τὴν στάσιν κωλύσων* E **οὐδὲ εἷς*] *οὐδείσ* MW *non* Lat *ἀπροστατεύτῳ* ME Eusebius *ταῦτα* MWE

ἐπράσσετο μετ' ἐξουσίας. τοσαύτη δὲ τοὺς ἀρχιερεῖς κατέλαβεν 181
ἀναίδεια καὶ τόλμα, ὥστε καὶ πέμπειν δούλους ἐτόλμων ἐπὶ τὰς
ἅλωνας τοὺς ληψομένους τὰς τοῖς ἱερεῦσιν ὀφειλομένας δεκάτας,
καὶ συνέβαινεν τοὺς ἀπορουμένους τῶν ἱερέων ὑπ' ἐνδείας τελευ-
τᾶν. οὕτως ἐκράτει τοῦ δικαίου πανταχοῦ ἡ τῶν στασιαζόντων βία.

9. Πορκίου δὲ Φήστου διαδόχου Φήλικι πεμφθέντος ὑπὸ 182
Νέρωνος οἱ πρωτεύοντες τῶν τὴν Καισάρειαν κατοικούντων Ἰου-
δαίων εἰς τὴν Ῥώμην ἀναβαίνουσιν Φήλικος κατηγοροῦντες, καὶ
πάντως ἂν ἐδεδώκει τιμωρίαν τῶν εἰς Ἰουδαίους ἀδικημάτων, εἰ
μὴ πολλὰ αὐτὸν ὁ Νέρων τἀδελφῷ Πάλλαντι παρακαλέσαντι συνε-
χώρησεν μάλιστα δὴ τότε διὰ τιμῆς ἄγων ἐκεῖνον. καὶ τῶν ἐν 183
Καισαρείᾳ δὲ οἱ πρῶτοι Σύρων Βήρυλλον, παιδαγωγὸς δ' ἦν οὗτος
τοῦ Νέρωνος τάξιν τὴν ἐπὶ τῶν Ἑλληνικῶν ἐπιστολῶν πεπιστευ-
μένος, πείθουσι πολλοῖς χρήμασιν αἰτήσασθαι παρὰ τοῦ Νέρωνος
αὐτοῖς ἐπιστολὴν ἀκυροῦσαν τὴν Ἰουδαίων πρὸς αὐτοὺς ἰσοπολι-
τείαν. καὶ Βήρυλλος τὸν αὐτοκράτορα παρακαλέσας ἐπέτυχε γρα- 184
φῆναι τὴν ἐπιστολήν. αὕτη τῷ ἔθνει ἡμῶν τῶν μετὰ ταῦτα κα-
κῶν τὰς αἰτίας παρέσχεν· πυθόμενοι γὰρ οἱ κατὰ τὴν Καισάρειαν
Ἰουδαῖοι τὰ γραφέντα τῆς πρὸς τοὺς Σύρους στάσεως μᾶλλον εἴ-
χοντο μέχρι δὴ τὸν πόλεμον ἐξῆψαν.

10. Ἀφικομένου δὲ εἰς τὴν Ἰουδαίαν Φήστου συνέβαινεν τὴν 185
Ἰουδαίαν ὑπὸ τῶν λῃστῶν κακοῦσθαι καὶ τῶν κωμῶν ἅπασῶν ἐμπι-
τραμένων τε καὶ διαρπαζομένων. καὶ οἱ σικάριοι δὲ καλούμενοι, 186
λῃσταί δέ εἰσιν οὗτοι, τότε μάλιστα ἐπλήθυον χρώμενοι ξιφιδίοις

§ 185 = bell. Iud. II 271.

AMWELatExc. Peiresc. Zonaras I p. 519. Eusebius hist. eccl. II 20, 2.
1 ἐκράτετο E 2 *καὶ πέμπειν] ἐκπέμπειν Eusebius *ἐτόλμων δούλους tr. M 3 *ἅλωνας MW *γρ ἅλωσ* i. marg. A ἐποφειλομένας E
4 *τελευτᾶν] ἀπολλυμένους θεωρεῖν Eusebius 5 *βία] finit Eusebius 6 i. marg. *XVII* Lat πο·ρκίου (eras. uid. υ) cod. Busb. E *διαδόχῳ M φήλικι, *i* ex ή corr. A φήλικι E 7 *οἰκούντων M 8 φίλικος, *i* ex ή corr. A φήλικος E
10 μὴ πολλὰ αὐτὸν] μήπερ αὐτῶ E τῶ ἀδελφῶ E Πάλλαντι] πάλλαντι πεισθεὶσ E συνεχώρησε post Νέρων tr. E 11 *δή] δὲ MW *ἄγων] ἔχων MW *ἐν] ἐν τῇ MW 12 οἱ — Σύρων] οἱ πρῶτοι δύο σύροι MW σύρων οἱ πρῶτοι E *Βήρυλλον] Βοῦρρον Hudson; item u. 16 *δὲ MW *οὗτος ἦν tr. MW 13 *ἐπιστολῶν om. M 15 πρὸς] εἰσ E 16 ἐπέτυχε] ἐπέτυχε πείσασ (πείσασ suppl.) A ἔπεισε E 17 ἡμῶν om. E 18 Καισάρειαν] καισάρειαν οἰκοῦντεσ E 19 γραφέντα] παρὰ τοῦ νέρωνοσ γραφέντα E τῆς om. MWE et ut uid. Lat 21 Φήστου — 22 Ἰουδαίαν om. E
23 καὶ οἱ incip. Exc, in quibus ordo uerbum alius est 24 *ἐπλήθυον MWExc *χρόμενοι Exc *ξιφειδίοις Exc et ex corr. A

παραπλησίοις μὲν τὸ μέγεθος τοῖς τῶν Περσῶν ἀκινάκαις, ἐπικαμπέσι δὲ καὶ ὁμοίαις ταῖς ὑπὸ Ῥωμαίων σίκαις καλουμέναις, ἀφ' ὧν καὶ τὴν προσηγορίαν οἱ λῃστεύοντες ἔλαβον πολλοὺς ἀναιροῦν-
187 τες. ἀναμιγνύμενοι γὰρ ἐν ταῖς ἑορταῖς, καθὼς καὶ πρότερον εἴπομεν, τῷ πλήθει τῶν πανταχόθεν εἰς τὴν πόλιν ἐπὶ τὴν εὐσέβειαν συρρεόντων οὓς βουληθεῖεν ῥᾳδίως ἀπέσφαττον, πολλάκις δὲ καὶ μεθ' ὅπλων ἐπὶ τὰς κώμας τῶν ἐχθρῶν ἀφικόμενοι διήρ-
188 παζον καὶ ἐνεπίμπρασαν. πέμπει δὲ Φῆστος δύναμιν ἱππικήν τε καὶ πεζικὴν ἐπὶ τοὺς ἀπατηθέντας ὑπό τινος ἀνθρώπου γόητος σωτηρίαν αὐτοῖς ἐπαγγελλομένου καὶ παῦλαν κακῶν, εἰ βουληθεῖεν ἕπεσθαι μέχρι τῆς ἐρημίας αὐτῷ, καὶ αὐτόν τε ἐκεῖνον τὸν ἀπατήσαντα καὶ τοὺς ἀκολουθήσαντας διέφθειραν οἱ πεμφθέντες.
189 11. Κατὰ δὲ τὸν καιρὸν τοῦτον ὁ βασιλεὺς Ἀγρίππας ᾠκοδόμησεν μεγέθει διαφέρον οἴκημα ἐν τῷ βασιλείῳ ἐν Ἱεροσολύμοις
190 πλησίον τοῦ ξυστοῦ. τὸ δὲ βασίλειον ἐγεγόνει πάλαι ὑπὸ τῶν Ἀσαμωναίου παίδων, ἐφ' ὑψηλοῦ δὲ τόπου κείμενον τοῖς κατοπτεύειν ἀπ' αὐτοῦ βουλομένοις τὴν πόλιν ἐπιτερπεστάτην παρεῖχεν τὴν θέαν, ἧς ἐφιέμενος ὁ βασιλεὺς ἐκεῖθεν ἀφεώρα καταλεί-
191 μενος τὰ κατὰ τὸ ἱερὸν πρασσόμενα. ταῦτα δὲ θεασάμενοι τῶν Ἱεροσολυμιτῶν οἱ προύχοντες δεινῶς ἐχαλέπαινον· οὐ γὰρ ἦν πάτριον τὰ κατὰ τὸ ἱερὸν ὁρώμενα κατοπτεύεσθαι καὶ μάλιστα τὰς ἱερουργίας. τοῖχον οὖν ἐγείρουσιν ἐπὶ τῆς ἐξέδρας ὑψηλόν, ἥτις
192 ἦν ἐν τῷ ἔσωθεν ἱερῷ τετραμμένη πρὸς δύσιν. οὐ μόνον δὲ τοῦ βασιλικοῦ τριπλίνου τὴν ἄποψιν οὗτος οἰκοδομηθεὶς ἀπετέμνετο, ἀλλὰ καὶ τῆς δυτικῆς στοᾶς τῆς κατὰ τὸ ἔξωθεν ἱερὸν οὔσης, ἔνθα

AMWELat Exc Peiresc. Zonaras I p. 520.

1 *ἐπικαμπέσι — 2 σίκαις om. MW *ἐπικαμπέσι — 3 ἔλαβον om. Exc 2 ὁμοίαις] ὁμοίοις E παραπλησίοις ed. pr. 4 καθὼς — εἴπομεν] καθὼς καὶ τὸ πρότερον εἴπαμεν (εἴπομεν M) MW καθὼς εἴπομεν ἤδη E, om. Exc 5 *τῶν om. MW *τῶν — 6 συρρεόντων om. Exc 6 *συρρεόντων MW *βουληθεῖεν] βουληθέντες M 7 ἀφικνούμενοι AE 8 *ἐνεπίμπρασαν] fin. Exc *πέμπει — δύναμιν] interea diversis rebus turbata provincia festus multitudinem destinauit Lat 9 ὑπό] ἀπό MWE 10 αὐτοῖς om. E *ἐπαγγελλομένου W 11 *ἕπεσθαι om. MW *αὐτῷ] αὐτῶι (sic) ἀκολουθεῖν M 14 *διάφορον MW βασιλείῳ] βασιλείῳ τῷ E 15 *δὲ] τε MW *πάλαι om. MW 16 *ἀσσαμοναίου M ἀσσαμωναίου W κατοπτεύειν ἀπ'] σκοπεύσειν ὑπ' E 18 ὑψηλοῦ E κατακείμενος — 19 πρασσόμενα] om. M τὰ κατὰ τὸ ἱερὸν πραττόμενα πάντα κατακείμενος E 19 *ταῦτα] τοῦτο Bekker δὲ om. E 20 *οὐ γὰρ — 21 ἱερὸν i. ras. A πάτριον] πάτριον οὐδὲ (οὐδὲν A) νόμιμον AE πάτριον οὐδὲ νόμιμον ἦμῖν ed. pr. 23 *τετραμμένην M 25 *ἱερὸν ἔξωθεν tr. MW

τὰς φυλακὰς οἱ Ῥωμαῖοι ταῖς ἑορταῖς ἐποιοῦντο διὰ τὸ ἱερόν. ἐπὶ 193
τούτοις ἠγανάκτησεν ὅ τε βασιλεὺς Ἀγρίππας, μάλιστα δὲ Φῆστος
ὁ ἔπαρχος, καὶ προσέταξεν αὐτοῖς καθελεῖν. οἱ δὲ παρεκάλεσαν
ἐξουσίαν αὐτοῖς δοῦναι πρεσβεῦσαι περὶ τούτου πρὸς Νέρωνα· ζῆν
γὰρ οὐχ ὑπομένειν καθαιρεθέντος τινὸς μέρους τοῦ ἱεροῦ. συγ- 194
χωρήσαντος δὲ τοῦ Φήστου πέμπουσιν ἐξ αὐτῶν πρὸς Νέρωνα
τοὺς πρώτους δέκα καὶ Ἰσμάηλον τὸν ἀρχιερέα καὶ Ἑλκίαν τὸν γα-
ζοφύλακα. Νέρων δὲ διαπράσας αὐτῶν οὐ μόνον συνέγνω περὶ τοῦ 195
πραχθέντος, ἀλλὰ καὶ ὀντιχώμησεν ἐπ' αὐτοὺς τὴν οἰκοδομίαν, τῇ
γυναικὶ Ποππαίᾳ. θεοσεβὴς γὰρ ἦν, ἐπὶ τῶν Ἰουδαίων διατρίβοι,
χαριζόμενος, ἢ τοῖς μὲν δέκα προσέταξεν ἀπιέναι, τὸν δ' Ἑλκίαν
καὶ τὸν Ἰσμάηλον ὁμηρεύσοντας παρ' ἑαυτῇ κατέσχεν. ὁ δὲ βασι- 196
λεὺς ταῦθ' ὡς ἐπύθετο δίδωσιν τὴν ἀρχιερωσύνην Ἰωσήπῳ τῷ Σί-
μωνος παιδὶ ἀρχιερέως ἐπικαλουμένῳ δὲ Καβί.

IX. 1. Πέμπει δὲ Καῖσαρ Ἀλβῖνον εἰς τὴν Ἰουδαίαν ἔπαρχον 197
Φήστου τὴν τελευτὴν πυθόμενος. ὁ δὲ βασιλεὺς ἀφείλετο μὲν τὸν
Ἰώσηπον τὴν ἱερωσύνην, τῷ δὲ Ἀνάνου παιδὶ καὶ αὐτῷ Ἀνάνῳ
λεγομένῳ τὴν διαδοχὴν τῆς ἀρχῆς ἔδωκεν. τοῦτον δὲ φασι τὸν 198
πρεσβύτατον Ἄνανον εὐτυχέστατον γενέσθαι· πέντε γὰρ ἔσχε παῖ-
δας καὶ τούτους πάντας συνέβη ἀρχιερατεῦσαι τῷ Θεῷ, αὐτὸς πρό-
τερος τῆς τιμῆς ἐπὶ μακρότατον ἀπολαύσας, ὅπερ οὐδενὶ συνέβη τῶν
καθ' ἡμᾶς ἀρχιερέων. ὁ δὲ νεώτερος Ἄνανος, ὃν τὴν ἀρχιερωσύ- 199
νην ἔφαμεν εἰληφέναι, θρασὺς ἦν τὸν τρόπον καὶ τολμητὴς διαφε-
ρόντως, αἵρεσιν δὲ μετῄει τὴν Σαδδουκαίων, οἵτινες εἰσὶ περὶ τὰς
κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς Ἰουδαίους, καθὼς ἤδη δεδηλώκα-

§ 197 = bell. Iud. II 272.

AMWELat Zonaras I p. 520. Eusebius hist. eccl. II 23 § 21, Photius bibl. p. 317b Bekker.

2 *ἠγανάκτησαν MW *indignatus* Lat μάλιστα δὲ] καὶ μάλιστα E 3 ὁ ἔπαρχος om. E *αὐτοῖς καθελεῖν] *ut opus aedificatum repente destruerent* Lat 6 αὐτῶν AME 8 διακούσας αὐτῶν] ἀκούσας E 9 οὕτως ἐᾶν tr. MW 10 Ποππαίᾳ] coni. *πομπηΐᾳ* codd. *πομπαίᾳ* E *pompeiae* Lat; cf. uita 16 ἦν] ἦν αὕτη E 11 ἀπιέναι] ed. pr. ἀπεῖναι codd. E *redire* Lat h. e. ἀνιέναι δὲ MWE 12 ὁμηρεύσαντας MWE 13 ταῦτα MWE ὡς ἐπύθετο] πυθόμενος E 14 καλουμένῳ E *καβεῖ MW *cadis* Lat *Καμὶ* supra § 16, cf. § 103 15 i. marg. η' E Πέμπει — 16 πυθόμενος habet Eusebius βασιλεὺς] ἀγρίππας E μὲν om. E 17 ἀρχιερωσύνην E 18 διαδοχὴν — ἀρχῆς] ἀρχὴν E 19 *πέντε om. Lat 20 πάντας om. E *αὐτὸς] αὐτὸς γὰρ MW αὐτὸς καὶ ed. pr. *et ipse* Lat πρότερον E 22 ὁ δὲ] incip. Eusebius et Photii excerpta 23 *ἔφαμεν] εἰπόμεν Eusebius παρειληφέναι MWEEus παραλαβὼν Photius

200 μεν. ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ Ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον διὰ τὸ τεθνάναι μὲν Φῆστον, Ἀλβῖνον δ' ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν Ἰησοῦ τοῦ λεγομένου Χριστοῦ, Ἰάκωβος ὄνομα αὐτῷ, καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν ποιησάμενος
201 παρέδωκε λευσθησομένους. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι καὶ περὶ τοὺς νόμους ἀκριβεῖς βαρέως ἤνεγκαν ἐπὶ τούτῳ καὶ πέμπουσιν πρὸς τὸν βασιλέα κρύφα παρακαλοῦντες αὐτὸν ἐπιστεῖλαι τῷ Ἀνάνῳ μηκέτι τοιαῦτα πράσσειν· μηδὲ γὰρ τὸ
202 πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. τινὲς δ' αὐτῶν καὶ τὸν Ἀλβῖνον ἀπαντήσαντα ἀπὸ τῆς Ἀλεξανδρείας ὁδοιποροῦντα καὶ διδάσκουσιν, ὡς οὐκ ἐξὸν ἦν Ἀνάνῳ χωρὶς τῆς ἐκείνου γνώμης καθίσαι συν-
203 έδριον. Ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις γράφει μετ' ὀργῆς τῷ Ἀνάνῳ ἠπειλῆσθαι παρ' αὐτοῦ δίκας ἀπειλῶν. καὶ ὁ βασιλεὺς Ἀγρίππας διὰ τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτὸν ἄρξαντα μῆνας τρεῖς Ἰησοῦν τὸν τοῦ Δαμναίου κατέστησεν.

204 2. Ἐπεὶ δ' ἦκεν ὁ Ἀλβῖνος εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν, πᾶσαν εἰσηνέγκατο σπουδὴν καὶ πρόνοιαν ὑπὲρ τοῦ τὴν χώραν
205 εἰρηνεύεσθαι τοῖς πολλοῖς τῶν σικαρίων διαφθείρας. ὁ δὲ ἀρχιερεὺς Ἀνανίας καθ' ἑκάστην ἡμέραν ἐπὶ μέγα προύκοπτε δόξης καὶ τῆς παρὰ τῶν πολιτῶν εὐνοίας τε καὶ τιμῆς ἠξιοῦτο λαμπρῶς· ἦν γὰρ χρημάτων πoριστικός· καθ' ἡμέραν γοῦν τὸν Ἀλβῖνον καὶ τὸν
206 ἀρχιερέα δώροις ἐθεράτευεν. εἶχεν δ' οἰκέτας πάνυ μοχθηρούς, οἳ συναναστρεφόμενοι τοῖς θρασυτάτοις ἐπὶ τὰς ἅλωνας πορευόμενοι τὰς τῶν ἱερέων δεκάτας ἐλάμβανον βιαζόμενοι καὶ τοὺς μὴ διδόν-

---

AMWELatZonaras I p. 521. Eusebius hist. eccl. II 23, 21. Photius bibl. p. 317b Bekker.

1 i. marg. *XVIII* Lat *τοιοῦτος*] *huius sectae* Lat 2 *δὲ* MWE Eus 3 **εἰς αὐτὸ*] *ad semetipsum* Lat 4 hanc Christi et Iacobi mentionem sunt qui insiticiam esse putent **τοῦ Χριστοῦ λεγομένου* tr. Eus 5 **ἑτέρους* om. W 6 **ἐπιεικέστεροι* cod. A Zonarae 7 **καὶ*] *καὶ τὰ* Eus 9 *γὰρ* om. E 10 *δὲ* MWE Eus *τὸν* ex *τῶν* corr. A *τὸν Ἀλβῖνον*] *τῷ ἀλβίνῳ* E 11 *ὁδοιποροῦντι* E 12 *ἦν* om. E **Ἀνάνῳ*] *ἀνῷ* (h. e. *ἀνθρώπῳ*) M **ἐκείνου*] *αὐτοῦ* Eus 14 *βασιλεὺς*] om. E *βασιλεὺς δὲ* Eus 15 **αὐτὸν ἄρξαντα*] *αὐτοῦ ἄρξαντος* Eus 16 **Ἰησοῦν — Δαμναίου*] *Ἰησοῦν τὸν Δάμνεον* Phot **δαμνέον* MW *Δαμμαίου* Eus *Μνασέα* Zon *damnaei* Lat *κατέστησεν*] fin. Eusebius et Photius 17 *ἐπεὶ δ'*] *ἐπειδὴ δὲ* MW *ἐπειδὴ* E *τὴν — πόλιν*] *ἱεροσόλυμα* E 18 *εἰσήνεγκε* E 19 *τοὺς πολλοὺς*] *πολλοὺς* MWE *plurimos* Lat 20 *ἡμέραν* om. E 21 *λαμπρῶς* om. E 22 *γοῦν*] *οὖν* MWE 23 *δὲ* MWE 24 *ἅλωνας*] *γρ τὰς ἅλωσ* i. marg. A

τας οὐκ ἀντείχοντο τύπτειν, οἵ τε ἀρχιερεῖς ὅμοια τοῖς ἐκείνου δού- 207
λοις ἔπρασσον μηδενὸς κωλύειν δυναμένου. καὶ τῶν ἱερέων τοὺς
πάλαι ταῖς δεκάταις τρεφομένους τότε συνέβαινε θνήσκειν τροφῆς
ἀπορίᾳ.

3. Πάλιν δ' οἱ σικάριοι κατὰ τὴν ἑορτήν, ἐνειστήκει γὰρ 208
αὕτη, διὰ νυκτὸς εἰς τὴν πόλιν παρελθόντες συλλαμβάνουσι ζῶντα
τὸν γραμματέα τοῦ στρατηγοῦντος Ἐλεαζάρου, παῖς δ' ἦν οὗτος
Ἀνανίου τοῦ ἀρχιερέως, καὶ δήσαντες ἐξήγαγον. εἶτα πέμψαντες 209
πρὸς τὸν Ἀνανίαν ἀπολύσειν ἔφασαν τὸν γραμματέα πρὸς αὐτόν,
εἰ πείσειεν τὸν Ἀλβῖνον δέκα δεσμώτας τοὺς ἐξ αὐτῶν ληφθέντας
ἀπολῦσαι. καὶ ὁ Ἀνανίας διὰ τὴν ἀνάγκην πείσας τὸν Ἀλβῖνον
τῆς ἀξιώσεως ἐπέτυχεν. τοῦτο μειζόνων κακῶν ἦρξεν· οἱ γὰρ λῃσταὶ 210
παντοίως ἐπεμηχανῶντο τῶν Ἀνανίου τινὰς συλλαμβάνειν οἰκείων
καὶ συνεχῶς ζωγροῦντες οὐκ ἀπέλυον πρὶν ἢ τινας τῶν σικαρίων
ἀπολάβοιεν γενομενοί τε πάλιν ἀριθμὸς οὐκ ὀλίγος ἀναθαρρήσαντες
τὴν χώραν ἅπασαν ἐκάκουν.

4. Κατὰ τοῦτον δὲ τὸν καιρὸν ὁ βασιλεὺς Ἀγρίππας μείζονα 211
τὴν Φιλιππεῖοι καλουμένην Καισάρειαν κατασκευάσας εἰς τιμὴν τοῦ
Νέρωνος Νερωνιάδα προσηγόρευσεν, καὶ θηρσὶν δὲ θέατρον
ἀπὸ πολλῶν χρημάτων κατεσκευασμένον ταῖς κατ' ἔτος θέαις ἐδω-
ρεῖτο πολλὰς εἰς τοῦτο μυριάδας ἀναλίσκων· σῖτον γὰρ ἐδίδου τῷ 212
δήμῳ καὶ ἔλαιον διένεμεν καὶ τὴν πᾶσαν δὲ πόλιν ἀνδριάντων ἀνα-
θέσεσιν καὶ ταῖς τῶν ἀρχαίων ἀποστίλοις εἰκόσιν ἐκόσμει καὶ μικροῦ
δεῖν πάντα τὸν τῆς βασιλείας κόσμον ἐκεῖ μετήνεγκεν. μῖσος οὖν
αὐτῷ παρὰ τῶν ὑπηκόων ἠύξετο διὰ τὸ περιαιρούμενον τὰ ἐκείνων
εἰς ξένην πόλιν κοσμεῖν. λαμβάνει δὲ καὶ Ἰησοῦς ὁ τοῦ Γαμαλιήλου 213

§ 208 = bell. Iud. II 273.

AMWELatExc Peiresc. Zonaras I p. 522.

1 *οἵ τε ἀρχιερεῖς] *sed etiam alii pontifices* Lat 3 *συνέβαινεν ἀποθνήσκειν M 5 δὲ MWE κατὰ — 6 αὕτη] ἑορτὴ γὰρ ἐνειστήκει E 7 δὲ MWE οὗτος ἦν tr. E 8 Ἀνανίου] ALat Ἀνάνου MWE 9 ἀπολύειν MWE *se — remissuros* Lat ἑαυτὸν E 10 *ληφθέντας, λ i. ras. M 11 Ἀνανίας] ἄνανος E πείσας] πείθει (ut uid.) E 12 τῆς — ἐπέτυχεν om. E ἦρξε κακῶν tr. E οἱ — 13 ἐπεμηχανῶντο] ἐμηχανῶντο γὰρ οἱ λησταὶ E 13 πάντως MW συλλαβεῖν MWE 15 ἀναθαρσήσαντες ME 17 βασιλεὺς om. E 18 εἰς — Νέρωνος] εἰσ τὴν τοῦ νέρωνος τιμὴν MWE 20 *κατασκευασμένον W 21 πολλὰ (σ i. ras.) A σῖτον — 22 διένεμεν] *frumenta namque populo copiosa et oleum opulenter exhibuit* Lat 22 διένειμε MW *ἀνδριάντων ἀναθέσεσιν] *statuarum pulchritudine* Lat 25 *αὐτῷ om. W τὰ] τὴν E 26 εἰς om. E γαμαλιὴλ MWE

τὴν διαδοχὴν τῆς ἀρχιερωσύνης παρὰ τοῦ βασιλέως Ἰησοῦν ἀφελομένου τὸν τοῦ Δαμναίου, καὶ διὰ τοῦτο στάσις αὐτῶν πρὸς ἀλλήλους ἐγένετο· σύστημα γὰρ τῶν θρασυτάτων ποιησάμενοι πολλάκις μέχρι λίθων βολῆς ἀπὸ τῶν βλασφημιῶν ἐξέπιπτον. ὑπερεῖχεν δὲ
214 Ἀνανίας τῷ πλούτῳ προσαγόμενος τοὺς λαμβάνειν ἑτοίμους. Κοστόβαρος δὲ καὶ Σαοῦλος αὐτοὶ καθ' αὑτοὺς ἰσχυρὰ ἀλλήλοις συνῆγον γένους μὲν ὄντες βασιλικοῦ καὶ διὰ τὴν πρὸς Ἀγρίππαν συγγένειαν εὐνοίας τυγχάνοντες, βίαιοι δὲ καὶ ἁρπάζειν τὰ τῶν ἀσθενεστέρων ἕτοιμοι. ἐξ ἐκείνου μάλιστα τοῦ καιροῦ συνέβη τὴν πόλιν ἡμῶν νοσεῖν προκοπτόντων πάντων ἐπὶ τὸ χεῖρον.

215 5. Ὡς δ' ἤκουσεν Ἄλβῖνος διάδοχον αὐτῷ Γέσσιον Φλῶρον ἐφιστήσθαι, βουλόμενος ὑπερεῖν τι τοῖς Ἱεροσολυμίταις παρεσχῆσθαι πραγμάτων τοὺς δεσμώτας, ὅσοι ἦσαν αἰτῶν κρυθήλως θανεῖν ἄξιοι. τούτους προσέταξεν ἀναιρεθῆναι, τοὺς δ' ἐκ μικρᾶς καὶ τῆς τυχούσης αἰτίας εἰς τὴν εἱρκτὴν κατατεθέντας χρήματα λαμβάνων αὐτὸς ἀπέ-
216 λυεν. καὶ οὕτως ἡ μὲν φυλακὴ τῶν δεσμωτῶν ἐκαθάρθη, ἡ χώρα δὲ λῃστῶν ἐπληρώθη.

6. Τῶν δὲ Λευιτῶν, φυλὴ δ' ἐστὶν αὕτη, ὅσοιπερ ἦσαν ὑμνῳδοὶ πείθουσι τὸν βασιλέα καθίσαντα συνέδριον φορεῖν αὐτοῖς ἐπίσης τοῖς ἱερεῦσιν ἐπιτρέψαι λινῆν στολήν· πρέπειν γὰρ αὐτοῦ τοῖς τῆς
217 ἀρχῆς χρόνοις ἔφασκον ἀφ' ὧν μνημονευθήσεται καινοποιεῖν. καὶ τῆς ἀξιώσεως οὐ διήμαρτον· ὁ γὰρ βασιλεὺς μετὰ γνώμης τῶν εἰς τὸ συνέδριον ἐπισκοπουμένων συνεχωρησεν τοῖς ὑμνῳδοῖς ἀποθεμένοις
218 τὴν πρότερον ἐσθῆτα φορεῖν λινῆν οἵαν ἠθέλησαν. μέρους δέ τινος τῆς φυλῆς λειτουργοῦντος κατὰ τὸ ἱερὸν καὶ τούτοις ἐπέτρεψεν

AMWELat Exc. Peiresc. Zonaras I p. 522.

1 *διαδοχὴν — ἀρχιερωσύνης*] *ἀρχιερωσύνην* E Ἰησοῦν] *Ἰησοῦν αὐτὴν* E 2 *Δαμνέου* MWE *Μνασέα* Zon 3 *συστήματα* E *collectionem* Lat 4 **ἐξέπιπτεν* A 5 **Κοστόβαρος δὲ*] *ὅτι κοστόβαρος* incip. Exc *custobarus* Lat 6 *δὲ* om. Exc Σαοῦλος] i. marg. A *σαλοῦσος* AMExc *σαλοῦλος* W *σάλουσος* E *saul* Lat **πλήθει* W 7 **ὄντας* M 9 *ἕτοιμοι*] fin. Exc 11 i. marg. ΛΥ Lat **ὡς — Ἄλβῖνος*] *ὅτι ἀλβῖνος ἀκούσας* incip. Exc *δὲ* MWE **Γέσσιον*] *γενέσθαι* Exc *Γέσιον* Zon 12 **ἀφικνεῖσθαι* om. Exc *ἱεροσολυμίταις* Exc 13 **προσαγαγὼν*] coni. *producens* Lat *προσαγαγὼν* codd. EExc *αὐτῷ* MWE Exc **πρόθηλοι* Exc 14 *δὲ* MWE Exc **κατατεθέντας*] *γρ. καθέντας* i. marg. A *αὐτὸς*] om. E *αὐτοῖς* Exc *ἀπέλυσε* EExc 16 *μὲν ἡ* tr. E *ἐκαθάρθη*] *ἐκενώθη* E *purgaretur* Lat *δὲ χώρα* tr. E 17 *ἐπληρώθη*] fin. Exc 18 **φυλὴ*] *φυλακὴ* A *δέ* MWE **ὅσοι περιῆσαν* M 19 **καθίσταντα* A 22 *διήμαρτε* E 23 *ἐποικομένων*] *ἀφικομένων* E 25 **τούτοις*, *ι* ex *ε* corr. m. 1 M

τοὺς ὕμνους ἐκμαθεῖν, ὡς παρεκάλουν. πάντα δ' ἦν ἐναντία ταῦτα τοῖς πατρίοις νόμοις, ὧν παραβαθέντων οὐκ ἐνῆν μὴ οὐχὶ δίκας ὑποσχεῖν.

7. Ἤδη δὲ τότε καὶ τὸ ἱερὸν ἐτετέλεστο. βλέπων οὖν ὁ δῆμος 219
ἀργήσαντας τοὺς τεχνίτας ὑπὲρ μυρίους καὶ ὀκτακισχιλίους ὄντας καὶ μισθοφορίας ἐνδεεῖς ἐσομένους διὰ τὸ τὴν τροφὴν ἐκ τῆς κατὰ τὸ ἱερὸν ἐργασίας πορίζεσθαι, καὶ χρήματα μὲν ἀπόθετα διὰ τὸν 220
ἐκ Ῥωμαίων φόβον ἔχειν οὐ θέλων, προνοούμενος δὲ τῶν τεχνιτῶν καὶ εἰς τούτους ἀναλοῦν τοὺς θησαυροὺς βουλόμενος, καὶ γὰρ εἰ μίαν τις ὥραν τῆς ἡμέρας ἐργάσαιτο, τὸν μισθὸν ὑπὲρ ταύτης εὐθέως ἐλάμβανεν, ἔπειθον τὸν βασιλέα τὴν ἀνατολικὴν στοὰν ἀνεγεῖραι. ἦν δὲ ἡ στοὰ τοῦ μὲν ἔξωθεν ἱεροῦ, κειμένη δ' ἐν φάραγγι 221
βαθείᾳ τετρακοσίων πηχῶν τοὺς τοίχους ἔχουσα ἐκ λίθου τετραγώνου κατεσκεύαστο καὶ λευκοῦ πάνυ, τὸ μὲν μῆκος ἑκάστου λίθου πήχεις εἴκοσι, τὸ δὲ ὕψος ἕξ, ἔργον Σολόμωνος τοῦ βασιλέως πρώτου δειμαμένου τὸ σύμπαν ἱερόν. ὁ βασιλεὺς δ', ἐπεπίστευτο γὰρ 222
ὑπὸ Κλαυδίου Καίσαρος τὴν ἐπιμέλειαν τοῦ ἱεροῦ, λογισάμενος πάντως μὲν ἔργον εἶναι ῥᾴδιαν δυσχερῆ δὲ τὴν κατασκευήν, ἐπὶ δὲ τῆς στοᾶς ταύτης καὶ μᾶλλον, χρόνου τε γὰρ καὶ πολλῶν χρημάτων εἰς τοὖργον δεήσειν, ἠρνήσατο μὲν περὶ τούτου δεομένοις, καταστορέσαι δὲ λευκῷ λίθῳ τὴν πόλιν οὐκ ἐκώλυσεν. Ἰησοῦν δὲ τὸν τοῦ Γαμαλιὴλ τὴν ἀρχιερωσύνην ἀφελόμενος ἔδωκεν 223
αὐτὴν Ματθίᾳ τῷ Θεοφίλου. καθ' ὃν καὶ ὁ πρὸς Ῥωμαίους πόλεμος Ἰουδαίοις ἔλαβε τὴν ἀρχήν.

X. 1. Ἀναγκαῖον δ' εἶναι νομίζω καὶ τῇ ἱστορίᾳ ταύτῃ προσ- 224
ῆκον διηγήσασθαι περὶ τῶν ἀρχιερέων, πῶς ἀρξάμενοι καὶ τίσιν

AMWELatZonaras I p. 522. Photius bibl. p. 76b et 317b Bekker.

1 ὕμνους] *νόμους* E δὲ MWE *ταῦτα om. MWLat, recte si *πάντα* in *ταῦτα* mutaris 2 *νόμοις* om. MWE fort. recte παραβαθέντων E 4 *δὲ] *δὲ καὶ* MW τετέλεστο MWE 5 *ἀργήσαντας A *τοὺς] *τούς τε* A 7 *πορίζεσθαι] *κομίζεσθαι* A *τὸν] *τῶν* W 8 *ἐκ] *ἐκ τῶν* ME 10 *ὥραν τις* tr. E εἰργάσατο E · ργάσατο A 11 *ἐλάμβανεν εὐθέως* tr. E ἔπειθον] ἔπειθόν τε AE *ἀνεγεῖραι] *ἀνεγεῖραι ἡμᾶς* MW 12 *δ' E δὲ MWE 13 *πήχεων* E *λίθων τετραγώνων MW *λίθων δὲ τετραγώνων* ed. pr. 14 *λευκῶν M 15 *σολομῶνος* MWE *salomonis* Lat 16 *ὁ* om. E *ἐπείστευτο, *πει* ex *πι* corr. A 17 *τοῦ ἱεροῦ τὴν ἐπιμέλειαν* tr. E 20 *τὸ ἔργον* E 22 *γαμαλιὴλ* E Photius p. 76 24 *Ἰουδαίοις — ἀρχήν*] *ἔλαβε τὴν ἀρχὴν τοῖς Ἰουδαίοις καὶ ἐπὶ μέγα προκεχωρήκει* E 25 abhinc excerpsit Photius *δὲ MW *προσῆκον] *προσήκειν* MW 26 *ἀρχιερέων] *ἀρχαίων* M πῶς ἀρξάμενοι] *πῶσ τε ἀρξάμενοι* MW *πῶσ τε ἤρξαντο* E *quomodo inchoauerunt* Lat

ἔξεστι τῆς τιμῆς ταύτης μεταλαμβάνειν καὶ πόσοι γεγόνασιν μέχρι
225 τῆς τοῦ πολέμου τελευτῆς. πρῶτον μὲν οὖν πάντων λέγουσιν
Ἀαρῶνα τὸν Μωυσέως ἀδελφὸν ἀρχιερατεῦσαι τῷ Θεῷ, τελευτήσαν-
τος δὲ ἐκείνου διαδέξασθαι τοὺς παῖδας εὐθὺς κἀπ' ἐκείνων τοῖς
226 ἐγγόνοις αὐτῶν διαμεῖναι τὴν τιμὴν ἅπασιν. ὅθεν καὶ πατριόν ἐστι
μηδένα τοῦ Θεοῦ τὴν ἀρχιερωσύνην λαμβάνειν ἢ τὸν ἐξ αἵματος
τοῦ Ἀαρῶνος, ἑτέρου δὲ γένους οὐδ' ἂν βασιλεὺς ὢν τύχῃ τεύξεται
227 τῆς ἀρχιερωσύνης. ἐγένοντο οὖν πάντες τὸν ἀριθμὸν ἀπὸ Ἀαρῶνος,
ὡς ἔφαμεν, τοῦ πρώτου γενομένου μέχρι Φανάσου τοῦ κατὰ τὸν
πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀρχιερέως ἀναδειχθέντος ὀγδοήκοντα
228 τρεῖς. ἐκ τούτων κατὰ τὴν ἔρημον ἐπὶ τῶν Μωυσέως χρόνων τῆς
σκηνῆς ἑστώσης, ἣν Μωυσῆς τῷ Θεῷ κατεσκεύασεν, μέχρι τῆς εἰς
Ἰουδαίαν ἀφίξεως, ἔνθα Σολόμων ὁ βασιλεὺς τῷ Θεῷ τὸν ναὸν
229 ἤγειρεν, ἀρχιεράτευσαν δεκατρεῖς. τὸ γὰρ πρῶτον ἕως τοῦ βίου
τελευτῆς τὰς ἀρχιερωσύνας εἶχον, ὕστερον δὲ καὶ παρὰ ζώντων διε-
δέχοντο. οἱ τοίνυν δεκατρεῖς οὗτοι τῶν δύο παίδων Ἀαρῶνος ὄντες
ἔγγονοι κατὰ διαδοχὴν τὴν τιμὴν παρελάμβανον. ἐγένετο δὲ αὐτῶν
ἀριστοκρατικὴ μὲν ἡ πρώτη πολιτεία, μετὰ ταύτην δὲ μοναρχία,
230 βασιλέων δὲ τρίτη. γίνεται δὲ τῶν ἐτῶν ἀριθμὸς ὧν ἦρξαν οἱ
δεκατρεῖς ἀφ' ἧς ἡμέρας οἱ πατέρες ἡμῶν ἐξέλιπον Αἴγυπτον Μωυ-
σέως ἄγοντος μέχρι τῆς τοῦ ναοῦ κατασκευῆς, ὃν Σολόμων ὁ βασι-
λεὺς ἐν Ἱεροσολύμοις ᾠκοδόμησεν, ἔτη ὀκτακόσια τριάκοντα τοῖς ἑξακοσίοις.
231 2. Μετὰ δὲ τοὺς δεκατρεῖς ἀρχιερέας ἐκείνους οἱ δέκα καὶ
ὀκτὼ τὴν ἀρχιερωσύνην ἔσχον ἀπὸ Σολόμωνος βασιλέως ἐν Ἱερο-
σολύμοις αὐτὴν διαδεξάμενοι, μέχρι οὗ Ναβουχοδονόσορος ὁ τῶν

AMWELat Zonaras I p. 522. Photius bibl. cod. 238 p. 317b Bekker.

1 *τῆς om. MW 3 μωσέως E 4 δ' E *καὶ ἀπ' MW ἐκγόνοις MWE Photius 7 δὲ] δέ τισ E 8 *τῶν ἀριθμῶν W 9 Φανάσου] γρ ἐν ἄλλοις φηνάσου i. marg. A φινεέσου E *finasum* Lat *Φαννι* aut *Φαννίτης* bell. Iud. IV 3, 8 10 στασιασάντων E *ἀναδειχθέντος ἀρχιερέως tr. MW *ὀγδοήκοντα τρεῖς] τρεῖσ καὶ ὀγδοήκοντα MW *πγ' ἔτη* Photius 11 μωσέως E 13 ἔνθα] ὅτε E σολομῶν MWE et ex corr. A ὁ βασιλεὺς om. E 14 ἠρχιεράτευσαν E *τρισκαίδεκα MW τοῦ] τῆσ τοῦ ME et ex corr. A 16 τρισκαίδεκα MWE 17 ἔγγονοι E διαδοχὰς E δὲ αὐτῶν codd. E Photius *autem hebreorum* Lat δ' ἐπ' αὐτῶν coni. 20 τρισκαίδεκα MWE μωυσέοσ E 21 *νεὼ Photius σολομῶν MWE et ex corr. A 22 δυοκαίδεκα MWE 23 τρισκαίδεκα MWE ἀρχιερεῖσ MWE οἱ om. MWE Photius οἱ δέκα καὶ ὀκτὼ] *decem et octo alii* Lat 24 σολομῶνοσ MW *σολομῶντοσ E 25 αὐτὴν διαδεξάμενοι om. E οὗ om. MWE Photius *ναβουχοδονόσορ* M Photius *ναβουχοδονόσωρ* W *ναβουχοδονόσαρος* E *nabuchodonosor* Lat

Βαβυλωνίων βασιλεὺς ἐπιστρατεύσας τῇ πόλει τὸν μὲν ναὸν ἐνέ-
τρησεν, τὸ δὲ ἔθνος ἡμῶν εἰς Βαβυλῶνα μετήγαγεν καὶ τὸν ἀρ-
χιερέα Ἰωσαδάκην αἰχμάλωτον ἔλαβεν. τούτων χρόνος τῆς ἱερω- 232
σύνης τετρακοσίων ἑξηκονταὲξ ἐτῶν ἐστι μηνῶν ἓξ ἡμερῶν δέκα
ἤδη βασιλευομένων Ἰουδαίων. μετὰ δὲ χρόνον ἐτῶν ἑλώσεως ἑβ- 233
δομήκοντα τῆς ὑπὸ Βαβυλωνίων γενομένης Κῦρος ὁ Περσῶν βασι-
λεὺς ἀπέλυσεν τοὺς ἐκ Βαβυλῶνος Ἰουδαίους ἐπὶ τὴν οἰκείαν γῆν
πάλιν καὶ συνεχώρησεν τὸν ναὸν ἀνεγεῖραι. τότε δὴ τῶν ὑποστρε- 234
ψάντων αἰχμαλώτων Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ εἰς ὢν τὴν ἀρχιερω-
σύνην λαμβάνει. λαμβάνει δ' οὗτος αὐτὸς καὶ οἱ ἔγγονοι αὐτοῦ
πεντεκαίδεκα συνάπαντες μέχρι βασιλέως Ἀντιόχου τοῦ Εὐπάτορος,
ἐπολιτεύοντο δὲ δημοκρατικῶς ἔτη τετρακόσια δεκατέσσαρα.

3. *Πρῶτος δ' Ἀντίοχος ὁ τροειρημένος καὶ ὁ στρατηγὸς* 235
αὐτοῦ Λυσίας τὸν Ὀνίαν, ᾧ Μενέλαος ἐπίκλην, παύουσι τῆς ἀρχιε-
ρωσύνης ἀπελόντες αὐτὸν ἐν Βεροίᾳ καὶ καθιστῶσιν Ἰάκιμον ἀρχιερέα,
γένους μὲν τοῦ Ἀαρῶνος, οὐκ ὄντα δὲ τῆς οἰκίας ταύτης. διὰ 236
τοῦτο καὶ Ὀνίας ὁ τοῦ τετελευτηκότος Ὀνίου ἐξαδέλφιος ὁμώνυμος
τῷ πατρὶ παραγενόμενος εἰς Αἴγυπτον καὶ διὰ φιλίας ἀφικόμενος
Πτολεμαίῳ τῷ Φιλομήτορι καὶ Κλεοπάτρᾳ τῇ γυναικὶ αὐτοῦ, πείθει
τούτους κατὰ τὸν Ἡλιοπολίτην νομὸν δειμαμένους τῷ Θεῷ ναὸν
παραπλήσιον τῷ ἐν Ἱεροσολύμοις αὐτὸν ἀρχιερέα καταστῆσαι. ἀλλὰ 237

AMWELatPhotius bibl. cod. 238 p. 317, cod. 76 p. 52 Bekker.

3 **Ἰωσαδάκην*] *Ἰωσεδέκην, ε* utrumque ex *α* corr. A *Iosedec* Lat *Ἰωσεδέκ* Photius habuisse uid. nunc corruptus *τῆς ἀρχιερωσύνης* E 3 **τετρακοσίων*] *τριακοσίων* AMPhotius, cf. X 147 **ἐτῶν* — *ἓξ* om. MW **δέκα*] *XX* Lat 5 *ἁλώσεως* post *γενομένης* tr. E 8 **καὶ συνεχώρησεν* — 10 *λαμβάνει*] *atque concessit templum aedificari. captiuis igitur remeantibus sisoa pontificatum sumpsit* Lat *ἐγεῖραι* E *τότε* — 10 *λαμβάνει*] *εἷς οὖν τῶν ἀναχθέντων αἰχμαλώτων λαμβάνει τὴν ἀρχιερωσύνην* Photius *τότε δὴ* — 10 *λαμβάνει*] *τότε τῶν ὑποστρεψάντων εἷς ὢν ὁ τοῦ αἰχμαλωτισθέντος Ἰωσεδάκου παῖς Ἰησοῦς λαμβάνει τὴν ἀρχιερωσύνην* E 9 *εἷς ὤν*] om. MW *sisoa* Lat 10 *λαμβάνει δ' οὗτος αὐτὸς*] AE et ut uid. Lat *οὗτος δὲ* MW *ἔγγονοι* MWE 11 *συνάπαντες*] *ἅπαντες* MW *σύμπαντες* E 12 *δὲ*] AELat, om. MW **τετρακόσια*] *τριακόσια* E 13 abhinc excerpsit Photius cod. 76 **δὲ* MW 15 **litt. ελόντες αὐτὸν* — *ἀρχιερέα* i. ras. m. 2 A **βερροίᾳ* ME *καὶ*] MW Photius p. 317 *καὶ τον παῖδα τῆς διαδοχῆς ἀπελάσαντες* AE Photius p. 52 *καθιστῶσιν* E *ἀντικαθιστῶσιν* Photius p. 317 *Ἰωάκειμον* E *ioachim* Lat **ἀρχιερέα*] *ἱερέα* E 17 *τοῦτο*] *τοῦτο δὲ* MW *Ὀνίας*] *ἀνανίας* APhotius *ὁ ἀνανίας* MW *νεανίας* E *ananias* Lat *ὁ Ὀνίας* Hudson, uid. XII 365sq. **τελευτηκότος* W 18 **ἀφικομένον πτολεμαίου* M 20 *ἡλιοπολίτην* MWEPhotius *νόμον* codd. ELat **τῷ*] *τοῦ* Photius 21 *ἀλλὰ* — 316, 2 *ἐδηλώσαμεν* om. EPhotius

περὶ μὲν τοῦ ἱεροῦ τοῦ κατασκευασθέντος ἐν Αἰγύπτῳ πολλάκις
ἐδηλώσαμεν. ὁ δὲ Ἰάκιμος ἔτη τρία τὴν ἀρχιερωσύνην κατασχὼν
ἐτελεύτησεν. διεδέξατο δ' αὐτὸν οὐδείς, ἀλλὰ διετέλεσεν ἡ πόλις
238 *ἐνιαυτοὺς ἑπτὰ χωρὶς ἀρχιερέως οὖσα. πάλιν δὲ οἱ τῶν Ἀσαμω-*
ναίου παίδων ἔγγονοι τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες
καὶ πολεμήσαντες Μακεδόσιν Ἰωνάθην ἀρχιερέα καθιστᾶσιν, ὃς
239 *ἦρξεν ἐνιαυτοὺς ἑπτά. τελευτήσαντος δὲ ἐξ ἐπιβουλῆς αὐτοῦ καὶ*
ἐτέρας τῆς ὑπὸ Τρύφωνος μηχανηθείσης, ὡς ἀνωτέρω που προει-
240 *ρήκαμεν, λαμβάνει τὴν ἀρχιερωσύνην Σίμων ἀδελφὸς αὐτοῦ. καὶ*
τοῦτον δὲ ὁλῳ παρὰ συμπόσιον ὑπὸ τοῦ γαμβροῦ διαφθαρέντα
διεδέξατο παῖς Ὑρκανὸς ὄνομα ὃν κατασχόντα τὴν ἱερωσύνην πλείονα
τἀδελφοῦ χρόνον ἐνιαυτῶν. τριακονταέτη δὴ τῆς τιμῆς Ὑρκανὸς ἀπο-
λαύσας τελευτᾷ γηραιὸς Ἰούδᾳ τῷ καὶ Ἀριστοβούλῳ καλουμένῳ υἱὸν
241 *διαδοχὴν καταλιπών. κληρονομεῖ δὲ καὶ τούτου ἀδελφὸς Ἀλέξανδρος,*
ὑπὸ νόσου μὲν τελευτήσαντα, τὴν ἱερωσύνην δὲ κατασχόντα μετὰ βα-
σιλείας. καὶ γὰρ διάδημα πρῶτος περιέθετο ὁ Ἰούδας, ἐνιαυτὸν ἕνα.
242 4. *Βασιλεύσας δὲ ὁ Ἀλέξανδρος καὶ ἱερατεύσας ἔτη εἰκοσιεπτὰ*
καταστρέφει τὸν βίον Ἀλεξάνδρᾳ τῇ γυναικὶ καταστῆσαι τὸν ἀρ-
χιερατευσόμενον ἐπιτρέψας. ἡ δὲ τὴν μὲν ἀρχιερωσύνην Ὑρκανῷ
δίδωσιν, αὐτὴ δὲ τὴν βασιλείαν ἔτη ἐννέα κατασχοῦσα τελευτᾷ τὸν
243 *βίον· τὸν ἴσον δὲ χρόνον τὴν ἀρχιερωσύνην ὁ παῖς αὐτῆς Ὑρκανὸς*
ἔσχεν· μετὰ γὰρ τὸν θάνατον αὐτῆς πολεμήσας πρὸς αὐτὸν ὁ ἀδελ-
244 *φὸς Ἀριστόβουλος καὶ νικήσας ἀφαιρεῖται μὲν ἐκεῖνον τὴν ἀρχήν,*
αὐτὸς δ' ἐβασίλευέ τε καὶ ἀρχιεράτευεν τοῦ ἔθνους. ἔτει δὲ τρίτῳ

AMWELatPhotius bibl. p. 31S, 52 Bekker.

1 *περὶ μὲν*] *γὰρ περὶ* MW 2 *Ἰάκιμος* ex corr. A *Ἰωάκειμος* E *ioacim* Lat 3 *δὲ* MWE *οὐδὲ εἷς* E *οὐδεὶς αὐτὸν* tr. MW 5 *ἔγγονοι* MWE Photius p. 31S, sed *ἔγγονος* Photius p. 52 6 **καὶ πολεμήσαντες*] *καὶ πολεμηθέντες καὶ πολεμήσαντες* A **Ἰωάννην* Photius p. 31S *καθιστῶσιν* E Photius 9 *ὁ ἀδελφὸς* MWE Photius **καὶ τοῦτον* — 14 *καταλιπών*] *huic quoque per dolum generi in conuiuio morienti filius successit hyrcanus. qui cum tenuisset pontificatum annis triginta unum in senectute moriens iudae qui et aristobolus nocabatur successionem sui reliquit officii* Lat 11 *ὄνομα ὃν* om. E *ὃν* eiecit Hudson **ὃν* — 14 *καταλιπών*] *ὃς τελευτῶν Ἰούδᾳ τῷ καὶ Ἀριστοβούλῳ κληθέντι καταλείπει τὴν ἀρχήν* Photius *πλείω* E 12 *τἀδελφοῦ*] *τοῦ αὐταδέλφου* E **ἐνιαυτῶν* MW *τριάκοντα* — *ἔτη*] *τριάκοντα δ' ἐν ἔτεσι* E *ἔτος* MW 14 *ἀδελφὸς*] *ἀδελφὸς βασιλεὺς* E 15 **μετὰ τῆς βασιλείας* Photius 16 *περιέθετο πρῶτος* tr. MWE Photius *ὁ* om. MWE Photius 17 **δ'* Photius **κζ'* M Photius 18 **τῇ*] *δὲ τῇ* Photius 19 **μὲν* om. M 20 *αὕτη* E *ἔτη ἐννέα*] AE Photius *ἐννέα ἔτη* tr. MW *τὸν βίον* om. E 21 *τὴν ἱερωσύνην* E 24 **δὲ* MW **ἐβασίλευέ* — *ἔθνους*] *et regnum tenuit et dei pontifex fuit* Lat **τε* om. MW **ἀρχιεράτευεν*] *ἱεράτευε* M *ἱεράτευσε* W *ἠρχιεράτευσε* E *τοῦ ἔθνους*] *τῷ θεῷ* E

τῆς βασιλείας καὶ περὶ μισὶν τοῖς ἴσοις Πομπήιος ἑλὼν καὶ τὴν
τῶν Ἱεροσολυμιτῶν πόλιν κατὰ κράτος ἑλὼν αὐτὸν μὲν εἰς Ῥώμην
μετὰ τῶν τέκνων δήσας ἔπεμψεν, τῷ δ' Ὑρκανῷ πάλιν τὴν ἀρχιε-
ρωσύνην ἀποδοὺς τὴν μὲν τοῦ ἔθνους προστασίαν ἐπέτρεψεν, διά-
δημα δὲ φορεῖν ἐκώλυσεν. ἦρξεν δὲ περὶ τοῖς ἐννέα τοῖς πρώτοις 245
ὁ Ὑρκανὸς τέσσαρα καὶ εἴκοσιν. Βαζαφράνης δὲ καὶ Πάκορος οἱ
τῆς Παρθυηνῆς δυνάσται διαβάντες τὸν Εὐφράτην καὶ πολεμή-
σαντες Ὑρκανῷ αὐτὸν μὲν ζωγρίᾳ συνέλαβον, τὸν Ἀριστοβούλου
δὲ υἱὸν Ἀντίγονον κατέστησαν βασιλέα. τρία δ' ἔτη καὶ τρεῖς 246
μῆνας ἄρξαντα τοῦτον Σόσσιός τε καὶ Ἡρώδης ἐξεπολιόρκησαν, Ἀν-
τώνιος δ' ἀνεῖλεν εἰς τὴν Ἀντιόχειαν ἀναχθέντα.

5. Τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς 247
οὐκέτι τοὺς ἐκ τοῦ Ἀσαμωναίου γένους καθίστησιν ἀρχιερεῖς, ἀλλά
τισιν ἀσήμοις καὶ μόνον ἐξ ἱερέων οὖσιν πλὴν ἑνὸς Ἀριστοβούλου
τὴν τιμὴν ἀπένεμεν. τὸν δ' Ἀριστόβουλον Ὑρκανοῦ τοῦ ὑπὸ Πάρ- 248
θων ληφθέντος υἱωνὸν ὄντα καταστήσας ἀρχιερέα τῇ ἀδελφῇ αὐ-
τοῦ συνῴκησεν Μαριάμμῃ, τὴν τοῦ πλήθους πρὸς ἑαυτὸν θηρώ-
μενος εὔνοιαν διὰ τὴν Ὑρκανοῦ μνήμην. εἶτα φοβηθείς, μὴ πρὸς
τὸν Ἀριστόβουλον πάντες ἀποκλίνωσιν, ἀνεῖλεν αὐτὸν ἐν Ἱεριχοῖ
πνιγῆναι μηχανησάμενος κολυμβῶντα, καθὼς ἤδη δεδηλώκαμεν.
μετὰ τοῦτον οὐκέτι τοῖς ἐγγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν 249
ἀρχιερωσύνην ἐτίστευσεν. ἔπραξεν δὲ ὅμοια τῷ Ἡρώδῃ περὶ τῆς
καταστάσεως τῶν ἱερέων Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ καὶ μετὰ τοῦτον
τὴν ἀρχὴν Ῥωμαῖοι τῶν Ἰουδαίων παραλαβόντες. εἰσὶν οὖν οἱ ἀπὸ 250

AMWELat Photius bibl. pp. 318 et 53 Bekker, Eusebius hist. eccl. I. 6. 2.

1 *πρὸς om. E τοῖς om. E τοῖς ἴσοις] similiter tertio Lat
2 *κατὰ κράτος] κατ' ἄκρας Photius 3 μετὰ — τέκνων om. E *δὲ MW
4 ἀπέτρεψε E 5 δὲ (ante φορεῖν)] AE Photius τε MW 6 *ὁ om. MW 6 *τέσ-
σαρα — εἴκοσιν] viginti tres Lat Βαζαφράνης] βαρζαβάνης codd. E γρ βαρ-
ζαφράνης i. marg. A barzanes Lat Βαζαφαρμάνης Photius p. 318 Φαρναβάζου
Photius p. 53 8 *ζωγρεία, ει i. ras. A παρέλαβον MWE ἔλαβον Photius
τὸν] τοῦ MWE 9 δὲ MWE Photius *τρεῖς] totidem Lat 11 δὲ
MWE Photius Ἀντιόχειαν] ἀντιόχου E ἀναχθέντα] MWE Photius ἀχθέντα
A 12 abhinc — 15 ἀπένεμεν excerpsit Eusebius 13 post τοὺς ras. 5—6
litt. E *Ἀσαμωναίων Photius p. 53 15 *τὸν] τοῦ A unde τοῦτον conie-
cerit aliquis omisso mox Ἀριστόβουλον δὲ MWE *ἀριστοβούλου A
16 *τῇ] τῆι δὲ A 17 μαριάμῃ E 20 μηχανισάμενος WE ἤδη δεδηλώ-
καμεν] εἴρηται E 21 ἐγγόνοις MWE *Ἀσαμοναίου W 22 ἔπραξεν —
24 παραλαβόντες excerpsit Eusebius ἐπὶ τῇ καταστάσει E 23 *ἱερέων]
ἀρχιερέων Eusebius *μετ' αὐτὸν Photius postea Lat 24 finit Photius
p. 53 ἀπὸ] ὑπὸ E

τῶν Ἡρώδου χρόνων ἀρχιερατεύσαντες μέχρι τῆς ἡμέρας, ἧς τὸν ναὸν καὶ τὴν πόλιν Τίτος ἑλὼν ἐπυρπόλησεν, οἱ πάντες εἴκοσι καὶ
251 ὀκτώ, χρόνος δὲ τούτων ἔτη πρὸς τοῖς ἑκατὸν ἑπτά. καὶ τινὲς μὲν αὐτῶν ἐπολιτεύσαντο ἐπί τε Ἡρώδου βασιλεύοντος καὶ ἐπὶ Ἀρχελάου τοῦ παιδὸς αὐτοῦ, μικὰ δὲ τὴν τούτων τελευτὴν ἀριστοκρατία μὲν ἦν ἡ πολιτεία, τὴν δὲ προστασίαν τοῦ ἔθνους οἱ ἀρχιερεῖς ἐπεπίστευντο. περὶ μὲν οὖν τῶν ἀρχιερέων ἱκανὰ ταῦτα.

252 XI. 1. Γέσσιος δὲ Φλῶρος ὁ πεμφθεὶς Ἀλβίνου διαδοχὴς ὑπὸ Νέρωνος πολλῶν ἐνεπίασε κακῶν Ἰουδαίους. Κλαζομένιος μὲν ἦν τὸ γένος οὗτος, ἐπήγετο δὲ γυναῖκα Κλεοπάτραν, ὃι' ἣν φίλην οὖσαν Ποππαίας τῆς Νέρωνος γυναικὸς καὶ πονηρίᾳ μηδὲν αὐτοῦ δια-
253 φέρουσαν τῆς ἀρχῆς ἐπέτυχεν. οὕτω δὲ περὶ τὴν ἐξουσίαν ἐγένετο κακὸς καὶ βίαιος, ὥστε διὰ τὴν ὑπερβολὴν τῶν κακῶν Ἀλβῖνον
254 ἐπήνουν ὡς εὐεργέτην Ἰουδαῖοι· ἐκεῖνος μὲν γὰρ ἐπεκρύπτετο τὴν πονηρίαν καὶ τοῦ μὴ πανταπασιν κατάφωρος εἶναι προυνόει, Γέσσιος δὲ Φλῶρος καθαπερ εἰς ἐπίδειξιν πονηρίας πεμφθεὶς τὰς εἰς τὸ ἔθνος ἡμῶν παρανομίας ἐπόμπευεν, μήτε ἁρπαγῆς παραλιπὼν
255 μηδένα τρόπον μήτε ἀδίκου κολάσεως· ἦν γὰρ ἀτεγκτος μὲν πρὸς ἔλεον, παντὸς δὲ κέρδους ἄπληστος, ᾧ γε μηδὲ τὰ τελεῖστα τῶν ὀλίγων διέφερεν. ἀλλὰ καὶ λῃσταῖς ἐκοινώνησεν· ἀδεῶς γὰρ οἱ πολλοὶ
256 τοῦτ' ἔπραττον ἐχέγγυον παρ' ἐκείνου τὴν σωτηρίαν ἐπὶ τοῖς μέρεσιν ἔχειν πεπιστευκότες. καὶ τοῦτο μέτριον οὐκ ἦν. ἀλλ' οἱ δυστυχεῖς Ἰουδαῖοι μὴ δυνάμενοι τὰς ὑπὸ τῶν λῃστῶν γινομένας πορθήσεις

§ 252 = bell. Iud. II 277.

AMWE Lat Zonaras I p. 523. Exc. Peiresc. Photius bibl. pp. 318, 317a Bekker.

1 *ἧς] ἧς εἰσ MW ἡ Hudson et ut uid. Photii libri praeter C 2 ἑλὼν] AE Lat Photius ἑλῶν MW *πεπρακται MW π΄ καὶ ρ΄ Photius 4 βασιλεύσαντος E 5 *τούτων] τοῦ παιδὸς A τούτου Zedler 6 *ἡ πολιτεία ἦν tr. M 7 πεπίστευντο MWE ἐπιστεύοντο Photius, qui hic finit 8 Γέσσιος] γάϊος W: utrum γάϊσσιος an γάϊσσιος sit in E non prorsus certum: incip. Exc 9 ἐνέπλησε E *μὲν] δὲ ed. pr. 10 *τὸ om. Exc κλεοπάτραν γυναῖκα tr. MWE Exc *δι' ἣν om. M 11 Ποππαίας] πομπήιας codd. Lat Exc πομπαίας E *πονηρία Exc 12 οὕτως E 14 *Ἰουδαῖοι] οἱ ἰουδαῖοι Exc ἰουδαῖοι ὡσ εὐεργέτην tr. E *ἐπεκέκρυπτο MWExc 15 *κατάφορος Exc Γέσσιος — 16 Φλῶρος] φλῶρος δὲ E 18 *ἅτεγκτος Exc 19 *παντὸς — 20 ἐκοινώνησεν] *et omnibus lucris auarus qui etiam in latronum direptione communicabat* Lat 21 τοῦτο MWE *ἐχέγγυον — 22 πεπιστευκότες] *cum illius promissione de sua salute minime cogitarent* Lat *ἐπὶ — 22 ἔχειν] εἶναι Exc 22 *πεπιστευκότασ W 23 ὑπὸ] ἀπὸ E *λιστῶν Exc

ὑπομένειν ἠναγκάζοντο τῶν ἰδίων ἠθῶν ἐξανιστάμενοι φεύγειν ἅπαντες, ὡς κρεῖττον ὁπουδήποτε παρὰ τοῖς ἀλλοφύλοις κατοικίσοντες. καὶ τί δεῖ πλείω λέγειν; τὸν γὰρ πρὸς Ῥωμαίους πόλεμον 257
ὁ καταναγκάσας ἡμᾶς ἅρασθαι Φλώρος ἦν κρεῖττον ἡγουμένους ἀθρόους ἢ κατ' ὀλίγον ἀπολέσθαι. καὶ δὴ τὴν ἀρχὴν ἔλαβεν ὁ πόλεμος δευτέρῳ μὲν ἔτει τῆς ἐπιτροπῆς Φλώρου, δωδεκάτῳ δὲ τῆς Νέρωνος ἀρχῆς. ἀλλ' ὅσα μὲν δρᾶν ἠναγκάσθημεν ἢ παθεῖν ὑπε- 258
μείναμεν, ἀκριβῶς γνῶναι πάρεστιν τοῖς βουλομένοις ἐντυχεῖν ταῖς ὑπ' ἐμοῦ περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις γεγραμμέναις.

XII. 1. Παύσεται δ' ἐνταῦθά μοι τὰ τῆς ἀρχαιολογίας μεθ' 259
ἣν καὶ τὸν πόλεμον ἠρξάμην γράφειν. περιέχει δ' αὕτη τὴν ἀπὸ πρώτης γενέσεως ἀνθρώπου παράδοσιν μέχρι ἔτους δωδεκάτου τῆς Νέρωνος ἡγεμονίας τῶν ἡμῖν συμβεβηκότων τοῖς Ἰουδαίοις κατά τε 260
τὴν Αἴγυπτον καὶ Συρίαν καὶ Παλαιστίνην, ὅσα τε πεπόνθαμεν ὑπὸ Ἀσσυρίων τε καὶ Βαβυλωνίων, τίνα τε Πέρσαι καὶ Μακεδόνες διατεθείκασιν ἡμᾶς, καὶ μετ' ἐκείνους Ῥωμαῖοι· πάντα γὰρ οἶμαι μετ' 261
ἀκριβείας συντεταχέναι. τηρῆσαι δὲ πεπείραμαι καὶ τὴν τῶν ἀρχιερέων ἀναγραφὴν τῶν ἐν δισχιλίοις ἔτεσι γενομένων. ἀπλανῆ δὲ πεποίημαι καὶ τὴν περὶ τοὺς βασιλεῖς διαδοχὴν τάς τε πράξεις αὐτῶν καὶ τὰς πολιτείας ἀπαγγέλλων μοναρχῶν τε δυναστείας, ὡς αἱ ἱεραὶ βίβλοι περὶ πάντων ἔχουσι τὴν ἀναγραφήν· τοῦτο γὰρ ποιήσειν ἐν ἀρχῇ τῆς ἱστορίας ὑπεμνήμην. λέγω δὴ θαρσήσας ἤδη, 262
διὰ τὴν τῶν προτεθέντων συντέλειαν, ὅτι μηδεὶς ἂν ἕτερος ἡδυνήθη θελήσας μήτε Ἰουδαῖος μήτε ἀλλόφυλος τὴν πραγματείαν ταύτην οὕτως ἀκριβῶς εἰς Ἕλληνας ἐξενεγκεῖν· ἔχω γὰρ ὁμολογού- 263

AMWELat Exc. Peiresc.

1 *ἠνάγκαζον MW *ἐθῶν A *sollemnitatibus* Lat *ἐξανιστάμενοι (ἐξιστάμενοι Exc) ἠθῶν tr. MW Exc 2 ὁπουδήποτε] δέ που δήποτε E ὁποιδήποτε Exc *κατοικήσαντες MW 3 *καὶ — λέγειν om. Lat 4 *ἡγούμενος MW Exc Lat 5 ἀθρόους MWE Exc *καὶ δὴ — 7 ἀρχῆς excerpsit Photius 6 *μὲν om. Exc 7 *δρᾶν om. MW Exc 9 γεγραμμέναις om. E 10 *Παύσεται] *ponam terminum* Lat *δὲ MW Exc 11 γράφειν] fin. Exc *δὲ MW 12 μέχρις E 13 ἡμῖν om. E 14 *τε om. A 15 τε] δὲ E *Μακεδόνες] μακεδόνες δεινὰ (δεινὰ suppl. A) AE 16 Ῥωμαῖοι] ῥωμαῖοι τὸ ὕστατον E litt. οἶμαι — 17 συντεταχέναι i. ras. m. 2 A μετὰ MWE 17 *ἀκριβείας] ἀκριβείασ ἀπάσης A 18 γινομένων E 19 *περὶ τὴν tr. MW *διαδοχήν] διαδοχήν τε καὶ ἀγωγὴν A *litt. τε καὶ ἀγωγὴν τὰσ — 20 καὶ τὰσ i. ras. m. 2 A 22 ἐπηγγειλάμην τῆσ ἱστορίασ tr. MWE ἱστορίας] ἱστορίασ ὃ καὶ πεποίηκα E δὴ] δὲ MWE 23 litt. διὰ — προτεθέντων i. ras. m. 2 A ἀνακεφαλαίωσιν καὶ i. ras. m. 2 A *ἀνακεφαλαίωσιν καὶ συντέλειαν E 25 ἔχω γὰρ ὁμολογούμενον] ἐγὼ γὰρ ὡμολογούμην MWE

μενον παρὰ τῶν ὁμοεθνῶν πλεῖστον αὐτῶν κατὰ τὴν ἐπιχώριον παιδείαν διαφέρειν καὶ τῶν Ἑλληνικῶν δὲ γραμμάτων ἐσπούδασα μετασχεῖν τὴν γραμματικὴν ἐμπειρίαν ἀναλαβών, τὴν δὲ περὶ τὴν
264 προφορὰν ἀκρίβειαν πάτριος ἐκώλυσεν συνήθεια. παρ' ἡμῖν γὰρ οὐκ ἐκείνους ἀποδέχονται τοὺς πολλῶν ἐθνῶν διαλέκτων ἐκμαθόντας διὰ τὸ κοινὸν εἶναι νομίζειν τὸ ἐπιτήδευμα τοῦτο μόνον οὐκ ἐλευθέροις τοῖς τυχοῦσιν ἀλλὰ καὶ τῶν οἰκετῶν τοῖς θέλουσι, μόνοις δὲ σοφίαν μαρτυροῦσιν τοῖς τὰ νόμιμα σαφῶς ἐπισταμένοις καὶ
265 τὴν τῶν ἱερῶν γραμμάτων δύναμιν ἑρμηνεῦσαι δυναμένοις. διὰ τοῦτο πολλῶν πονησάντων περὶ τὴν ἄσκησιν ταύτην μόλις δύο τινὲς ἢ τρεῖς κατώρθωσαν καὶ τῶν πόνων τὴν ἐπικαρπίαν εὐθὺς ἔλαβον.
266 ὅπως δ' οὐκ ἐν ἐπιφθόνῳ γένοιτο καὶ περὶ γένους τούτου καὶ περὶ τῶν κατὰ τὸν βίον πράξεων βραχέα διεξελθεῖν ὡς ἔχω ξῶντας ἢ τοὺς ἐλέγξοντας ἢ τοὺς μαρτυρήσοντας.

267 Ἐπὶ τούτοις δὲ καταπαύσω τὴν ἀρχαιολογίαν βιβλίοις μὲν εἴκοσι περιειλημμένην, ἓξ δὲ μυριάσι στίχων, κἂν τὸ θεῖον ἐπιτρέπῃ κατὰ περιδρομὴν ὑτομνήσω πάλιν τοῦ τε πολέμου καὶ τῶν συμβεβηκότων ἡμῖν μέχρι τῆς νῦν ἐνεστώσης ἡμέρας, ἥτις ἐστὶν τρισκαιδεκάτου
268 μὲν ἔτους τῆς Δομετιανοῦ Καίσαρος ἀρχῆς, ἐμοὶ δ' ἀπὸ γενέσεως πεντηκοστοῦ τε καὶ ἕκτου. προῄρημαι δὲ συγγράψαι κατὰ τὰς ἐμετέρας δόξας τῶν Ἰουδαίων ἐν τέσσαρσι βίβλοις περὶ θεοῦ καὶ τῆς οὐσίας αὐτοῦ καὶ περὶ τῶν νόμων, διὰ τί κατ' αὐτοὺς τὰ μὲν ἔξεστιν ἡμῖν ποιεῖν, τὰ δὲ κεκώλυται.

AMWELatEusebius hist. eccl. III, 10, 7.

1 *ὁμοεθνῶν] ἀεθνῶν M litt. ὐτῶν κατὰ — 3 γραμματικὴν ὲμπει i. ras. m. 2 A *ἐπιχώριον] ἐπιχώριον καὶ παρ' ἡμῖν A 2 γραμμάτων] γραμμάτων καὶ ποιητικῶν μαθημάτων πολλὰ A γραμμάτων καὶ ποιητικῶν μαθημάτων E 4 *ἐκώλυσεν, σ suppl. uid. A in sequentibus plura habuit E, quae quidem in Busbekiano maximam partem euanuerunt 5 *litt. τασ καὶ — 7 ἐθέλουσι i. ras. A *ἐκμαθόντας] ἐκμαθόντασ καὶ γλαφυρότητι λέξεων τὸν λόγον ἐπικομψεύοντας A 6 τοῦτο μόνον post ἐλευθέροις tr. E ἐλευθέρων MW, de E non constat 7 *τοῖς om. MW ἐθέλουσι A 10 τινὲς δύο tr. MWE 11 *καὶ om. W 12 δὲ MW litt. ποιτο καὶ — 13 ἕως i. ras. m. 2 A γένοιτο] γένοιτο οὐδὲ σκιὰν τοῖς πολλοῖς φανήσεται A περὶ om. MW 15 δὲ om. E βίβλοις MWE 17 τε om. E 18 ἐφεστώσης E δὲ MWE 20 τε om. MWE προῄρημαι] abbinc usque ad finem excerpsit Eusebius *κατὰ] καὶ MW 21 βιβλίοις E 22 *τῶν νόμων] τῶν θείων νόμων i. ras. m. 2 A

Subscriptiones: φλαυίου (φλ' A) ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας κ' AM τέλος φλαβίου ἰωσήπου τῆς ἰουδαϊκῆς ἀρχαιολογίας W

Ἰωσήπου βίος.

1. Ἐμοὶ δὲ γένος ἐστὶν οὐκ ἄσημον, ἀλλ' ἐξ ἱερέων ἄνωθεν καταβεβηκός. ὥσπερ δ' ἡ παρ' ἑκάστοις ἄλλη τίς ἐστιν εὐγενείας ὑπόθεσις, οὕτως παρ' ἡμῖν ἡ τῆς ἱερωσύνης μετουσία τεκμήριόν ἐστιν γένους λαμπρότητος. ἐμοὶ δ' οὐ μόνον ἐξ ἱερέων ἐστὶν τὸ 2
γένος, ἀλλὰ καὶ ἐκ τῆς πρώτης ἐφημερίδος τῶν εἰκοσιτεσσάρων, πολλὴ δὲ κἀν τούτῳ διαφορά, καὶ τῶν ἐν ταύτῃ δὲ φυλῶν ἐκ τῆς ἀρίστης. ὑπάρχω δὲ καὶ τοῦ βασιλικοῦ γένους ἀπὸ τῆς μητρός· οἱ γὰρ Ἀσαμωναίου παῖδες, ὧν ἔγγονος ἐκείνη, τοῦ ἔθνους ἡμῶν ἐπὶ μήκιστον χρόνον ἠρχιεράτευσαν καὶ ἐβασίλευσαν. ἐρῶ δὲ τὴν δια- 3
δοχήν· ὁ πρωτόκλητος ἡμῶν Σίμων ὁ Φελλὸς ἐπικαλούμενος, οὗτος ἐγένετο καθ' ὃν καιρὸν ἠρχιεράτευσεν Σίμωνος ἀρχιερέως ὁ παῖς, ὃς πρῶτος ἀρχιερέων Ὑρκανὸς ὠνομάσθη. γίνονται δὲ τῷ Φελλῷ 1
Σίμωνι παῖδες ἔντεκα· τούτων ἐστὶν Ματθίας ὁ Ἠφαίου λεγόμενος· οὗτος ἠγάγετο πρὸς γάμον θυγατέρα Ἰωνάθου ἀρχιερέως τοῦ πρώτου ἐκ τῶν Ἀσαμωναίου παίδων γένους ἀρχιερατεύσαντος τοῦ ἀδελφοῦ

PRAMW Exc Peiresc.

Ἰωσήπου βίος] PRA περὶ ἰωσήπου καὶ γένους αὐτοῦ καὶ πολιτείας MW ἐκ τοῦ λόγου τοῦ ἐπιγραφομένου περὶ γένους ἰωσήπου καὶ πολιτείας praemittunt Exc 1 ἐμοὶ] incip. Exc δὲ] δὴ W, om. Exc ἄσημον P¹ ἀλλ' P 2 καταβεβηκός P δ' ἡ] δὴ PAW δὲ RM ἐστι συγγενείας AMW Exc 3 οὕτω MW Exc τεκμήριον] μέγα τεκμήριον MW Exc 4 δὲ MW Exc 5 ἐφημερίδας Exc 6 πολλὴ — 7 ἀρίστης om. MW δὲ s. P κἀν τούτῳ] καὶ αὐτῶν Exc δὲ om. AM Exc 7 ἀρίσ|στης P¹ ὑπάρχων P δὲ om. R οἱ γὰρ — 322, 7 Ἀγρίππας om. Exc 8 ἀσωμαναίου P ἔγγονος MW 9 μήκιστον P χρόνον om. M ἀρχιεράτευσαν RAMW huius genealogiae tempora valde corrupta esse apparet 10 ἡμῶν] ἦν ἐμοὶ AMW 11 ἀρχιεράτευσε RM ὁ ἀρχιερέως παῖς tr. R ἀρχιερέσως P¹ 12 γίνεται P 13 ἐστὶν Ματθίας] δὲ ματθίας ἐστὶν R ἐστὶν εἰσ ματθίασ A εἰσ ἐστι ματθίασ MW Ἠφαίου] ἠφιλίου R ἠφίλιου, i. marg. γρ ἠφιλίου A ἠφλίου M ἠφλίου W

Σίμωνος τἀρχιερέως, καὶ γίνεται παῖς αὐτῷ Ματθίας ὁ Κυρτὸς
5 *ἐπικληθεὶς ἄρχοντος Ὑρκανοῦ τὸν πρῶτον ἐνιαυτόν. τούτου γίνεται*
Ἰώσηπος ἐνάτῳ ἔτει τῆς Ἀλεξάνδρας ἀρχῆς, καὶ Ἰωσήπου Ματθίας
βασιλεύοντος Ἀρχελάου τὸ δέκατον, Ματθία δὲ ἐγὼ τῷ πρώτῳ
τῆς Γαΐου Καίσαρος ἡγεμονίας. ἐμοὶ δὲ παῖδες εἰσὶν τρεῖς. Ὑρκανὸς 5
6 *μὲν ὁ πρεσβύτατος ἔτει τετάρτῳ τῆς Οὐεσπασιανοῦ Καίσαρος ἡγε-*
μονίας, ἑβδόμῳ δὲ Ἰοῦστος, ἐνάτῳ δὲ Ἀγρίππας. τὴν μὲν τοῦ
γένους ἡμῶν διαδοχήν, ὡς ἐν ταῖς δημοσίαις δέλτοις ἀναγεγραμ-
μένην εὗρον, οὕτως παρατίθεμαι τοῖς διαβάλλειν ἡμᾶς πειρωμένοις
χαίρειν φράσας. 10

7 2. *Ὁ πατὴρ δέ μου Ματθίας οὐ διὰ μόνην τὴν εὐγένειαν*
ἐπίσημος ἦν, ἀλλὰ πλέον διὰ τὴν δικαιοσύνην ἐπηνεῖτο, γνωριμώ-
τατος ὢν ἐν τῇ μεγίστῃ πόλει τῶν παρ' ἡμῖν τοῖς Ἱεροσολυμίταις.
8 *ἐγὼ δὲ συμπαιδευόμενος ἀδελφῷ Ματθίᾳ τοὔνομα, γενόμενοι γὰρ*
μοι γνήσιοι ἐξ ἀμφοῖν τῶν γονέων, εἰς μεγάλην παιδείας προ- 15
9 *κοπὴν ἐλπίδοσιν μνήμῃ τε καὶ συνέσει δοκῶν διαφέρειν, ἔτι δ' ἀν-*
τίπαις ὢν περὶ τεσσαρεσκαιδέκατον ἔτος διὰ τὸ φιλογράμματον
ὑπὸ πάντων ἐπῃνούμην συνιόντων ἀεὶ τῶν ἀρχιερέων καὶ τῶν τῆς
πόλεως πρώτων ὑπὲρ τοῦ παρ' ἐμοῦ περὶ τῶν νομίμων ἀκριβέ-
10 *στερόν τι γνῶναι. περὶ δὲ ἑκκαίδεκα ἔτη γενόμενος ἐβουλήθην τῶν* 20
παρ' ἡμῖν αἱρέσεων ἐμπειρίαν λαβεῖν· τρεῖς δ' εἰσὶν αὗται, Φαρι-
σαίων μὲν ἡ πρώτη, καὶ Σαδδουκαίων ἡ δευτέρα, τρίτη δ' Ἐσση-
νῶν, καθὼς πολλάκις εἴπομεν· οὕτως γὰρ ᾤμην αἱρήσεσθαι τὴν

PRAMW Exc Peiresc.

1 *σίμονος* P *τοῦ ἀρχιερέως* RAMW 3 *ἐννάτῳ* W *ἀλεξάνδρας, ας* i. ras. m. 2 P 4 *βασιλεύοντος* PR *ματθίου* R i. marg. *γρ ματθίου* A 5 *παῖδες εἰσὶ* codd. *ὑρκάνος* P 6 *οὐεσπασινοῦ, ν* i. ras. *οῦ* ex *υ* corr. P *τοῦ οὐεσπασιανοῦ* M 7 *ἐννάτῳ* W *ἀγρίπας* PR *μὲν*] *μὲν οὖν* RAMWExc fort. recte 8 *ἡμῶν* om. Exc *δημοσίοις* Exc 9 *οὕτω* WExc 9 *παρατίθεμε* P 10 *φράσας*] *ἐάσας* Exc 11 *εὐγένειαν* P 12 *διὰ τὴν δικαιοσύνην πλέον* tr. R *πλέω* MWExc *δικαιωσύνην* P *γνωριμώτερος* MW *γνωριμότερος* Exc 13 *ἱεροσολυμίταις, ι* ex *ει* corr. P *Ἱεροσολύμοις* Lowthius 14 *συνπαιδευόμενος* P *ἐγεγόνει* R 11 *ἀμοῖν* P *τῶν* ex *τοῖν* corr. R 16 *μνήμει* W *δὲ* MWExc *ἀντίπαις*] *ἄρα παῖς* RAMWExc 17 *περὶ — ἔτος* om. Exc *περὶ*] *περὶ τὸ* R *τεσσαρεσκεδέκατον* P 19 *πρώτων τῆς πόλεως* tr. Exc *ὑπὲρ τοῦ*] *ὑπὲρ τῶν* P *ὑπ' αὐτοῦ* R, om. MWExc 20 *ἑκκαίδεκα δὲ* tr. AMWExc *ἑξκαίδεκα, ξ* et *αί* i. ras. P *τῶν* om. A 21 *δὲ* MWExc *εἰσὶ* Exc *αὗται* om. Exc 22 *μὲν ἡ πρώτη* om. Exc *σαδουκέων* P *σαδουκαίων* R *ἡ δευτέρα* om. Exc *τρίτη δ'* om. Exc *δ'*] *δὲ* R *δὲ ἡ* MW *ἐσσηναίων* Exc 23 *καθὼς — εἴπομεν* om. Exc *καθὰ* MW *πολλάκις* P *εἴπωμεν* P *οὕτω* MWExc *ὠ·μην* P *ὠόμην* RAMW Exc *αἱρεῖσθαι* MWExc

ἀρίστην, εἰ πάσας καταμάθοιμι. σκληραγωγήσας οὖν ἐμαυτὸν καὶ 11
πολλὰ πονηθεὶς τὰς τρεῖς διῆλθον, καὶ μηδὲν τὴν ἐντεῦθεν ἐμπειρίαν
ἱκανὴν ἐμαυτῷ νομίσας εἶναι πυθόμενός τινα Βάννουν ὄνομα κατὰ
τὴν ἐρημίαν διατρίβειν, ἐσθῆτι μὲν ἀπὸ δένδρων χρώμενον, τροφὴν
δὲ τὴν αὐτομάτως φυομένην προσφερόμενον, ψυχρῷ δὲ ὕδατι τὴν
ἡμέραν καὶ τὴν νύκτα πολλάκις λουόμενον πρὸς ἁγνείαν, ζηλωτὴς
ἐγενόμην αὐτοῦ. καὶ διατρίψας παρ' αὐτῷ ἐνιαυτοὺς τρεῖς καὶ τὴν 12
ἐπιθυμίαν τελειώσας εἰς τὴν πόλιν ὑπέστρεφον. ἐννεακαιδέκατον
δ' ἔτος ἔχων ἠρξάμην τε πολιτεύεσθαι τῇ Φαρισαίων αἱρέσει κατα-
κολουθῶν, ἣ παραπλήσιός ἐστι τῇ παρ' Ἕλλησιν Στωϊκῇ λεγομένῃ.

3. Μετ' εἰκοστὸν δὲ καὶ ἕκτον ἐνιαυτὸν εἰς Ῥώμην μοι συνέ- 13
πεσεν ἀναβῆναι διὰ τὴν λεχθησομένην αἰτίαν· καθ' ὃν χρόνον
Φῆλιξ τῆς Ἰουδαίας ἐπετρόπευεν ἱερεῖς τινας συνήθεις ἐμοὶ καλοὺς
κἀγαθοὺς διὰ μικρὰν καὶ τὴν τυχοῦσαν αἰτίαν δήσας εἰς τὴν Ῥώμην
ἔπεμψε λόγον ὑφέξοντας τῷ Καίσαρι. οἷς ἐγὼ πόρον εὑρέσθαι 14
βουλόμενος σωτηρίας, μάλιστα δὲ πυθόμενος ὅτι καίπερ ἐν κακοῖς
ὄντες οὐκ ἐπελάθοντο τῆς εἰς τὸ θεῖον εὐσεβείας, διατρέφοιντο δὲ
σύκοις καὶ καρύοις, ἀφικόμην εἰς τὴν Ῥώμην πολλὰ κινδυνεύσας
κατὰ θάλασσαν. βαπτισθέντος γὰρ ἡμῶν τοῦ πλοίου κατὰ μέσον 15
τὸν Ἀδρίαν περὶ ἑξακοσίους τὸν ἀριθμὸν ὄντες ὅτε ὅλης τῆς νυκτὸς
ἐνηξάμεθα, καὶ περὶ ἀρχομένην ἡμέραν ἐπιφανέντος ἡμῖν κατὰ
θεοῦ πρόνοιαν Κυρηναϊκοῦ πλοίου φθάσαντες τοὺς ἄλλους ἐγώ τε
καί τινες ἕτεροι περὶ ὀγδοήκοντα σύμπαντες ἀνελήφθημεν εἰς τὸ
πλοῖον. διασωθεὶς δ' εἰς τὴν Δικαιάρχειαν, ἣν Ποτιόλους Ἰταλοὶ 16

PRAMW Exc Peiresc.

1 οὖν] γ' οὖν RAMW Exc 3 βαννοῦν R βανοῦν AMW Exc ὀνόματι Exc 4 τὴν ἔρημον R τροφὴν — 5 προσφερόμενον om. MW 6 πολλακις Exc ἁγνείαν ex ἁγένειαν corr. uid. R 8 πόλην Exc 9 δ' om. MW Exc τε seclusit Bekker; sed fort. post λεγομένῃ u. 10 aliquid excidit τῇ] τῆ· P 10 ἣ om. P fort. recte Ἕλλησι RAMW Exc et ex corr. P στωικῇ P¹ στοϊκῇ W 11 εἰκοσ|στὸν P¹ 12 διὰ τὴν — αἰτίαν] διαιτίαν τινά· ἐστι δε αὕτη Exc τὴν εκθησομένην P 13 φίλιξ P φίληξ R φίλιξ, ι ex η corr. A ἐπετρόπευσεν P καλοὺς] καλούς τε Exc 14 δήσας αἰτίαν tr. MW Exc fort. recte 15 ἔπεμψεν A¹W ἐγὼ] αὐτῶ P εὔρασθαι P 16 δὲ] δὲ καὶ Exc 17 ἐξελάθοντο RAMW Exc litt. εισ τὸ θειον εὐ i. ras. P 18 καρίοις PW ἀφεικομ·ην P ἀφικόμειν Exc τὴν om. RAMW Exc πολλὰ] πολλάκισ MW Exc 19 θαλασαν P θάλατταν MW θάλατ$^{\tau}$ Exc βαπτησθέντοσ Exc 20 τὸν om. MW Exc Ἀδρίαν] ανδριον P ἑξακόσιοι MW Exc 21 περὶ] μέχρι MW Exc 22 κυρηναικου P φθάσαντοσ RMW Exc 23 ἑταῖροι R ὀγδοήκοντα] $\overline{\text{Π}}$ Exc litt. συμπ i. ras. P 24 διασωθεὶς δ'] διασωθὲν MW Exc δικαιαρχίαν PRA¹MW Exc

καλοῦσιν, διὰ φιλίας ἀφικόμην Ἀλιτύρῳ, μιμολόγος δ' ἦν οὗτος μάλιστα τῷ Νέρωνι καταθύμιος Ἰουδαῖος τὸ γένος, καὶ δι' αὐτοῦ Ποππαίᾳ τῇ τοῦ Καίσαρος γυναικὶ γνωσθεὶς προνοῶ ὡς τάχιστα παρακαλέσας αὐτὴν τοὺς ἱερεῖς λυθῆναι. μεγάλων δὲ δωρεῶν πρὸς τὴ εὐεργεσίᾳ ταύτῃ τυχὼν παρὰ τῆς Ποππαίας ὑπέστρεφον ἐπὶ τὴν οἰκείαν.

17 4. Καταλαμβάνω δ' ἤδη νεωτερισμῶν ἀρχὰς καὶ πολλοὺς ἐπὶ τῇ Ῥωμαίων ἀποστάσει μέγα φρονοῦντας. καταστέλλειν οὖν ἐπειρώμην τοὺς στασιώδεις καὶ μετανοεῖν ἔτειθον ποιησαμένους πρὸ ὀφθαλμῶν πρὸς οὓς πολεμήσουσιν, ὅτι Ῥωμαίων οὐ κατ' ἐμπειρίαν μόνον πολεμικήν, ἀλλὰ καὶ κατ' εὐτυχίαν ἐλαττοῦνται· καὶ μὴ προ-
18 τετῶς καὶ παντάπασιν ἀνοήτως πατρίσι καὶ γενεαῖς καὶ σφίσιν
19 αὐτοῖς τὸν περὶ τῶν ἐσχάτων κακῶν κίνδυνον ἐπάγειν. ταῦτα δ' ἔλεγον καὶ λιταρῶς ἐνεκείμην ἀποτρέπων. δυστυχέστατον ἡμῖν τοῦ πολέμου τὸ τέλος γενήσεσθαι προορώμενος. οὐ μὴν ἔπεισα· πολὺ γὰρ ἡ τῶν ἀπονοηθέντων ἐπεκράτησεν μανία.

20 5. Δείσας οὖν, μὴ ταῦτα συνεχῶς λέγων διὰ μίσους ἀφικοίμην καὶ ὑποψίας ὡς τὰ τῶν πολεμίων φρονῶν καὶ κινδυνεύσω ληφθεὶς ὑπ' αὐτῶν ἀναιρεθῆναι, ἐχομένης ἤδη τῆς Ἀντωνίας, ὅπερ ἦν
21 φρούριον, εἰς τὸ ἐνδοτέρω ἱερὸν ὑπεχώρησα. μετὰ δὲ τὴν ἀναίρεσιν Μαναήμου καὶ τῶν πρώτων τοῦ ληστρικοῦ στίφους ὑπεξελθὼν τοῦ
22 ἱεροῦ πάλιν τοῖς ἀρχιερεῦσιν καὶ τοῖς πρώτοις τῶν Φαρισαίων συν-ὑετρίβον. φόβος δ' οὔτι μέτριος εἶχεν ἡμᾶς ὁρῶντας τὸν μὲν

PRAMW Exc Peiresc.

1 *αλιτυρω, λι* ex *ν* corr. uid. P *ἀλιτύρῳ* AM *δὲ* MW Exc 2 *μάλιστα*] Bekker *καλιστα* P *κάλλιστα* RAMW Exc *Ἰουδαῖος τὸ γένος* om. Exc *δι' αὐτοῦ*] *διὰ τούτου* MW 3 *Ποππαίᾳ*] coni. *ποπλια* P *πομπηίᾳ* RAMW Exc *γνωρισθεὶς* W Exc *προνοῶν* Exc 4 *δὲ* om. MW Exc *πρὸς τῇ*] *πρώτῃ* MW *πρὸς τῇ — 5 ταύτῃ*] *ταύτῃ εὐεργεσίᾳ πρώτῃ* Exc 5 *Ποππαίας*] *ποπλιας* P *πομπήας* RAMW Exc *παρὰ τῆσ πομπήασ τυχὼν* tr. M *ὑπεστρεφων* P *ἐπὶ τὰ οἰκεῖα* R 6 *οἰκείαν* fin. Exc 7 *καταλαμβάνω*] *καταλαβὼν* MW *δὲ* MW 8 *μεγαλοφρονοῦντασ* W *οὖν* om. MW *επιρωμην* P 9 *στασιωδεισ* P *ποιησομένουσ* (*π* ex *τ* corr. P) PR 11 *μόνην* AMW *ἀλλὰ* om. P *καὶ* om. R *εὐτυχίαν*] *εὐτυχειαν* P *εὐτυχίαν πάντεσ* R 12 *πατράσι* R 13 post *κακῶν* eras. ut uid. *κα* P *ἐπάγειν, ει* ex *ω* corr. P *δὲ* MW 14 *λιτ·αρῶσ* P *δυσχερέστατον* MW 15 *μὴν, ν* i. ras. 3 litt. P 16 *ἐνεκράτησεν* P 17 *οὖν*] *γ' οὖν* A *ταῦτα συνεχῶς*] *ταυταρυνεχωσ, ρ* ex *σ* corr., ut dubites, utrum uolucrit librarius P *μισουσ αφικοιμην* P 18 *φρονῶν, ῶ* ex *εῖ* corr. R *καὶ* om. MW 20 *ἐνδότερον* R *ἐνδοτέρω* M 21 *μαναήμου* RM *ληστικοῦ* P 22 *ἱεροῦ*] *στιφουσ* P *φαρισαιων* P 23 *δὲ* W *οὔτι*] *οὐκέτι* AMW

δῆμον ἐν τοῖς ὅπλοις, αὐτοὶ δ' ὄντες ἐν ἀπόρῳ, τί ποιήσομεν, καὶ τοὺς νεωτεριστὰς παύειν οὐ δυνάμενοι, προδήλου δ' ἡμῖν τοῦ κινδύνου παρεστῶτος, συγκατανεύειν μὲν αὐτῶν ταῖς γνώμαις ἐλέγομεν, συνεβουλεύομεν δὲ μένειν ἐφ' αὑτῶν, καὶ τοὺς πολεμίους ἐπελθόντας ἐᾶν, ἵνα τοῦ δικαίως ἀναιρεῖν ὅπλα πίστιν εὔρωνται. ταῦτα δ' 23
ἐπράττομεν ἐλπίζοντες οὐκ εἰς μακρὰν Κέστιον μετὰ μεγάλης δυνάμεως ἀναβάντα παύσειν τὸν νεωτερισμόν.

6. Ὁ δ' ἐπελθὼν καὶ συμβαλὼν μάχῃ ἐνικήθη πολλῶν τῶν 24
μετ' αὐτοῦ πεσόντων. καὶ γίνεται τὸ Κεστίου παῖσμα συμφορὰ τοῦ σύμπαντος ἡμῶν ἔθνους· ἐπήρθησαν γὰρ ἐπὶ τούτῳ μᾶλλον οἱ τὸν πόλεμον ἀγαπήσαντες καὶ νικήσαντες τοὺς Ῥωμαίους εἰς τέλος ἤλπισαν προσγενομένης καὶ ἑτέρας τινὸς τοιαύτης αἰτίας· οἱ τὰς 25
περὶξ τῆς Συρίας πόλεις κατοικοῦντες τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους συλλαμβάνοντες σὺν γυναιξὶ καὶ τέκνοις ἀνῄρουν οὐδεμίαν αὐτοῖς αἰτίαν ἐπικαλεῖν ἔχοντες· οὔτε γὰρ ἐπὶ Ῥωμαίων ἀποστάσει νεώτερόν τι περφρονήκεσαν οὔτε πρὸς αὐτοὺς ἐκείνους ἐχθρὸν ἢ ἐπίβουλον. Σκυθοπολῖται δὲ πάντων ἀσεβέστατα καὶ παρανομώτατα 26
διεπράξαντο· ἐπελθόντων γὰρ αὐτοῖς Ἰουδαίων ἔξωθεν πολεμίων τοὺς παρ' αὐτοῖς Ἰουδαίους ἐβιάσαντο κατὰ τῶν ὁμοφύλων ὅπλα λαβεῖν, ὅπερ ἐστὶν ἡμῖν ἀθέμιτον, καὶ μετ' ἐκείνων συμβαλόντες ἐκράτησαν τῶν ἐπελθόντων· ἐπειδὴ δ' ἐνίκησαν, ἐκλαθόμενοι τῆς πρὸς τοὺς ἐνοίκους καὶ συμμάχους πίστεως πάντας αὐτοὺς διεχρήσαντο πολλὰς μυριάδας ὄντας. ὅμοια δ' ἔπαθον καὶ οἱ Δα- 27
μασκὸν Ἰουδαῖοι κατοικοῦντες. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐν τοῖς περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις διεληλύθαμεν.

PRAMW

1 *αὐτοὶ δ'*] *αὐτοῖς* MW *ὄντες*] *οντες, ο* ex *ε* corr. P *ὄντες δὲ* MW 2 *δὲ* MW 3 *συγκατανεύειν* R 4 *ἀπελθόντας* RAMW 5 *ἐᾶν* om. MW 5 *ἵνα* — 6 *ἐπράττομεν*] *ἰατουδικαιωσαντερεινοπλαπιστινευρωνται: τανταδεπραττομεν* P *τοὺς δικαίους ἀναιρεῖν ὅπλα πίστιν εὕρωνται· ταῦτα δ' ἔπραττον τοῦτο μὲν* R. *τοὺς δικαίους ἀναιρεῖν· τοῦτο μὲν* MW, om. A 6 *Κέστιον*] *κεσσιον* P *γέσσιον* AMW 7 *παυσιν* P 8 *δὲ* MW *ἐπελθὼν*] *επελοων* P *πολλω* P *τῶν* om. R 9 *τὸ*] *τοῦ* MW *Κεστίου*] *γεσσίου* AM *γεσγίου* W *τὸ παῖσμα* MW 10 *σύμπαντος*] *παντὸς* A *ἡμῖν* R *επιρθησαν* P *τουτο* P 12 *προσγινομένης* P *καὶ ἑτέρας τινὸς*] *τινὸσ ἑτέρασ* MW 13 *περιξ*, *ι* s. m. 1 P *τοισ* P *ἰουδαιοισ* P 14 *γυναιξει, ει* ex *ι* corr. P *οὐδεμίαν*] *μηδεμίαν* MW 15 *αἰτίαν, αἰ* i. ras. ex *ἑτ* corr. uid. P 16 *αὐτοὺς*] *αὐτοὺσ ἢ* M 19 *τοὺς*] *τοισ* sic P 20 *λαμβάνειν* W 21 *ἐπιδη* P *δὲ* MW 23 *δὲ* MW *Δαμασκὸν*] *δαμασκων* P *τὴν δαμασκὸν* RAMW 25 *τοῦ*] *τοντου, ον* ex *ων* corr. P *ἰουδαϊκοῦ, ουδ* ex *ου* corr. A *βίβλοις* om. MW

τῶν δ' αἰτῶν ἐπεμνήσθην βουλόμενος παραστῆσαι τοῖς ἀναγινώσκουσιν, ὅτι οὐ προαίρεσις ἐγένετο τοῦ πολέμου πρὸς Ῥωμαίους Ἰουδαίοις, ἀλλὰ τὸ πλέον ἀνάγκη.

28 7. Νικηθέντος οὖν, ὡς ἔφαμεν, τοῦ Κεστίου, τῶν Ἱεροσολυμιτῶν οἱ πρῶτοι θεασάμενοι τοὺς μὲν λῃστὰς ἅμα τοῖς νεωτεροποιοῖς εὐπορουμένους ὅπλων, δείσαντες δ' αὐτοὶ μὴ ἄκοντες καθεστηκότες ἐπιχείριοι γένωνται τοῖς ἐχθροῖς, ὃ καὶ μετὰ ταῦτα συνέβη, καὶ πυθόμενοι τὴν Γαλιλαίαν οὕτω πᾶσαν Ῥωμαίων ἀφεστάναι,
29 μέρος δ' αὐτῆς ἠρημεῖν ἔτι, πέμπουσιν ἐμὲ καὶ δύο ἄλλους τῶν ἱερέων καλοὺς κἀγαθοὺς ἄνδρας, Ἰώζαρον καὶ Ἰούδαν, πείσοντας τοὺς πονηροὺς καταθέσθαι τὰ ὅπλα καὶ διδάξοντας, ὡς ἔστιν ἄμεινον τοῖς κρατίστοις τοῦ ἔθνους αὐτὰ τηρεῖσθαι. ἔγνωστο δὲ τούτοις ἀεὶ μὲν ἔχειν τὰ ὅπλα πρὸς τὸ μέλλον ἕτοιμα, περιμένειν δέ, τί πράξουσιν Ῥωμαῖοι, μαθεῖν.

30 8. Λαβὼν οὖν ἐγὼ τὰς ἐντολὰς ταύτας ἀφικόμην εἰς τὴν Γαλιλαίαν. καὶ Σεπφωρίτας μὲν οὐκ ἐν ὀλίγῳ περὶ τῆς πατρίδος ἐγὼν καθεστῶτας εὗρον, διαφυλάσαι κεκρικότων αὐτὴν τῶν Γαλιλαίων διὰ τὴν πρὸς Ῥωμαίους ἐκείνων φιλίαν καὶ ὅτι Κεστίῳ Γάλλῳ τῷ τῆς Συρίας ἡγεμονεύοντι δεξιάν τε καὶ πίστιν προτει-
31 νειαν. ἀλλὰ τούτους μὲν ἐγὼ πάντας ἀπήλλαξα τοῦ φόβου πείσας ὕστερ αὐτῶν τὰ πλήθη καὶ ἐπιτρέψας ὅσα καὶ θέλουσι διαπέμπεσθαι διὰ τοὺς ἐν Δώροις οἰκείους ὁμηρεύοντας Κεστίῳ. τὰ δὲ Δῶρα πόλις ἐστὶν τῆς Φοινίκης. τοὺς ἐν Τιβεριάδι δὲ κατοικοῦντας εὗρον ἤδη ὅπλα κεχωρηκότας διὰ αἰτίαν τοιαύτην·

32 9. Στάσεις τρεῖς ἦσαν κατὰ τὴν πόλιν, μία μὲν ἀνδρῶν εὐσχη-
33 μόνων, ἦρχε δ' αὐτῆς Ἰούλιος Κάπελλος. οὗτος δὴ καὶ οἱ σὺν αὐτῷ πάντες Ἡρῴδης ὁ Μιαροῦ καὶ Ἡρῴδης ὁ τοῦ Γαμάλου καὶ Κομ-

---

PRAMW

1 δὲ MW 2 προαιρεσεισ P *προαίρεσις, ισ* i. ras. A *προαιρέσει* MW 4 *κεσσίον* PA¹ *γεσσίον* MW et ex corr. A *ἱεροσολυμειτων* P 6 δὲ RAMW *καθεστῶτες* MW 8 *πνυθανόμενοι* MW 9 litt. *μερο* i. ras. P δὲ AMW *ηρεμῆν* P *καλοὺς*] *καὶ καλοὺς* R 10 *Ἰώζαρον*] *ἰωάζαρον* RA *ἰάζωρον* MW *πισοντασ* P 13 *τούτοις ἀεὶ*] *τουτοπισα* P *τοῦτο πεῖσαι* R *μὲν*] *ἐμὲ μὲν* MW 14 *μαθεῖν* suspectum 15 *υποθικασ* P *αφεικομην* P 16 *σεπφωρεῖτ̃* MW 18 *Κεστίῳ*] *καὶ σεννίου*, i. marg. *γρ γεσσίω* A *σεννίῳ* MW, cf. bell. Iud. II 510 (18, 11) 19 *προτινειαν* P *προτείνει* MW 20 *πάντας*] *παντὸς* coni. *απηλλαξα* P *πισασ* P 21 *ἐπιστρεψασ* P *ὅσα καὶ*] *ὁσάκισ* RMW *ὁσάκι* A 22 *διὰ*] *πρὸς* ed. pr. *Κεστίῳ*] *γεσσίου* A 23 *τιβεριαδι* P *κατοικοντεσ* P 26 *ἦρχε*] *ἤρχετο* P *δὲ* MW *καπελλοσ* α ex ω corr. P *δὴ*] *δὲ* coni. 27 *ἡρῴδησ* A ut adsolet hic et infra *Γαμάλου*] *γάμου* MW *κόμψοσ* et *κόμψου* A¹

υἱὸς ὁ τοῦ Κομβοῦ· Κρίσπος γὰρ ἀδελφὸς αὐτοῦ τοῦ μεγάλου βασι-
λέως γενόμενος ποτε ἔπαρχος ἐν ταῖς ἰδίαις κτήσεσιν ἐτύγχανεν
πέραν τοῦ Ἰορδάνου· πάντες οὖν οἱ προειρημένοι κατὰ τὸν καιρὸν 34
ἐκεῖνον ἐμμένειν συνεβούλευον τῇ πρὸς τοὺς Ῥωμαίους καὶ τὸν
βασιλέα πίστει. τῇ γνώμῃ δ' οὐ συνηρέσκετο Πιστὸς παραγόμενος
ὑπὸ Ἰούστου τοῦ παιδός· καὶ γὰρ ἦν φύσει πως ἐπιμανής. ἡ δεν- 35
τέρα δὲ στάσις ἐξ ἀσημοτάτων συνεστήκυῖα πολεμεῖν ἔκρινεν. Ἰοῦ- 36
στος δ' ὁ Πιστοῦ παῖς ὁ τῆς τρίτης μερίδος πρῶτος ὑπεκρίνετο
μὲν ἐνδοιάζειν πρὸς τὸν πόλεμον, νεωτέρων δ' ἐπεθύμει πραγμάτων
ἐκ τῆς μεταβολῆς οἰόμενος δύναμιν ἑαυτῷ περιποιήσειν. παρελθὼν 37
οὖν εἰς μέσους διδάσκειν ἐπειρᾶτο τὸ πλῆθος, ὡς ἡ πόλις ἀεὶ τῆς
Γαλιλαίας ἄρξειεν ἔκ γε τῶν Ἡρῴδου χρόνων· τοῦ πατρὸς αὐτοῦ τὴν Σεπφωριτῶν πολιτ τ
Τιβεριέων ὑπακούειν, ἀποβαλεῖν δὲ τὸ πρωτεῖον αὐτοὺς μηδὲ ἐπὶ
τοῦ βασιλέως Ἀγρίππα τοῦ πατρός, διαμεῖναι δὲ καὶ μέχρι Φήλικος
προεσταμένου τῆς Ἰουδαίας. νῦν δὲ ἔλεγεν αὐτοὺς ἠτυχηκέναι 38
τῷ νεωτέρῳ δωρεὰν Ἀγρίππᾳ δοθέντας ὑπὸ Νέρωνος· ἄρξαι γὰρ
εὐθὺς τὴν μὲν Σέπφωριν, ἐπειδὴ Ῥωμαίοις ὑπήκουσεν, τῆς Γαλι-
λαίας, καταλυθῆναι δὲ παρ' αὐτοῖς τήν τε βασιλικὴν τράπεζαν καὶ
τὰ ἀρχεῖα. ταῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ κατὰ βασιλέως 39
Ἀγρίππα λέγων ὑπὲρ τοῦ τὸν δῆμον εἰς τὴν ἀπόστασιν ἐρεθίσαι,
προσετίθει νῦν εἶναι καιρὸν ἀραμένους ὅπλα καὶ Γαλιλαίους συμ-
μάχους προσλαβόντας, ἄρξειν γὰρ αὐτῶν ἑκόντων διὰ τὸ πρὸς τοὺς

PRAMW

2 ἔξαρχος MW 3 ἴωρδανου P κερον P 5 πιστι P τῇ om. MW et fort. corruptela subest δὲ MW Πιστὸς] i. marg. γρ πρίσκος A παραγόμενος] Dindorf παραγενόμενος codd.; παραγόμενος iam Hudson nonnisse uid. 6 τοῦ om. MW ἐπιφανής MW 7 στασεις P ἀσημοτατωσυνεστικνῖα P 8 δ' ὁ] δον P ὁ MW Πιστοῦ] πίστου A^1 i. marg. γρ πρίσκου A ὑπεκρίνατο W 9 ἐνδοιαζειν, οι i. ras. M ἐνδυαζιν P δὲ MW επιθυμει P 10 αὐτῶ MW περιποιησιν P 11 ἐπιρατο P ἀεὶ] ἐστὶν ἀεὶ PA ἐστὶ MW 12 ἄρξειεν] αρξεν P ἄρξειε· δὲ A ἄρξειέ τε M ἀρξειέν τε W γε] τε RMW 13 τὴν, ἡ in ὁ corr. uid. A Σεπφωριτῶν] εμφωριτων P 14 τιβεριαιων P ἀποβαλεῖν] coni. ἀποβάλλειν codd πρωτιον P πρῶτον MW αὐτοὺς] αὐτοῖο PRA ἐπὶ] εση P 15 ἀγρίππου, ου i. ras. A φίλικος, ι ex ή corr. A φίλικος R 16 προϊσταμένου MW ἔλεγον MW 17 δοθέντος RMW ὑπὸ] ὑπὸ τοῦ MW 18 σεπφωριμεπιδη P ὑπήκουσεν] ὑπικουσεν P 19 δὲ] τε MW 20 ἀρχεῖα] Hudson αρχια P ἀρχαῖα RAMW ταῦτα] πάντα R πολλὰ om. P κατὰ] κατὰ τοῦ MW 21 ἀγρίππου, ου i. ras. A εἰς] πρὸς M ἀποστασίαν A 22 εἶναι] εισναι P κερον P συμμάχους γαλιλαίους tr. M 23 προσλαβόντας, προσ s. M ἄρξει P ἄρχειν coni. γὰρ suppl. M τὸ πρὸς om. MW

Σεπφωριτας μῖσος ὑπάρχειν αὐτοῖς. ὅτι τὴν πρὸς Ῥωμαίους πίστιν
διαφυλάσσουσιν. μεγάλῃ χειρὶ πρὸς τὴν ὑπὲρ αὐτῶν τιμωρίαν τρα-
40 *πέσθαι. ταῦτα λέγων προετρέψατο τὸ πλῆθος· ἦν γὰρ ἱκανὸς*
ἐμμαγωγεῖν καὶ τῶν ἀντιλεγόντων τὰ βέλτιω περιεῖναι γοητείᾳ καὶ
ἀπάτῃ τῇ διὰ λόγων· καὶ γὰρ οὐδ' ἄπειρος ἦν παιδείας τῆς παρ' 5
Ἕλλησιν, ᾗ Θαρρῶν ἐπεχείρησεν καὶ τὴν ἱστορίαν τῶν πραγμάτων
τούτων ἀναγράφειν, ὡς τῷ λόγῳ τούτῳ περιεσόμενος τῆς ἀληθείας.
41 *ἀλλὰ περὶ μὲν τούτου τοῦ ἀνδρός, ὡς φαῦλος τὸν βίον ἐγένετο καὶ*
ὡς οὐ τῷ ἀδελφῷ μικροῦ δεῖν κατασυρὴς αἴτιος ἐπῆρξεν, τοσ-
42 *ούτου τοῦ λόγου δηλώσομεν. τότε δὲ πείσας ὁ Ἰοῦστος τοὺς πολίτας* 10
ἀναλαβεῖν τὰ ὅπλα πολλοὺς δὲ καὶ μὴ θελήσαντας ἀναγκάσας. ἐξελ-
θὼν σὺν πᾶσιν τούτοις ἐμπίπτησιν τάς τε Γαδαρηνῶν καὶ Ἱππηνῶν
κώμας, αἳ δὴ μεθόριοι τῆς Τιβεριάδος καὶ τῆς τῶν Σκυθοπολιτῶν
γῆς ἐτύγχανον κείμεναι.
43 10. *Καὶ Τιβεριὰς μὲν ἐν τοιούτοις ἦν. τὰ περὶ Γίσχαλα δὲ* 15
εἶχε τὸν τρόπον τοῦτον· Ἰωάννης ὁ τοῦ Ληουεῖ τῶν πολιτῶν τινας
ὁρῶν διὰ τὴν ἀποστασίαν τὴν ἀπὸ Ῥωμαίων μέγα φρονοῦντας κατ-
44 *έχειν αὐτοὺς ἐπειρᾶτο καὶ τὴν πίστιν ἠξίου διαφυλάττειν. οὐ μὴν*
ἠδυνήθη· καίτοι πάνυ προθυμούμενος· τὰ γὰρ πέριξ ἔθνη, Γαδαρηνοί
καὶ βαραγαναῖοι καὶ Τύριοι, πολλὴν ἀθροίσαντες δύναμιν καὶ τοῖς 20
Γισχάλοις ἐπιτεσόντες λαμβάνουσι τὰ Γισχάλα κατὰ κράτος. καὶ πυρ-
45 *πολήσαντες εἶτα δὲ προσκατασκάψαντες εἰς τὴν οἰκείαν ἀνέζευξαν.*
Ἰωάννης δὲ ἐπὶ τούτῳ παροξυνθεὶς ὁπλίζει πάντας τοὺς μετ' αὐτοῦ
*καὶ συμβαλὼν τοῖς προειρημένοις ἔθνεσιν * τά τε Γίσχαλα κρείττονα*
πάλιν ἀνακτίσας τείχεσιν ὑπὲρ ἀσφαλείας τῆς εἰς ὕστερον ὠχύρωσεν. 25

PRAMW

1 *σεπφοριτασμεισσοσ* P *ὑπάρχον* Dindorf *ὑπάρξειν* coni. 2 *τράπεσθαι* MW 3 *τὸ* iteratum P 4 *δημαγωγῆρ* P *βελτίω* sic M *γοητεία* P 5 *οὐδὲ* MW *παιδιασ* P 6 *επεχηρησεν* P 7 *ἀναγραφειν* P *τοῦτο* W 8 *τοῦ* om. P 9 *ὡσ]* *ω* P *μεικρον* P 10 *ὁ* om. RAMW 12 *συμπασιν* P *ἐμπιμπλησιν* P *ἐκπίπρησι* R *καὶ ἰοππηνῶν* R 14 *ετυγχανον* P *κείμενοι* R 15 *τιβεριασ* P *ἐν τούτοισ* AMW *γησχαλα* P 16 *εἶχε· Α ληουει* P *λεύϊον* R *λ·ευι, ε* ex *ο* corr. A *ληουὲ* MW *ὁρῶν τινὰσ* tr. R 17 *μεγαλοφρονοῦντασ* MW 18 *πίστην* P *διαφυλαττιν* P 19 *καιτοπτανυθμομενοσ* P *Γαδαρηνοὶ]* *γαδαρηνὴ* R *γαδπρόασοι* M *γαδ' πρόσσοι* W 20 *βαραγαναῖοι]* *βαραγανεοι* P *βαραγενεῖοι* R *παραγενδοι* M *παραγανέοι* W *γαβαραγαναῖοι* ed. pr. *Γαβαρηνοί Σωγαναῖοι* Gagnierus et Hudson *αθροισαντεσ* P 21 *ἐπισπεσόντεσ* P *ἐπεισπεσόντεσ* RA *καὶ* om. MW 22 *εἶτα]* *ἔπειτα* R *δὲ]* *δὲ καὶ* RAMW *προκατασκάψαντεσ* RMW *οἰκείαν ἔζευξαν* R 23 *δ'* R *τούτῳ]* *τοντο* P *τούτοισ* R *οπλειζει* P 24 *κατὰ κράτοσ ἐνίκησε* post *ἔθνεσι* add. R *τε]* *δὲ* R *κρείττονα]* *κριττονα* P, om. M 25 *ανακτείσασ* W *τιχεσιν* P *ασφαλιασ* P

11. Γάμαλα δὲ πίστει τῇ πρὸς Ῥωμαίους ἐνέμεινε δι' αἰτίαν 46
τοιαύτην· Φίλιππος ὁ Ἰακείμου παῖς ἔπαρχος δὲ τοῦ βασιλέως
Ἀγρίππα, σωθεὶς παρὰ δόξαν ἐκ τῆς ἐν Ἱεροσολύμοις βασιλικῆς
αὐλῆς πολιορκουμένης καὶ διαφυγών, εἰς ἕτερον ἐνέπεσε κίνδυνον,
ὥστε ὑπὸ Μαναήμου καὶ τῶν σὺν αὐτῷ λῃστῶν ἀναιρεθῆναι. δι- 47
κώλυσαν δὲ Βαβυλώνιοί τινες συγγενεῖς αὐτοῦ ἐν Ἱεροσολύμοις ὄντες
πρᾶξαι τοὺς λῃστὰς τὸ ἔργον. ἐτιμείνας οὖν ἡμέρας τέσσαρας ὁ
Φίλιππος ἐκεῖ τῇ πέμπτῃ φεύγει περιθετῇ χρησάμενος κόμῃ τοῦ
μὴ κατάδηλος γενέσθαι, καὶ παραγενόμενος εἴς τινα τῶν ἑαυτοῦ
κωμῶν κατὰ τοὺς ὅρους Γάμαλα τοῦ φρουρίου κειμένην πέμπει
πρός τινας τῶν ὑπ' αὐτὸν προστάσσων ὡς αὐτὸν ἀφικέσθαι * τὴν
Φιλίππου. ταῦτα δ' αὐτὸν ἐννοούμενον ἐμποδίζει τὸ θεῖον ἐπὶ συμ- 48
φέροντι· μὴ γὰρ τούτου γενομένου πάντως ἂν ἀπωλώλει· πυρετοῦ
δὴ κατασχόντος αὐτὸν ἐξαίφνης γράψας ἐπιστολὰς τοῖς παισὶν
Ἀγρίππᾳ καὶ Βερενίκῃ δίδωσιν τῶν ἐξελευθέρων τινὶ κομίζειν πρὸς
Οὔαρον. ἦν δ' οὗτος κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ τὴν βασιλείαν 49
διοικῶν κατασησάντων αὐτὸν τῶν βασιλέων· αὐτοὶ γὰρ εἰς Βηρυτὸν
ἀφικνοῦντο ὑπαντῆσαι βουλόμενοι Κεστίῳ. λαβὼν οὖν Οὔαρος τὰ 50
παρὰ Φιλίππου γράμματα καὶ πυθόμενος αὐτὸν διασεσῶσθαι βα-
ρέως ἤνεγκεν, ἀχρεῖος τὸ λοιπὸν αὐτὸς νομίζων φανεῖσθαι τοῖς
βασιλεῦσιν ἀφικομένου τοῦ Φιλίππου. προαγαγὼν οὖν εἰς τὸ πλῆ-
θος τήν τε ἐπιστολὰς κομίζοντα καὶ πλαστογραφίαν ἐπικαλέσας
ψεύδεσθαί τε φήσας αὐτὸν ἀπαγγείλαντα Φίλιππον ἐν τοῖς Ἱερο-
σολύμοις μετὰ τῶν Ἰουδαίων Ῥωμαίοις πολεμεῖν ἀπέκτεινεν. μὴ 51
λυσιτελήσαντος δὴ τοῦ ἐξελεύθερος Φίλιππος ἀπορῶν τὴν αἰτίαν

PRAMW

1 *πίστει*] *πιστι* P *πιστὴ* R *τῇ* om. R *ενεμειναι* P 2 *Ἰακείμου*] *ἰωακείμου* R *ὠακείμου*, s. m. 1, ει ex ι corr. A *ἰακίμου* W 3 *ἀγρίππου*, ου ex α corr. A 5 *μαναήμου* R *διεκολυσαν* P 7 *τεσσαρες* P (fort. ex δ' ortum) 8 *φευγη* P *περιθέτῃ* ex *περιθετῆι* corr. A *κώμῃ* R 10 *κειμένη* PMW 11 *αὐτὸν*, ὸν ex ῶ corr. R *αὐτοῦ* PAMW *τὴν Φιλίππου ταῦτα δ' αὐτὸν*] *τὸν φίλιππον δὲ ταῦτα* ed. pr. *τὴν Φιλίππου* om. Dindorf 12 *δὲ* RAMW *αὐτῶν* W 13 *παντοσ* P *ἀπολώλει* PAMW 14 *ἐξεφνησ* P *ἐπιστολὴν* R 15 *Βερενίκῃ*] *βερινικη* P *βερνίκης* R *βερνίκη* MW *διλωσιν* P *κομειζειν* P 16 *Οὔαρον*] *Νόαρος* bell. Iud. II 481 (18, 6) *οὗτοσ δὲ ἦν* tr. M *δὲ* W *κερον* P 17 *αὐτοῦ*] *αυτον* P 18 *Κεστίῳ*] *γεσσίωι* A *Οὔαρος*] *ὁ οὔαροσ* RAMW 19 *παρὰ*] *περι* P *παρὰ τοῦ* MW 20 *ἀχρεῖος*] *αχρει* P *λυπον* P *φανισθαι* P 21 *οὖν* om. MW 22 *κομίσοντα* P *κομίσαντα* RMW *πλαστογραφεῖν* MW 23 *ψεύδεσθαι*] *ψευδεστε* P *ψευδέσ* R *αυτον, ο* ex corr. P *ἀπαγγελοῦντα* MW *ἐν τοῖσ ἱεροσολύμοισ φίλιππον* tr. A *τοῖς* om. R 24 *μετὰ — Ῥωμαίοις* om. P *απεκτινεν* P 25 *δὴ*] *δὲ* MW

δεύτερον ἐκπέμπει μετ' ἐπιστολῶν πάλιν τὸν ἀπαγγελοῦντα πρὸς
αὐτόν, τί τὸ συμβεβηκὸς εἴη τῷ ἀποσταλέντι, δι' ὃ βραδύνειεν.
52 καὶ τοῦτον δὲ παραγενόμενον ὁ Οὔαρος συνοφαντήσας ἀνεῖλεν· καὶ
γὰρ ἐπὶ τῶν ἐν Καισαρείᾳ Σύρων ἐτύγχανε μέγα φρονεῖν, ἀναιρε-
θήσεσθαι μὲν λεγόντων ἐπὶ Ῥωμαίων τὸν Ἀγρίππαν διὰ τὰς ὑπὸ
Ἰουδαίων ἁμαρτίας, λήψεσθαι δ' αὐτὸν τὴν ἀρχὴν ἐκ βασιλέων ὄντα·
καὶ γὰρ ἦν ὁμολογούμενος ὁ Οὔαρος βασιλικοῦ γένους ἔγγονος Σοέ-
53 μου τοῦ περὶ τὸν Λίβανον τετραρχοῦντος. διὰ τοῦτ' οὖν ὁ Οὔαρος
τυφούμενος τὰς μὲν ἐπιστολὰς παρ' ἑαυτῷ κατέσχεν μιχαιόμενος
μὴ ἐντυχεῖν τοῖς γράμμασι τὸν βασιλέα, τὰς ἐξόδους δὲ πάσας
ἐφρούρει, μὴ διαδράς τις ἀπαγγείλειε τῷ βασιλεῖ τὰ πραττόμενα.
καὶ δὴ χαριζόμενος τοῖς κατὰ τὴν Καισάρειαν Σύροις πολλοὺς τῶν
54 Ἰουδαίων ἀπέκτεινεν. ἐβουλήθη δὲ καὶ μετὰ τῶν ἐν Βατανέᾳ Τρα-
χωνιτῶν ἀνακάμψων τὰ ὅπλα ἐπὶ τοὺς ἐν Ἐκβατάνοις Βαβυλωνίους
55 Ἰουδαίους, ταύτην γὰρ τὴν προσηγορίαν ἔχουσιν, ὁρμῆσαι. καλέσας
οὖν τῶν κατὰ τὴν Καισάρειαν Ἰουδαίων δώδεκα τοὺς δοκιμωτάτους
προσέταττεν αὐτοῖς ἀφικομένοις εἰς Ἐκβάτανα πρὸς τοὺς ἐκεῖ κατοι-
κοῦντας αὐτῶν ὁμοφύλους εἰπεῖν, ὅτι Οὔαρος ἀκούσας ὑμᾶς ἐπὶ
βασιλέα μέλλειν ὁρμᾶν καὶ μὴ πιστεύσας πέπομφεν ὑμᾶς πείσοντας
ὑμᾶς τὰ ὅπλα καταθέσθαι· τοῦτο γὰρ αὐτῷ τεκμήριον ἔσεσθαι καὶ
56 τοῦ καλῶς μὴ πιστεῦσαι τοῖς περὶ ὑμῶν λέγουσιν. ἐκέλευε δὲ καὶ
τοὺς πρώτους αὐτῶν ἄνδρας ἑβδομήκοντα πέμπειν ἀπολογησομένους
περὶ τῆς ἐπενηνεγμένης αἰτίας. ἐλθόντες οὖν οἱ δώδεκα πρὸς τοὺς
ἐν Ἐκβατάνοις ὁμοφύλους καὶ καταλαβόντες αὐτοὺς μηδὲν ἐπὶ νεω-
57 τερισμῷ φρονοῦντας ἔπεισαν καὶ τοὺς ἑβδομήκοντα πέμπειν. οἱ
δὲ μηδὲν ὑποπτεύσαντες τοιοῦτον οἷον ἔμελλεν ἀποβήσεσθαι ἑξαπ-

§ 52 = bell. Iud. II 481.

PRAMW

2 *βραδυνειεν* P 3 *παραγενόμενον* om. W in confinio paginarum *συνοφαντησας* P 4 *καισαριασυρω* P 5 *τὸν*] *των* P 6 *ἁμαρτίας*] *μαρτυρίας* R *ληψεσθαι* P *δὲ* MW *αυτων* P *βασιλεον*, ο ex ω corr. P 7 *ὁμολογουμένος* W *ἔγγονος* M *σοαίμου* A¹ *συνεμον* P 8 *τοῦτ' οὖν*] *ταῦτα* MW 11 *ἐφρουρει* P *ἀπαγγείλῃ* MW 12 *καισαριαν* P 13 *ἀπέκτεινεν*] *ἀπέκτεινε* P, om. R *βαταναίᾳ* RAMW 14 *ἐν Ἐκβατάνοις*] *ἐκβατάνους* MW 16 *τὴν* om. R *καισαριαν* P *δοκιμωτάτους* P 17 *προσέταττεν* P *προσέταξεν* MW 18 *αὐτοῖς*] om. M *ἑαυτῶν* W *εισιεν* P *ὅτι ὁ οὔαρος* R *ημας* P 19 *ὑμᾶς* om. MW *πισουτας* P 20 *τοῦτο — ἔσεσθαι* om. MW 22 *αὐτῶν*] *αὐτῶν πάντων* M 23 *ἐπενηνεγμένης* P *δώδεκα*] *δέκα* PA 24 *αὐτοὺς* om. MW *ἐπὶ*] *επει* ex *εισει* corr. P 25 *επισαν* P *καὶ τοὺς*] *κατουσειπτους* P 26 *ὑποπτεύσαντες* MW *ἐξαπέστειλαν* P

ἐστειλαν. καταβαίνουσιν δ' οὗτοι μετὰ τῶν δώδεκα πρέσβεων εἰς
τὴν Καισάρειαν. ὑπαντήσας οὖν ὁ Οὔαρος μετὰ τῆς βασιλικῆς
δυνάμεως σὺν τοῖς πρέσβεσιν πάντας ἀπέκτεινεν καὶ τὴν πορείαν
ἐπὶ τοὺς ἐν Ἐκβατάνοις Ἰουδαίους ἐποιεῖτο. φθάσας δέ τις ἐκ 58
τῶν ἑβδομήκοντα σωθεὶς ἀπήγγειλεν αὐτοῖς, κἀκεῖνοι τὰ ὅπλα
λαβόντες σὺν γυναιξὶ καὶ τέκνοις εἰς Γάμαλα τὸ φρούριον ὑπεχώ-
ρησαν, καταλιπόντες τὰς κώμας πολλῶν ἀγαθῶν πλήρεις καὶ βοσκη-
μάτων πολλὰς μυριάδας ἐχούσας. Φίλιππος δὲ πυθόμενος ταῦτα 59
καὶ αὐτὸς εἰς Γάμαλα τὸ φρούριον ἦκεν. παραγενομένου δὲ κατεβόα
τὸ πλῆθος, ἄρχειν αὐτὸν παρακαλοῦντες καὶ πολεμεῖν πρὸς Οὔαρον
καὶ τοὺς ἐν τῇ Καισαρείᾳ Σύρους. διαδέδοκτο γὰρ ὑπὸ τούτων
τὸν βασιλέα τεθνάναι. Φίλιππος δ' αὐτῶν κατεῖχε τὰς ὁρμὰς 60
ὑπομιμνήσκων τῶν τε τοῦ βασιλέως εἰς αὐτοὺς εὐεργεσιῶν, καὶ
τὴν Ῥωμαίων διαμένειν ὅπη τις ἐσπ δύναμις συμφέρειν οἰκ ἔλεγεν
ἄρασθαι πρὸς τούτους πόλεμον, καὶ τέλος ἔπεισεν. ὁ δὲ βασιλεὺς 61
πυθόμενος, ὅτι Οὔαρος μέλλει τοὺς ἐπὶ τῆς Καισαρείας Ἰουδαίους
σὺν γυναιξὶ καὶ τέκνοις πολλὰς ὄντας μυριάδας ἀναιρεῖν ἡμέρᾳ
μιᾷ, μετατέμπεται πρὸς αὐτὸν Ἀΐκονον Μονόδιον πέμψας αὐτῷ
διάδοχον, ὡς ἐν ἄλλοις ἐδηλώσαμεν. ὁ δὲ Φίλιππος Γάμαλα τὸ
φρούριον κατέσχεν καὶ τὴν περιξ χώραν πίστει τῇ πρὸς Ῥωμαίους
ἐμμένουσαν.

12. *Ἐπεὶ δ' εἰς τὴν Γαλιλαίαν ἀφικόμην ἐγὼ καὶ ταῦτα παρὰ* 62
τῶν ἀπαγγειλάντων ἔμαθον, γράφω τῷ συνεδρίῳ τῶν Ἱεροσολυ-
μιτῶν περὶ τούτων καὶ τί με πράττειν κελεύουσιν ἐρωτῶ. οἱ δὲ
προσμεῖναι παρεκάλεσαν καὶ τοὺς συμπρέσβεις, εἰ θέλοιεν, κατα-

---

PRAMW

1 δὲ MW *πρεσβε]ων εισ την*, ε post *β* ex *εσ* corr., *ωσ εισ τ* i. ras. P 2 *κεσαριαν* P 3 *τοῖς] τω* P *απεκτινεν* P *πορειαν* P 4 *τοὺς] τοῖσ* W *ἐποιητο* P 6 *γυναιξεικαι, εικ* ex *ιν* corr. P *εἰσ, σ* suppl. P *Γάμαλα] γαλα* P 7 *καταλειποντεσ* P *κομασ* P 8 *πολασ* P *πολλῶν* R 9 supra *τὸ φρούριον* rasura P *παραγεναμένου* P *καταβοᾶ* MW 10 *αὐτὸν] αὐτῶ* P *αὐτῶν* AMW 11 *κεσαριασ* P *διαδέδοκτο] διεδέχετο* PAMW *διεδίδοτο* Hudson *διεδέδοτο* Bekker 12 *δ'] τε* MW *κατέχει* MW 13 *υπομειμνησκων* P 14 *ἐστι] ἐστιν ἡ* PA *ἐστιν αὐτῶν* MW 15 *ἔπισεν* P 16 *ὅτι, ὅ* a rubricatore omissum R *κεσαρίασ* P 17 *γυναιξει* P 18 *πρὸς* om. Bekker *Ἀΐκονον] εὔκονον, εὖ* i. ras., i. marg. *γρ ἐν ἄλλοις αἴκονον* A *ἔκόνον* MW *Μονόδιον] μόδιον* MW, cf. § 114 19 *ἐν ἄλλοις]* h. e. bell. Iud. II 483 (18. 6) ut recte adnotat Henke *ἐδώλωσαμεν* P *δὲ] δὴ* W *Γάμαλα τὸ φρούριον] γραμματοφρουριον* P 20 *κατεῖχε* MW *πίστι* P 22 *επι* P *δὲ* MW 23 *ἔμαθον* om. P *τῶν ἱεροσολυμειτῶν* P *τῶ ἐν ἱεροσολύμοις* MW 24 *οἱ] σει* P 25 *καὶ τοὺς — κατασχόντα* om. W *συντρεσβεισ* P *κασχοντα* P

63 σχόντα πρόνοιαν ποιήσασθαι τῆς Γαλιλαίας. οἱ δὲ συμπρέσβεις
εὐπορήσαντες πολλῶν χρημάτων ἐκ τῶν διδομένων αὐτοῖς δεκατῶν,
ἃς ὄντες ἱερεῖς ὀφειλομένας ἀτελάμβανον, εἰς τὴν οἰκείαν ἐπο-
στρέφειν ἔκριναν. ἐμοῦ δ' αὐτοὺς προσμεῖναι παρακαλέσαντος ἕως
64 οὗ τὰ πράγματα καταστήσωμεν, πείθονται. ἄρας οὖν μετ' αὐτῶν
ἀπὸ τῆς Σεπφωριτῶν πόλεως εἰς κώμην τινὰ Βηθμαὶς λεγομένην
ἀπέχουσαν Τιβεριάδος στάδια τέσσαρα παραγίνομαι, καὶ τέμψας
ἐντεῦθεν πρὸς τὴν Τιβεριέων βουλὴν καὶ τοὺς πρώτους τοῦ δήμου
65 παρεκάλουν ἀφικέσθαι πρός με. καὶ παραγενομένων, ἐληλύθει δὲ
σὺν αὐτοῖς καὶ Ἰοῦστος, ἔλεγον ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν
πρεσβευόντων μετὰ ταῦτα πεπόμφθαι πρὸς αὐτούς, πείσων καθαι-
ρεθῆναι τὸν οἶκον τὸν ὑπὸ Ἡρώδου τοῦ τετράρχου κατασκευασθέντα
ξύλων μορφὰς ἔχοντα τῶν νόμων οὔτως τι κατασκευάζειν ἀπαγο-
66 ρευόντων. καὶ παρεκάλουν αὐτοὺς ἐὰν ἡμᾶς ἧ τάχος ταῦτα πραι-
τεῖν. ἐπὶ πολὺ μὲν οὖν οἱ περὶ τὸν Καπέλλαν καὶ τοὺς πρώτους
αὐτῶν ἐπιτρέπειν οὐκ ἤθελον, βιαζόμενοι δ' ὑφ' ἡμῶν συγκατατί-
θενται. φθάνει δ' Ἰησοῦς ὁ τοῦ Σαπφία παῖς, ὃν τῆς τῶν ναυτῶν
καὶ τῶν ἀπόρων στάσεως πρῶτον ἔφαμεν ἄρξαι, παραλαβών τινας
Γαλιλαίους καὶ τὴν πᾶσαν αὐλὴν ἐμπρήσας, πολλῶν οἰόμενος εὐπο-
ρήσειν ἐξ αὐτῆς χρημάτων, ἐπειδὴ τινας οἴκων ὄροφὰς κεχρυσωμένας
67 εἶδεν. καὶ διέπρασαν πολλὰ παρὰ γνώμην τὴν ἡμετέραν πράξαντες·
ἡμεῖς γὰρ μετὰ τὴν πρὸς Καπέλλαν καὶ τοὺς πρώτους Τιβεριέων
ὁμιλίαν εἰς τὴν ἄνω Γαλιλαίαν ἀπὸ Βηθμαῶν ἀνεχωρήσαμεν. ἀναι-
ροῦσιν δ' οἱ περὶ τὸν Ἰησοῦν πάντας τοὺς ἐνοικοῦντας Ἕλληνας
ὅσοι τε πρὸ τοῦ πολέμου γεγόνεισαν αὐτῶν ἐχθροί.
68 13. Πυθόμενος δ' ἐγὼ ταῦτα παρωξύνθην σφόδρα, καὶ καταβὰς

PRAMW

1 συνπρεσβεισευρησαντες P 3 ὀφιλομένας P 4 ἔκριναν] γῆν ἔκριναν RAMW δὲ αὐτοῖσ MW 5 τὰ πράγμα W 6 Σεπφωριτῶν] επιφωρειτων P κομην P 8 πρὸς] τοὺσ πρὸσ PRA 9 παραγινομένων PR ἐληλύθη W 10 καὶ ἰοῦστοσ σὺν αὐτοῖσ tr. A καὶ ὁ ἰοῦστοσ M ἔλεγον] ολεγον P ἱεροσολυμειτων P 11 πρεσβεῦσαι PRA πεπέμφθαι RAMW τιων P κατερεθηναι P 12 τὸν om. A κατασκευασθέντα] κατασχεθεντα P οὕτω MW κατασκευαζιν P 15 κάπελλον (ο ex α corr. A) RAMW 16 επιτρεπιν P ἤθελον P δὲ AMW 17 δὲ ἄρξαι MW Σαπφία] σαφία R ἀφία A τῶν αὐτῶν R 18 ἄρξαι] εἶναι M 19 γαλιλαιουσ P εμπρισασ P ευπορησιν P 20 ἐπειδὴ P ὀρροφὰσ R κεχρυσομένασ W 21 εἶδεν] ἴλεν P 22 μετὰ om. P κάπελλον (ο ex α corr. A) RAMW τιβεριαιων P 23 ὁμιλειαν P βηθμαῶν RMW ἀνεροῦσιν P 24 δ'] δ' οὖν MW ελλινασ P 25 γεγόνασιν MW 26 πυθομενοσ P δὲ MW παροξυνθη P

εἰς Τιβεριάδα πρόνοιαν εἰσηνεγκάμην τῶν βασιλικῶν σκευῶν ὅσα ὀνητὸν ἦν τοῖς ἁρπάσασιν ἀφελέσθαι· λυχνίαι δ' ἦσαν Κορίνθιαι ταῦτα καὶ τράπεζαι τῶν βασιλικῶν καὶ ἀσήμου ἀργυρίου σταθμὸς ἱκανός· πάντα δ', ὅσα παρέλαβον, φυλάσσειν ἔχρινα τῷ βασιλεῖ. μεταπεμψάμενος οὖν τοὺς τῆς βουλῆς πρώτους δέκα καὶ Καπέλλαν τὸν Αντύλλου τὰ σκεύη παρέδωκα, μηδενὶ παραγγείλας ἑτέρῳ πλὴν ἐμοῦ δοῦναι. κἀκεῖθεν εἰς τὰ Γίσχαλα πρὸς τὸν Ἰωάννην μετὰ τῶν συμπρέσβεων ἀφικόμην βουλόμενος γνῶναι, τί ποτε φρονεῖ. κατεῖδον δ' αὐτὸν ταχέως νεωτέρων ὀρεγόμενον πραγμάτων καὶ τῆς ἀρχῆς ἐπιθυμίαν ἔχοντα· παρεκάλει γάρ με τὸν Καίσαρος σῖτον κείμενον ἐν ταῖς τῆς Ἄνω Γαλιλαίας κώμαις ἐξουσίαν αὐτῷ δοῦναι ἐφορμὴν· θέλειν γὰρ ἔφασκεν εἰς ἐπισκευὴν τῶν τῆς πατρίδος τειχῶν αὐτὸν ἀναλῶσαι. κατανοήσας δὲ ἐγὼ τὴν ἐπιχείρησιν αὐτοῦ καὶ τί διανοοῖτο πράσσειν, οὐκ ἔφην αὐτῷ συγχωρεῖν· ἡ γὰρ Ῥωμαίοις αὐτὸν ἐνενοούμην φυλάττειν ἢ Ἀγρίππᾳ διὰ τὸ καὶ τὴν ἐξουσίαν τῶν ἐκεῖ πραγμάτων αὐτὸς παρὰ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν πεπιστεῦσθαι. μὴ πείθων δὲ περὶ τούτων ἐπὶ τοὺς συμπρέσβεις ἐτράπετο· καὶ γὰρ ἦσαν ἀπρονόητοι τῶν ἐσομένων καὶ λαθεῖν ἑτοιμότατοι· φθείρει δὲ χρήμασιν αὐτοὺς ψηφισάσθαι πάντα τὸν σῖτον αὐτῷ παραδοθῆναι τὸν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ κείμενον. κἀγὼ μόνος ἠντιόμενος ὑποδὺς τὴν ἡσυχίαν ἦγαγον. καὶ δεινὰν Ἰωάννης ἐπεσήνεγκε πανουργίαν· ἔφη γὰρ Ἰουδαίους τοὺς τὴν Φιλίππου Καισάρειαν κατοικοῦντας συγκεκλεισμένους κατὰ προσταγὴν τοῦ βασιλέως ἐπιδίκου τοῦ τὴν δυναστείαν διοικοῦντος πεπομφέναι πρὸς αὐτὸν παρακαλοῦντας, ἐλπιδὶ οὐκ ἔχουσιν ἕλαιον ᾧ χρήσονται καθαρόν. ποιησάμενον πρόνοιαν εὐπορίας αὐτοῖς τοί-

§ 74 = bell. Iud. II 591.

PRAMW

1 *πρωνοιαν* P *βασιλεικων* P 2 *δὲ* MW 4 *δὲ* MW *φυλασσειν* P 5 *τῶ βασιλεῖ ἔχρινα* (*εκρεινα* P) tr. PRA *βουλῆς*] *αὐλῆς* R 6 *κάπελλον* (*ο* ex *α* corr. A) AMW *κάπυλλον* R *σκεύει* P 7 *γισκαλα* P 8 *ποτ' ἐφρόνει* R 9 *κατεῖδον*] *κατιδον*, *ο* ex *ω* corr. P *κατεῖχον* R *δὲ* MW 10 *με*] *μη* P *σῖτον*] *τιτον* R 11 *γαλλιλαιας* P[1] 12 *επισκευειν* P 13 *ἀναλῶσαι αὐτὸν* tr. M 15 *αὐτῶν* A *ενενοουμεν* P *ἢ 'μαυτῷ*] *αμαυτω* P *ἢ ἐμαυτῶ* RMW *ἠεμοὶ αὐτῶι* A *διὰ*] *λια* P 17 *ιεροσολυμειτων* P *πεπιστεῦθαι* RAM *δὲ*] *δέ με* RAMW 18 *συνπρέσβεις* P 19 *ψηφίσασθαι*] *ψηφισασ δὲ* MW 21 *ὑποδὺς*] *ὑπὸ δύο* ed. pr. *ἦγαγον*] *ἦγον* RMW *ἧττον* A 22 *ἐπισεφερειν* P 23 *καισαριαν* P *συγκεκλισμενους* P *κατὰ τὴν προσταγὴν* MW 24 *τοῦ* om. P *δυναστιαν* P 25 *παρακαλοῦντος* R *ἐπιδὴ* P *ελεον* P 26 *χρίσονται* R *καθαρὸν* i. ras. 9—10 litt. P *ευπορειαν* P *εὐπορίας* R *τούτου*] *τοῦ* R

του παρασχεῖν, μὴ δι' ἀνάγκην Ἑλληνικῷ χρώμενοι τὰ νόμιμα παρα-
75 βαίνωσιν. ταῦτα δ' οὐχ ὑπ' εὐσεβείας ἔλεγεν Ἰωάννης, δι' αἰσχροκέρδειαν δὲ φανερωτάτην· γινώσκων γὰρ παρὰ μὲν ἐκείνοις κατὰ τὴν Καισάρειαν τοὺς δύο ξέστας δραχμῆς μιᾶς πωλουμένους, ἐν δὲ τοῖς Γισχάλοις τοὺς ὀγδοήκοντα ξέστας δραχμῶν τεσσάρων, πλὴν τὸ ἔλαιον ὅσον ἦν ἐκεῖ διεπέμψατο λαβὼν ἐξουσίαν καὶ παρ' ἐμοῦ
76 τὸ δοκεῖν· οὐ γὰρ ἐκὼν ἐπέτρεπον, ἀλλὰ διὰ φόβον τὸν ἀπὸ τοῦ πλήθους, μὴ κωλύων καταλευσθείην ὑπ' αὐτῶν. συγχωρήσαντος οὖν μου πλείστων χρημάτων ὁ Ἰωάννης ἐκ τῆς κακουργίας ταύτης εὐπόρησε.

77 14. Τοὺς δὲ συμπρέσβεις ἀπὸ τῶν Γισχάλων ἀπολύσας εἰς τὰ Ἱεροσόλυμα πρόνοιαν ἐποιούμην ὅπλων τε κατασκευῆς καὶ πόλεων ἐχυρότητος. μεταπεμψάμενος δὲ τῶν ληστῶν τοὺς ἀνδρειοτάτους ἀφελέσθαι μὲν αὐτῶν τὰ ὅπλα οὐχ οἷόν τε ὂν ἑώρων, ἔπεισα δὲ τὸ πλῆθος μισθοφορὰν αὐτοῖς παρέχειν, ἄμεινον εἶναι λέγων ἑκόντας ὀλίγα διδόναι μᾶλλον ἢ τὰς κτήσεις διαρπαζομένας ὑπ' αὐτῶν πε-
78 ριορᾶν. καὶ λαβὼν παρ' αὐτῶν ὅρκους μὴ ἀφίξεσθαι πρότερον εἰς τὴν χώραν, ἐὰν μὴ μετακληθῶσιν ἢ ὅταν τὸν μισθὸν μὴ λάβωσιν, ἀπέλυσα παραγγείλας μήτε Ῥωμαίοις πολεμεῖν μήτε τοῖς περιοίκοις· εἰρηνεύεσθαι γὰρ πρὸ πάντων τὴν Γαλιλαίαν ἐφρόντιζον.
79 τοὺς δ' ἐν τέλει τῶν Γαλιλαίων ὅσον ἑβδομήκοντα πάντας βουλόμενος ἐν ἀσφαλείᾳ φιλίας καθάπερ ὅρκια τῆς πίστεως ἔχειν φίλους τε καὶ συνεκδήμους ἐποιησάμην ἐπί τε κρίσεις παρελάμβανον καὶ μετὰ γνώμης τῆς ἐκείνων τὰς ἀποφάσεις ἐποιούμην, μήτε προπετείᾳ πειρώμενος τοῦ δικαίου διαμαρτάνειν καθαρεύειν τε παντὸς ἐπ' αὐταῖς λήμματος.

PRAMW Exc Peiresc.

1 *χρομενοι* P *χρησάμενοι* MW *παραβαίνουσι* R 2 *δ' οὐχ ὑπ'*] coni. *δουσνπερ* P *δ' οὐχ ὑπὲρ* A *δὲ οὐχ ὑπὲρ* RMW *εσχροκερδιαν* P 3 *φανερωτάτην* R 4 *κεσαριαν* P *πολουμένους* P 6 *τὸ*] *τῷ* RAMW 7 *δωκειν* P *τὸν*] *τῶν* W 8 *κολύων* P 9 *μον*] *μοι* P *κακουργειασ, ει* ex *ι* corr. P 10 *εὐπορησε* P 11 *συνπρεσβεισ* P *γισχαλλων* P 12 *ὅπλων*] *ἀπὸ τῶν* R *πολεμων* P 13 *ὀχυρότητοσ* RAMW *δὲ*] *οὖν* MW *τῶν πλησιων* P 14 *αὐτῶν* om. M *ἑώρων*] *εωτερων. τε* deletum P 15 *μισθοφορίαν* RAMW 16 *ἐπ' αὐτῶν διαρπαζομένας* tr. MW *περιορᾶν* om. MW 17 *λαβὼν παρ' αὐτῶν* om. M *παρ' αὐτῶν* om. W *ὅρκουσ*] *οἴκουσ* MW *ἀφικέσθαι* MW 19 *ἀπέλυσα*] *ἀπολύσασ* P *ἀπέλυσα·, υ* ex *ύ* corr. A *ἀπολύσασ* MW *παραγγιλια* P 20 *εἰρηνεύεσθαι*] incip. Exc *γὰρ*] *δὲ* R 21 *δὲ* MW Exc *εβδομηκοντα* P 22 *ἐν* fort. spurium 23 *ἐπί* A 25 *πειρώμενοσ* W *τε*] Bekker *δὲ* codd. Exc 26 *ἐπ'*] *ἐν* RAMW Exc *αὐτοῖσ* Exc

15. *Περὶ τριακοστὸν γοῦν ἔτος ὑπάρχων, ἐν ᾧ χρόνῳ, κἂν ἀπέ-* 80
χηταί τις τῶν παρανόμων ἐπιθυμιῶν, δύσκολον τὰς ἐκ τοῦ ἤθους
διαβολὰς φεύγειν ἄλλως τε καὶ ἐξουσίας ὄντα μεγάλης, γυναῖκα
μὲν πᾶσαν ἀνύβριστον ἐφύλαξα, πάντων δὲ τῶν διδομένων ὡς μὴ
χρῄζων κατεφρόνησα, ἀλλ' οὐδὲ τὰς ὀφειλομένας μοι ὡς ἱερεῖ δε-
κάτας ἀπελάμβανον παρὰ τῶν κομιζόντων· ἐκ μέντοι τῶν λαφύρων 81
μέρος τοὺς Σύρους τοὺς τὰς πέριξ πόλεις κατοικοῦντας νικήσας
ἔλαβον, ἃ καὶ εἰς Ἱεροσόλυμα τοῖς συγγενέσιν ὁμολογῶ πεπομφέναι.
καὶ δὶς μὲν κατὰ κράτος ἑλὼν Σεπφωρίτας, Τιβεριεῖς τετράκις, 82
Γαδαρεῖς δ' ἅπαξ, καὶ τὸν Ἰωάννην πολλάκις ἐπιβουλεύσαντά μοι
λαβὼν ὑποχείριον οὔτ' αὐτὸν οὔτε τινὰς τῶν προειρημένων ἐθνῶν
ἐτιμωρησάμην, ὡς προῴων ὁ λόγος παραστήσει. διὰ τοῦτ' οἶμαι 83
καὶ τὸν Θεόν, οὐ γὰρ λελήθασιν αὐτὸν οἱ τὰ δέοντα πράττοντες,
καὶ ἐκ τῆς ἐκείνων ῥύσασθαί με χειρὸς καὶ μετὰ ταῦτα πολλοῖς
περιπεσόντα κινδύνοις διαφυλάξαι, περὶ ὧν ὕστερον ἀπαγγελοῦμεν.
16. *Τοσαύτη δ' ἦν ἡ πρός με τοῦ πλήθους τῶν Γαλιλαίων* 84
εὔνοια καὶ πίστις, ὥστε ληφθεισῶν αὐτῶν κατὰ κράτος τῶν πόλεων,
γυναικῶν δὲ καὶ τέκνων ἀνδραποδισθέντων, οὐχ οὕτως ταῖς ἑαυτῶν
ἐτεστέναξαν συμφοραῖς, ὥσπερ τῆς ἐμῆς ἐφρόντισαν σωτηρίας.
ταῦτα δ' ὁρῶν Ἰωάννης ἐφθόνησε, καὶ γράφει πρός με παρακαλῶν 85
ἐπιτρέψαι καταβάντι χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασι
τῆς τοῦ σώματος ἕνεκα θεραπείας. κἀγὼ μηδὲν ὑποπτεύσας πρά- 86

§ 85 = bell. Iud. II 614.

PRAMW Exc Peiresc.

1 *γοῦν*] *οὖν* MW Exc *ἀπεχητε* P *ἀπέχεται* MW Exc 2 *παρανόμων*] *πονηρῶν* Exc *τοῦ* om. Exc 3 *καὶ ἐπ' ἐξουσίας* Bekker 4 *ἐφύλαξεν* R *δὲ*] *δὴ* R *δεδομένων* P *ὡσ, σ* ex *ν* corr. P 5 *οφιλομενασ* P *ἱερευσ* P 6 *κομιζοντων* P *ἐκ μέντοι* — 10 *ἅπαξ* om. Exc 7 *μέρος*] Cocceji *μέρουσ* codd.. *τοὺς* (ante *τὰς*) om. W 8 *ἃ* om. MW *συγγενέσιν*] *συνγενευσιν* P *συγγενεῦσιν* RA 9 *σεπφωρητασ* P *τετράκις*] *δὲ τετράκισ* RAMW 10 *Γαδαρεῖς*] *γαραβεισ* P *Γαβαρεῖς* coni. *δὲ* MW *μοι*] *με* M 11 *οὔτε* MW Exc *αὐτῶν* W *πρωειρημενων* P *προειρημένων ἐθνῶν*] *λοιπῶν* Exc 12 *ὡς* — *παραστήσει* om. Exc *προειων* P *τοῦτο* MW Exc 13 *γαρεληθασιν* P *πραττοντεσ* P 15 *περὶ* — *ἀπαγγελοῦμεν* om. Exc 16 *δὲ* MW Exc *ἡ*] W Exc, om. PRAM *τοῦ πλήθους* om. Exc 17 *λημφθεισῶν* P 18 *γυναικῶν* — *τέκνων*] *ἀνδρῶν τε καὶ γυναικῶν* Exc *δὲ*] *τε* MW *οὕτω* W Exc 19 *ἐπεστέναζεν* P *ὑπεστέναζον* A *ἐφρόντησαν* P *σωτηρίας*] fin. Exc 20 *δὲ* MW *Ἰωάννης*] *ὁ ἰωάννησ* RMW *εφρονησε* P 21 *τιβεριαδοισ* P 22 *πράξειν*] *πρὸσ πρᾶξιν* MW 23 *πονηρὰν* MW *τῆς* om. MW

τὴν διοίκησιν ὑπ' ἐμοῦ πεπιστευμένοις κατ' ὄνομα γράφω κατάκεισιν ἑτοιμάσαι τῷ Ἰωάννῃ καὶ τοῖς ἀφιξομένοις σὺν αὐτῷ πάντων τε [τῶν ἐπιτηδείων] ἀφθονίαν παρασχεῖν. διέτριβον δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν κώμῃ τῆς Γαλιλαίας, ἣ προσαγορεύεται Κανά.

87 17. Ὁ δ' Ἰωάννης ἀφικόμενος εἰς τὴν Τιβεριέων πόλιν ἔπειθε τοὺς ἀνθρώπους ἀποστάντας τῆς πρὸς με πίστεως προστίθεσθαι αὐτῷ. καὶ πολλοὶ τὴν παράκλησιν ἡδέως ἐδέξαντο νεωτέρων ἐπιθυμοῦντες ἀεὶ πραγμάτων καὶ φύσει πρὸς μεταβολὰς ἐπιτηδείως

88 ἔχοντες καὶ στάσεσι χαίροντες. μάλιστα δὲ Ἰοῦστος καὶ ὁ πατὴρ αὐτοῦ Πιστὸς ὥρμησαν ἀποστάντες ἐμοῦ προσθέσθαι τῷ Ἰωάννῃ.

89 διεκώλυσα δ' αὐτοὺς φθάσας· ἦκον γὰρ ἄγγελός μοι παρὰ Σίλα, ὃν ἐγὼ καθεστάκειν τῆς Τιβεριάδος στρατηγόν, ὡς προεῖπον, τὴν τῶν Τιβεριέων γνώμην ἀπαγγέλλων καὶ με σπεύδειν παρακαλῶν· βραδύ-

90 νοντος γὰρ ὑπὸ τὴν ἑτέρων ἐξουσίαν γενέσθαι τὴν πόλιν. ἐντυχὼν οὖν τοῖς γράμμασι τοῦ Σίλα καὶ διακοσίους ἀναλαβὼν ἄνδρας δι' ὅλης τῆς νυκτὸς τὴν πορείαν ἐποιούμην, προτέμψας ἄγγελον τὸν

91 τὴν ἐμὴν παρουσίαν τοῖς ἐν τῇ Τιβεριάδι σημανοῦντα. ἰρωῒ δὲ πλησιάζοντος ἐμοῦ τῇ πόλει τὸ πλῆθος ἐκινεῖτο καὶ Ἰωάννης σὺν αὐτοῖς, καὶ πάνυ με τεταραγμένως ἀσπασάμενος, δείσας μὴ εἰς ἔλεγχον αὐτοῦ τῆς πράξεως ἀφικομένης ἀπολέσθαι κινδυνεύσῃ,

92 ἐπεχώρησε μετὰ σπουδῆς εἰς τὴν ἑαυτοῦ κατάλυσιν. κἀγὼ δὲ γενόμενος κατὰ τὸ στάδιον τοὺς περὶ ἐμὲ σωματοφύλακας ἀπολύσας τελὴν ἑνὸς καὶ μετὰ τούτου κατασχὼν δέκα τῶν ὁπλιτῶν δημηγορεῖν ἐπειρώμην τῷ πλήθει τῶν Τιβεριέων στὰς ἐπὶ τριχοῦ τινος ὑψηλοῦ.

93 παρεκάλουν τε μὴ οὕτως αὐτοὺς ταχέως ἀφίστασθαι· κατέγνωσαν

§ 86 = bell. Iud. II 615.

PRAMW

2 αὐτῷ] αυτοις P 3 τῶν ἐπιτηδείων om. MW ἐπιτηδιων P τὴν ἀφθονίαν M 4 κερον P 4 προσαγορευετε P 5 δὲ AMW τιβεριαιων P επιθε P 6 αὐτῶ προστίθεσθαι tr. MW 8 ἀεὶ] ἀεὶ RMW, om. A ἐπιτηδιωσ P 9 στασεσειχαιρωντεσ P 10 πίστος M προστίθεσθαι MW 11 δὲ MW 12 προεῖπον — 13 ἀπαγγέλλων] προαπαγγέλλων MW 13 τιβεριαίων P απαγγελων P σπευδην P βραδύνοντος R 14 γενήσεσθαι coni. ἐντυχὼν] ετυχων P 15 οὖν] οὖν ἐγὼ MW καὶ om. MW ἄνδρας, ἐν suppl., δρασ i. ras. 3 litt. P 16 τῆς om. MW πορίαν P προπεμπων P 17 τῇ om. RMW σημανοῦντα] πολεμοῦσι σημάναντα M πολεμοῦντα σημανοῦντα W 18 ἐμοῦ] μου AMW ὑπαντίαζε R 19 καὶ] δὲ καὶ RAMW τεταραγμένος P 20 κινδυνευσειπεχωρεσε P 23 κατασχὼν δέκα, ὧν δέ suppl., κα i. ras. 1 litt. P post δέκα expunctum πλὴν R τῶν πολιτῶν MW 24 τῶ suppl. M τῶν om. M τιβεριαίων P θριγκοῦ RW θριγγοῦ M τινος, τ i. ras. P 25 οὕτω P

γὰρ αὐτοῖς οἴσειν τὴν μεταβολήν, καὶ τῷ μετὰ ταῦτα προϊσταμένῳ δι' ὑποψίας γενήσεσθαι δικαίας, ὡς μηδὲ τὴν πρὸς ἐκεῖνον πίστιν φυλαξόντων.

18. Οὕτω δέ μοι πάντα λελάληται, καὶ τινος ἐξίκουσα τῶν 94 οἰκείων καταβαίνειν κελεύοντος· οὐ γάρ μοι καιρὸν εἶναι φροντίζειν τῆς παρὰ Τιβεριέων εὐνοίας, ἀλλὰ περὶ τῆς ἰδίας σωτηρίας καὶ πῶς τοὺς ἐχθροὺς φύγω. πεπόμφει δ' ὁ Ἰωάννης τῶν περὶ αὐτὸν 95 ὁπλιτῶν ἐπιλέξας τοὺς πιστοτάτους ἐκ τῶν χιλίων, οἵπερ ἦσαν αὐτῷ, καὶ προσέταξεν τοῖς πεμφθεῖσιν ἀνελεῖν με πεπυσμένος ὡς εἴην μετὰ τῶν οἰκείων μεμονωμένος. ἦκον δ' οἱ πεμφθέντες, 96 κἂν ἐπεπράχεισαν, εἰ μὴ τοῦ τριγκοῦ θᾶττον ἀφαλόμενος ἐγὼ μετὰ τοῦ σωματοφύλακος Ἰακώβου καὶ ὑπό τινος Τιβεριέως Ἡρώδου προσανακουφισθείς, ὁδηγηθεὶς ὑπὸ τούτου ἐπὶ τὴν λίμνην καὶ πλοίου λαβόμενος καὶ ἐπιβὰς παρὰ δόξαν τοὺς ἐχθροὺς διαφυγὼν εἰς Ταριχέας ἀφικόμην.

19. Οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες ὡς ἐτύθοντο τὴν 97 τῶν Τιβεριέων ἀποστίαν, σφόδρα παρωξύνθησαν. ἁρπάσαντες οὖν τὰ ὅπλα παρεκάλουν σφᾶς ἄγειν ἐπ' αὐτούς· θέλειν γὰρ ἔφασκον ὑπὲρ τοῦ στρατηγοῦ δίκας λαβεῖν παρ' αὐτῶν. διηγγέλλον δὲ τὰ 98 γεγονότα καὶ τοῖς κατὰ τὴν Γαλιλαίαν πᾶσαν ἐρεθίσαι καὶ τούτους κατὰ τῶν Τιβεριέων διὰ στενοχωρίας ἔχοντες, παρεκάλουν τε πλείστους συναχθέντας ἀφικέσθαι πρὸς αὐτούς, ἵνα μετὰ γνώμης τοῦ στρατηγοῦ πράττωσιν τὸ δόξαν. ἦκον οὖν οἱ Γαλιλαῖοι πολλοὶ 99 πανταχόθεν μεθ' ὅπλων καὶ παρεκελεύοντό μοι προσβαλεῖν τῇ

§ 94 = bell. Iud. II 618.

PRAMW

1 *οισιν* P *τῳ*] *τῶν* PRA *προϊσταμένων* PRA 2 *γεγενῆσθαι* MW *μηδὲ*] Dindorf *μήτε* codd. *εκεινον, ο* ex *ω* corr. P *ἐκείνων, ω* ex *ο* corr. M *πιστην* P 3 *φυλαξάντων* PAMW 4 *οὕτω δέ, ω δέ* i. ras. P *δέ*] *δὴ* MW *λελαλειτο* P 5 *κερον* P 6 *τιβεριαιων* P 7 *φύγω*] *ἐκφύγω* (-ω- A) RAMW *δὲ* MW *ὁ* om. R *περὶ αὐτῶν* M^1W 8 *οπλητων* P *πιστωτάτους* P *οἵπερ ἦσαν, οἱ* ex *ὁ* corr. P *οἳ περιῆσαν* M 9 *πεμφθησαν* P *πεπισμενος* P 10 *μεμονομένος* P *δὲ* W 11 *ἐπεπράχεισαν*] *ἐπεπράχεισαν τοῦργον* RAMW *εἰ* i. ras. P *θριγκοῦ* RW *θριγγοῦ* M *ἀφαλόμενος* R *ἀφαλλόμενος* PAMW 12 *τιβεριαῖο* P *τιβεριέων* W 13 post *ὁδηγηθεὶς* suppl. *τε* m. 1 A 14 *ταριχαίας* R et ex corr. A *την ταριχεας* (sic) P 16 *ἐποιθοντο* P 17 *τιβεριαιωναπιστειαν* P *παροξυνθησαν* P 18 *σφᾶς* PR et ex corr. A *εφασκων* P 19 *στρατιγου* P *διηγγελων* P *διήγγελον* R *δὲ*] *γὰρ* RAMW 20 *πᾶσαν* (*ι* ut uid. ex *α* corr. P) PM *ερεθισαι* P *τούτους*] *τουτου τοὺς* P^1 21 *τιβεριαιων* P 22 *πλιστους, ι* ex *η* corr. P 23 *πολλοὶ παν*]*ταχόθεν, λλοι* i. ras., *παντα* suppl. P 24 *προσβαλλεῖν* W

Τιβεριάδι καὶ κατὰ κράτος αὐτὴν ἐξελεῖν καὶ πᾶσαν ἔδαφος ποιήσαντα τοὺς ἐνοίκους σὺν γυναιξὶ καὶ τέκνοις ἀνδραποδίσασθαι. συνεβούλευον δὲ ταῦτα καὶ τῶν φίλων οἱ ἐκ τῆς Τιβεριάδος διασωθέντες. ἐγὼ δὲ οὐ συνεπένευον δεινὸν ἡγούμενος ἐμφυλίου πολέμου κατάρχειν· μέχρι λόγων γὰρ ὥμην εἶναι δεῖν τὴν φιλονεικίαν. καὶ μὴν οὐδ' αὐτοῖς ἔφασκον συμφέρειν τοῦτο πρᾶξαι Ῥωμαίων ταῖς πρὸς ἀλλήλους στάσεσιν αὐτοὺς ἀτολέσθαι προσδοκώντων. ταῦτα δὲ λέγων ἔπαυσα τῆς ὀργῆς τοὺς Γαλιλαίους.

101 20. *Ὁ δὲ Ἰωάννης ἀπράκτου τῆς ἐπιβουλῆς αὐτῷ γενομένης ἔδεισε περὶ ἑαυτοῦ, καὶ τοὺς περὶ αὐτὸν ὁπλίτας ἀναλαβὼν ἀπῆρεν ἐκ τῆς Τιβεριάδος εἰς τὰ Γίσχαλα. καὶ γράφει πρός με περὶ τῶν πεπραγμένων ἀπολογούμενος ὡς μὴ κατὰ γνώμην τὴν αὐτοῦ γενομένων, παρακαλεῖ τε μηδὲν ὑπονοεῖν κατ' αὐτοῦ προστιθεὶς ὅρκους καὶ δεινάς τινας ἀράς, δι' ὧν ᾤετο πιστεύθήσεσθαι περὶ ὧν ἐπέστειλεν.*

102 21. *Οἱ δὲ Γαλιλαῖοι, πολλοὶ γὰρ ἕτεροι πάλιν ἐκ τῆς χώρας λάσιος ἀνήχθησαν μεθ' ὅπλων, εἰδότες τὸν ἄνθρωπον ὡς πονηρός ἐστιν καὶ ἐπίορκος, παρεκάλουν ἀγαγεῖν σφᾶς ἐπ' αὐτόν, ἄρδην*
103 *ἀφανίσειν ἐπαγγελλόμενοι σὺν αὐτῷ καὶ τὰ Γίσχαλα. χάριν μὲν οὖν ἔχειν αὐτῶν ταῖς προθυμίαις ὡμολόγουν ἐγὼ καὶ νικήσειν αὐτῶν τὴν εὔνοιαν ἐπηγγελλόμην, παρεκάλουν δ' ὅμως ἐπισχεῖν αὐτοὺς ἀξιῶν καὶ συγγινώσκειν μοι δεόμενος προῃρημένῳ τὰς ταραχὰς χωρὶς φόνων καταστέλλειν. καὶ πείσας τὸ πλῆθος τῶν Γαλιλαίων εἰς τὴν Σέπφωριν ἀφικνούμην.*

104 22. *Οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες ἄνδρες κεκρικότες τῇ πρὸς Ῥωμαίους ἐμμεῖναι πίστει, δεδιότες δὲ τὴν ἐμὴν ἄφιξιν, ἐπειράθησαν ἑτέρᾳ με πράξει περισπάσαντες ἀδεεῖς εἶναι περὶ*

§ 99 = bell. Iud. II 622.

PRAMW

1 *τιβεριαδει* P *ποιήσαντας* MW 2 *ἐνοίκους*] *ἐνοικήσαντας* M *ἐνοικοῦντας* W 3 *συνεβουλεύοντο δὲ* P *τῆς* om. RMW 4 *συνεπένευον*] *συνέ-νευον*, eras. *π* P 5 *φιλονικείαν* P 6 *οὐδὲ* MW 7 *ἀλλήλους*, *υ* ex *ι* corr. P *ἀπολέσαι* R *ἀπολεῖσθαι* coni. 8 *δὲ* om. MW fort. recte *λέγων ἔπαυσα*, *ων ἔπα* ex *όντων* corr. R *ἔπαυσα*] *ἐπαύσατο* P 10 *ἑαυτοῦ*] *αὐτοῦ* RMW 12 *αὐτοῦ* ex corr. A 13 *παρεκάλει* RAMW 14 *ἐπέστειλε* P 16 *γὰρ* om. P 18 *ἐφίορκος* P *ἄρδην*] *ἄρδειν* R, om. M 19 *ἀφανίσαι* P *ἐπαγγελόμενοι* W 20 *οὖν*] *συν* P *ομολογουν* P *νικησιν* P 21 *ἐπιγγελλόμην* P *δὲ* MW 23 *χωριὶς φθονων καταστελειν* P 24 *Σέπφωριν ἀφικνούμην*] *σεπφορειν διαφικνουμενην* P 26 *ἐμμένειν* MW *δεδειοτες* P *ἄφηξιν* P 27 *με*] *μὲν* MW

ἁντιῶν. καὶ δὴ πέμψαντες πρὸς Ἰησοῦν τὸν ἀρχιλῃστὴν εἰς τὴν 105
Πτολεμαΐδος μεθορίαν ὑπέσχοντο δώσειν πολλὰ χρήματα θελήσαντι
μετὰ τῆς σὺν αὐτῷ δυνάμεως, ἦσαν δ' ὀκτακόσιοι τὸν ἀριθμόν,
πόλεμον ἐξάψαι πρὸς ἡμᾶς. ὁ δ' ἐπακούσας αὐτῶν ταῖς ὑποσχέ- 106
σεσιν ἠθέλησεν ἐπιστεῖλαι ἡμῖν ἀνετοίμοις καὶ μηδὲν προγινώ-
σκουσιν. πέμψας γοῦν πρός με παρεκάλει λαβεῖν ἐξουσίαν ἀσπα-
σόμενον ἀφικέσθαι. συγχωρήσαντος δέ μου, τῆς γὰρ ἐπιβουλῆς
οὐδὲν προηισθάμην, ἀναλαβὼν τὸ σύνταγμα τῶν λῃστῶν ἔσπευδεν
ἐπ' ἐμέ. οὐ μὴν ἔφθασεν αὐτοῦ τέλος λαβεῖν ἡ κακουργία· πλη- 107
σιάζοντος γὰρ ἤδη τῶν σὺν αὐτῷ τις αὐτομολήσας ἦλθεν πρός με
τὴν ἐπιχείρησιν αὐτοῦ φράζων, κἀγὼ πυθόμενος ταῦτα προῆλθον
εἰς τὴν ἀγορὰν σκηψάμενος ἀγνοεῖν τὴν ἐπιβουλήν· ἐπηγόμην δὲ
πολλοὺς ὁπλίτας Γαλιλαίους, τινὰς δὲ καὶ Τιβεριέων. εἶτα προσ- 108
τιθεὶς τὰς ὁδοὺς πάσας ἀσφαλέστατα φρουρεῖσθαι παρήγγελλα τοῖς
ἐπὶ τῶν πυλῶν μόνον Ἰησοῦν, ἐπειδὰν παραγένηται, μετὰ τῶν
πρώτων εἰσελθεῖν ἐᾶσαι, ἀποκλεῖσαι δὲ τοὺς ἄλλους, βιαζομένους
δὲ τύπτειν. τῶν δὲ τὸ προσταχθὲν ποιησάντων εἰσῆλθεν ὁ Ἰησοῦς 109
μετ' ὀλίγων. καὶ κελεύσαντος ἐμοῦ ῥῖψαι τὰ ὅπλα θᾶττον, εἰ γὰρ
ἀπειθοίη τεθνήξεσθαι, περιεστῶτας ἰδὼν πανταχόθεν αὐτῷ τοὺς
ὁπλίτας φοβηθεὶς ὑπήκουσεν· οἱ δ' ἀποκλεισθέντες τῶν ἑπομένων
ἐπὶ τοῖς πυλῶσιν ἀκολουθούντων αὐτῷ πυθόμενοι τὴν σύλληψιν ἔφυγον. κἀγὼ τὸν Ἰησοῦν 110
προσκαλεσάμενος κατ' ἰδίαν οὐκ ἀγνοεῖν ἔφην τὴν ἐπ' ἐμὲ συσκευα-
σθεῖσαν ἐπιβουλὴν οὐδ' ὑπὸ τίνων πεμφθεῖσαν, συγγνώσεσθαι δ'
ὅμως αὐτῷ τῶν πεπραγμένων, εἰ μέλλοι μετανοήσειν καὶ πιστὸς
ἐμοὶ γενήσεσθαι. ὑπισχνουμένου δὲ πάντα ποιήσειν ἐκείνου ἀπέ- 111
λυσα συγχωρήσας αὐτῷ συναγαγεῖν πάλιν οὓς πρότερον εἶχεν. Σεπ-

---

PRAMW

1 αὐτῶν RMW αὑτῶν A 2 μεθορίαν, ον abbreuiatum s. m. 1 R 3 δ'] om. P δὲ AMW 4 πρὸς] εἰσ PRA δὲ MW ταῖς] ται P 5 ἐπιπεσεῖν om. P 6 πρὸσ ἐμὲ MW ἀσπασαμενον P 7 ἀφικνεῖσθαι MW 8 σοῦνταγμα P 9 ἐπ'] εἰσ PR 11 κἀγὼ] κἀγὼ ὡσ AMW 12 επιγομην P 13 τιβεριαιων P 14 πάσας] ταύτασ MW παρρηγγιλα P παρήγγειλα, λα ex λε corr. M τοῖς] τοὺσ P 15 πυλῶν] ληστῶν M πιδὰν P πιαραγενηται P 16 ἀποκλησαι P 17 ὁ om. M 18 ολιγων P ὀλίγον M κελεύσαντοσ, οσ ex ων corr. P ὁμοῦ M τὰ om. P 19 ἀπειθοίη] απειθων P ειδων P 20 φοβιθεισ P ὑπήκουσε φοβηθεὶσ tr. M δὲ MW 21 αὐτῷ] αὐτοῦ in editis ante Hudsonum esse ait Hauerkamp; sed αὐτῷ ed. pr. συλλῆψειν P 22 προσκαλεσάμενοσ τὸν ἰησοῦν tr. A ἔφησε R συσκευθησαν sic P 23 οὐδὲ MW 24 τῶν om. P πιπραγμένων, γ i. ras. P μετανοειν P 25 ποιειν P 26 σεπφωρίταισ P σαπφωρίταισ R

φορίτιας δ' ἠτείλησα, εἰ μὴ παύσαιντο τῆς ἀγνωμοσύνης. λήψεσθαι παρ' αὐτῶν δίκας.

112 23. Κατὰ τοῦτον τὸν καιρὸν ἀφικνοῦνται πρός με δύο μεγιστᾶνες τῶν ὑπὸ τὴν ἐξουσίαν τοῦ βασιλέως ἐκ τῆς τῶν Τραχωνιτῶν χώρας ἐπαγόμενοι τοὺς ἑαυτῶν ἵππους καὶ ὅπλα, χρήματα δ' ὑπο-
113 κομίζοντες. τούτους περιτέμνεσθαι τῶν Ἰουδαίων ἀναγκαζόντων, εἰ θέλουσιν εἶναι παρ' αὐτοῖς, οὐκ εἴασα βιασθῆναι, φάσκων δεῖν ἕκαστον κατὰ τὴν ἑαυτοῦ προαίρεσιν τὸν θεὸν εὐσεβεῖν, ἀλλὰ μὴ μετὰ βίας, χρῆναι δὲ τούτους δι' ἀσφάλειαν πρὸς ἡμᾶς καταφυγόντας μὴ μετανοεῖν. πεισθέντος δὲ τοῦ πλήθους τοῖς ἥκουσιν
114 ἀνδράσιν τὰ πρὸς τὴν συνήθη δίαιταν ἅπαντα παρεῖχον ἀπροφθύμως. 24. Πέμπει δ' ὁ βασιλεὺς Ἀγρίππας δύναμιν καὶ στρατηγὸν ἐπ' αὐτὴν Ἴκονον Μόδιον Γάμαλα τὸ φρούριον ἐξαιρήσοντας. οἱ δὲ πεμφθέντες κυκλώσασθαι μὲν τὸ φρούριον οὐκ ἠρκέσαν, ἐν δὲ
115 τοῖς φανεροῖς τῶν τόπων ἐφεδρεύοντες ἐπολιόρκουν τὰ Γάμαλα. Αἰβούτιος δὲ ὁ δεκάδαρχος, ὁ τοῦ μεγάλου πεδίου τὴν προστασίαν πεπιστευμένος, ἀκούσας ὅτι παρεῖην εἰς Σιμωνιάδα κώμην ἐν μεθορίοις κειμένην τῆς Γαλιλαίας, αὐτοῦ δ' ἀπέχουσαν ἑξήκοντα σταδίους, νυκτὸς ἀναλαβὼν τοὺς ἑκατὸν ἱππεῖς, οὓς εἶχεν σὺν αὐτῷ, καί τινας πεζοὺς περὶ διακοσίους, καὶ τοὺς ἐν Γάβα πόλει κατοι-
116 κοῦντας ἐπαγόμενος συμμάχους, νυκτὸς ὁδεύσας ἦλθεν εἰς τὴν κώμην. ἦν δὲ διήκοντα. ἀντιπαρατεξαμένου δὲ κἀμοῦ μετὰ δυνάμεως πολλῆς ὁ μὲν Αἰβούτιος εἰς τὸ πεδίον ὑπάγειν ἡμᾶς ἐπειρᾶτο· σφόδρα γὰρ τοῖς ἱππεῦσιν ἐπεποίθει. οὐ μὴν ὑπηκούσαμεν· ἐγὼ γὰρ τὸ πλεονέκτημα συνιδὼν τὸ γενησόμενον τοῖς ἱππεῦσιν, εἰ καταβαίημεν εἰς τὸ πεδίον, πεζοὶ γὰρ ἡμεῖς οὐ μιμούμενοι ἦμεν, ἔγνων αὐτοῖς τοῖς
117 πολεμίοις συνάπτειν. καὶ μέχρι μέν τινος γενναίως ἀντέσχεν σὺν

PRAMW

1 δὲ MW παύσοιντο W λήμψεσθαι P 3 κερὸν αφικνουντα P 4 τραχωνειτῶν P 5 χρήματα δ'] καὶ χρήματα R καὶ χρήματα δὲ MW ὑπαγομιζοντες ed. Geneu. 7 εἰ θέλουσιν om. MW εἶναι om. P ἔασα P 8 ἕκαστον] ἕκαστον ἄνθρωπον RAMW αὐτοῦ R μὴ-, eras. *v* P 9 χρῆναι P ασφαλιαν P καταφεύγοντας RAMW 10 πισθεντος P 11 συνηθει P ἅπαντα MW 12 δὲ MW στρατιγον P 13 Αἴκονον] αἴκουν R εικονον, εὖ i. ras., *v* i. ras. 2 litt. A ἔκδυον MW Μόδιον] μονόδιον R, cf. § 61 φρούριον] χωρίον MW 14 κυκλώσαντες P 15 τοπον P 16 ἐβούτιος R et ex corr. A δεκάδαρχος] δεκαδάρχης R δέκαρχος M, i. marg. γρ δεκάρχης A πεδίου] πέλιον P 17 μεθορίοις] μοριω P, unde μεθορίῳ coni. 18 δὲ W 20 περὶ] παρὰ R γαβᾶ RMW 21 νυκτὸς om. R ἦλθεν] ἦλθεν M 23 ἐβούτιος PR et ex corr. A παιδιον P 23 ἐπειρᾶτο P 25 γεγενησόμενον M γεγενημένον W 26 παιδιον P ἔγνω R μαχεσθαι P γενναιος P

τοῖς περὶ αὐτὸν ὁ Λίβούτιος, ἀχρίον δ' ὁρῶν κατὰ τὸν τόπον τοῦτον οὖσαν αὐτῷ τὴν ἐπιτηδείαν δύναμιν ἀναζεύγνυσιν ἄπρακτος εἰς Γάβαν πόλιν, τρεῖς ἄνδρας ἀποβαλὼν κατὰ τὴν μάχην. εἰσόμην 118 δὲ κατὰ πόδας ἐγὼ δισχιλίους ἐπαγόμενος ὁπλίτας, καὶ περὶ Βήσαραν πόλιν γενόμενος ἐν μεθορίῳ μὲν τῆς Πτολεμαΐδος κειμένην, εἴκοσι δ' ἀπέχουσαν στάδια τῆς Γάβας, ἔνθα διέτριβεν Λίβούτιος, αἰτήσας τοὺς ὁπλίτας ἔξωθεν τῆς κώμης καὶ φρουρεῖν αὐτοῖς ἀσφαλῶς τὰς ὁδοὺς προστάξας ὑπὲρ τοῦ μὴ ἐνοχλῆσαι τοὺς πολεμίους ἡμῖν ἕως τὸν σῖτον ἐκφορήσομεν, πολὺς γὰρ ἀπέκειτο Βερενίκης 119 τῆς βασιλίδος ἐκ τῶν περιξ κωμῶν εἰς τὴν Βήσαραν συλλεγόμενος, πληρώσας τὰς καμήλους καὶ τοὺς ὄνους, πολλοὺς ἐπηγόμην, διέπεμψα τὸν σῖτον εἰς τὴν Γαλιλαίαν. τοῦτο δὲ πράξας προσεκαλούμην 120 εἰς μάχην τὸν Λίβούτιον, οὐχ ὑπακούσαντος δ' ἐκείνου, κατεπέπληκτο γὰρ τὴν [μισθοφόρων] ἀναμάστησιν καὶ τὸ θράσος, ἐπὶ Νεοπολιτανὸν ἐτραπόμην τὴν Τιβεριέων χώραν ἀκούσας ὑπ' αὐτοῦ λεηλατεῖσθαι. ἦν δὲ Νεοπολιτανὸς ἴλης μὲν ἔπαρχος, παρειλήφει δὲ 121 τὴν Σκυθόπολιν εἰς φυλακὴν τὴν ἀπὸ τῶν πολεμίων. τοῦτον οὖν κωλύσας ἐπὶ πλέον τὴν Τιβεριέων κακοῦν περὶ τὴν τῆς Γαλιλαίας πρόνοιαν ἐγινόμην.

25. Ὁ δὲ τοῦ Λευεῖ παῖς Ἰωάννης, ὃν ἔφαμεν ἐν τοῖς Γισχάλοις διατρίβειν, ταθέμενος πάντα κατὰ τῶν μοι προχωρούντων, καὶ δι' ὑπονοίας μὲν εἶναί με τοῖς ἐπηκόοις, τοῖς πολεμίοις δὲ δι' ἐκ- 122

PRAMW

1 ὁ om. R *ἐβούτιος* R et ex corr. A, i. marg. *αι* A *ἀχριον* P *δὲ* MW 2 *αὐτῶι* ex corr. A *αυτων* P 3 *γαβᾶ* RM *γαβᾶν* W *τρεῖς] πρισ* P 4 *βήσαρασ* MW 5 *πόλιν] κώμην* MW *μεθοριων* P *μεθορίοις* W *μὲν] δὲ* MW 6 *δ'] τέσσαρα* MW *γαβασ* PA *γαβᾶσ* RMW *ἐβούτιος* PR et ex corr. A 7 *αὐτοῖς] αὐτὸν* R *αὐτοὶσ* MW 8 *προστάξας* om. P *ενοχλησθε* P 9 *ἐκφορήσωμεν* MW *πολλὺσ* P *βερνίκησ* RMW 10 *εἰς τὴν Βήσαραν* om. R *βησαρᾶν* M *βησαρὰν* W 11 *πληρώσας τὰς] coni. πληρωσαντεσ* P *πληρώσαντεσ* RMW *πληρώσασ* A *πολλοὺς ἐπηγόμην] πολλοὺσ ἐπιγομην* P *πολλοὺσ δ'* (*δὲ* A) *ἐπηγόμην* RA *πολλοὺσ ἠπειγμένοσ* (*ἠπειγμένωσ* M) MW *οὓσ πολλοὺσ ἐπηγόμην* uel *πολλοὺσ ἐπηγμένοσ* coni. 12 *παρεκαλούμην* R *προσεκαλούμην* MW 13 *μάχην] χαμην* P *ἐβούτιον* PR et ex corr. A *ὑπακούσαντοσ* P *δὲ* MW *κατέπληκτο* P *καταπέπληκτο* R 14 *ἠμετέραν* om. MW fort. recte *θάρσοσ* RAW *θράσοσ* M *νεοπολιτανον* P *νεοπολιτιανὸν* M 15 *τιβεριαιων* P *λεηλατισθαι* P 16 *δὲ] δὲ ὁ* RAMW *νεοπολιτιανὸσ* M *ἴλησ, ϊ* i. ras. A *ειλησ* P *εἴλησ* M *εἵλησ* W 17 *τουτων* P 18 *πλεων* P *τιβεριαων* P *τιβεριάδα* RAMW *κακοῦντα περὶ* M 19 *ἐγενόμην* MW 20 *τοῦ* om. W *Λευεῖ] λευΐου* R *λευΐ* AMW i. marg. *λευΐου* A *ἐν* om. R *γησχαλοισ* P *γισχάλοισ, γ* ex *δ* corr. R 22 *διεννοιασ* P *μὲν] με* P *με] μεν* P

πλήξεως, οὐκ εἰ τὴν γνώμην ἐτέθη, κατάλυσιν δ' αὐτῷ τὴν ἐμὴν
123 εὐπραγίαν φέρειν νομίζων εἰς φθόνον ἐξώκειλεν οὔτι μέτριον. καὶ παύσειν με τῆς εὐτυχίας ἐλπίσας, εἰ παρὰ τῶν ὑπηκόων μῖσος ἐξάψειεν, ἔπειθεν τοὺς τὴν Τιβεριάδα κατοικοῦντας καὶ τοὺς τὴν Σέπφωριν [νομίζων] πρὸς τούτοις δὲ καὶ τοὺς Γάβαρα. πόλεις δ' εἰσὶν αὗται τῶν κατὰ τὴν Γαλιλαίαν αἱ μέγισται, τῆς πρός με πίστεως ἀποστάντας αὐτῷ προστίθεσθαι· κρεῖττον γὰρ ἐμοῦ στρα-
124 τηγήσειν αὐτῶν ἔφασκεν. καὶ Σεπφωρεῖς μέν, οὐδετέρῳ γὰρ ἡμῶν προσεῖχον διὰ τὰ Ῥωμαίους ῥῆσθαι δεσπότας, οὐκ ἐπένευον αὐτῷ. Τιβεριεῖς δὲ τὴν μὲν ἀπόστασιν οὐκ ἐδέχοντο, αὐτοῦ δὲ συγκατένευον γενέσθαι φίλοι. οἱ δὲ Γάβαρα κατοικοῦντες προσίθενται τῷ Ἰωάννῃ· Σίμων δ' ἦν ὁ παρακαλῶν αὐτούς, πρωτεύων μὲν τῆς
125 πόλεως, ὢν φίλῳ δὲ καὶ ἑταίρῳ τῷ Ἰωάννῃ χρώμενος. ἐκ μὲν οὖν τοῦ φανεροῦ τὴν ἀπόστασιν οὐκ ὠμολόγουν· σφόδρα γὰρ ἐδεδοίκεσαν τοὺς Γαλιλαίους ἅτε δὴ πεῖραν αὐτῶν τῆς πρὸς ἡμᾶς πολλάκις εὐνοίας λαβόντες· ἐκ τοῦ λαθραίου δὲ καιρὸν παραφυλάσσοντες ἐπιτήδειον ἐπεβούλευον, καὶ δὴ ἀρικόμην εἰς κίνδυνον τὸν μέγιστον διὰ τοιαύτην αἰτίαν.

126 26. Νεανίσκοι τινὲς Φρασεῖς Ἰαβαριττηνοὶ γένος ἐπιτηρήσαντες τὴν Πτολεμαίου γυναῖκα τοῦ βασιλέως ἐπιτρόπου μετὰ πολλῆς παρασκευῆς καί τινων ἱππέων ἀσφαλείας χάριν ἑπομένων διὰ τοῦ μεγάλου πεδίου τὴν πορείαν ποιουμένην ἐκ τῆς τοῖς βασι-
127 λεῦσιν ἐπιτηδείους χώρας εἰς τὴν Ῥωμαίων ἐπικράτειαν, ἐπιπίπτουσιν αὐτοῖς ἄφνω. καὶ τὴν μὲν γυναῖκα φυγεῖν ἠνάγκασαν, ὅσα δ' ἐπε-

§ 126 = bell. Iud. II 595.

PRAMW

1 ἐτέθη] διετέθη coni. δὲ MW αὐτῷ] αυτων P αὑτοῦ R fort. recte 2 φέρειν om. M 3 παυειν P με] μὲν R 4 εξαψειεν P ἐξαφθείη (η i. ras.) i. marg. γρ ἐξάψειε A επιθεν P 5 σεπφωριν P νομίζων] νομιζων P, om. R δὲ] τε W, om. A δὲ MW 7 αυτων P κρεττον P στρατιησειν P 8 αὐτῶν] αὑτὸν R litt. τῶν ἔφασκεν — σεπφωρεῖς μὲν i. ras. angustius scriptae m. 2 A ἔφασκεν] ἔφασκεν ἑαυτὸν A 9 ῥῆσθαι MW επενευον P 10 οὐκ ἐξεδέχοντο MW αὐτοῦ] καὶ αὐτοῦ PAMW συγκατενευον P 11 γενήσεσθαι RA προστιθεντε P 12 δὲ MW προτευων P μὲν] δε P 13 ετερω P 14 ἀπόστασιν] αποσιν P εδεδικεσαν P ἐδεδοίκεισαν MW 15 δὴ] ἰδὴ P τῆς] τὴν A ἡμᾶς] με R ἐμὲ AMW πολλακισσυνοιασ P 16 κερον P 17 επιτηδιον P κινδένων MW τὸν om. R 19 τινὲς] δε τινεσ P δαβαριτινοι P δαβαρητηνοὶ R δαβαρηττηνοὶ M ἀπὸ Δεβαρίθων (-ίθων) codd. meliores bell. Iud. II 595 επιτηρησαντεσ P 20 πτολεμεον P 21 ἀσφαλίας PW χάριν] χωρὶσ R 22 παιδιον P πορειαν P 23 επικρατιαν P 24 γυναῖκα] αυτεκα P φεύγειν A δὲ W ἐπεφέρετο] ὑπεφέρετο PR ἐφέρετο MW

φέρετο πάντα διήρπασαν, καὶ ἦκον εἰς Ταριχέας πρός με τέσσαρας ἡμιόνους καταφόρτους ἄγοντες ἐσθῆτος καὶ σκευῶν· ἦν δὲ καὶ ἀργυρίου σταθμὸς οὐκ ὀλίγος καὶ χρυσοῖ πεντακόσιοι. ταῦτ' ἐγὼ 128
βουλόμενος διαρπάσαι τῷ Πτολεμαίῳ, καὶ γὰρ ἦν διάφορος, ἀπηγόρευται δ' ἡμῖν ὑπὸ τῶν νόμων μηδὲ τοὺς ἐχθροὺς ἀποστερεῖν, πρὸς μὲν τοὺς κομίσαντας ἔφην φυλάττειν αὐτὰ δεῖν, ἵν' ἐκ τῆς πράσεως αὐτῶν ἐπισκευασθῇ τὰ τείχη τῶν Ἱεροσολύμων, οἱ δὲ 129
νεανίαι χαλεπῶς ἔσχον οὐ λαβόντες μοῖραν ἐκ τῶν λαφύρων, καθάπερ προσεδόκησαν, καὶ πορευθέντες εἰς τὰς πέριξ τῆς Τιβεριάδος κώμας προδιδόναι μέλλειν με Ῥωμαίοις τὴν χώραν αὐτῶν ἔλεγον· κεχρῆσθαι γὰρ σοφίσματι πρὸς αὐτοὺς λέγοντα τὰ ἐκ τῆς 130
ἁρπαγῆς κομισθέντα φυλάττειν εἰς τὴν ἐπισκευὴν τῶν τειχῶν τῆς Ἱεροσολυμιτῶν πόλεως, ἐγκεῖσθαι δὲ πάλιν τῷ δεσπότῃ ἀποδοῦναι [τὰ ἡρπασμένα]. καὶ κατὰ τοῦτό γε τῆς ἐμῆς γνώμης οὐ διήμαρτον· 131
ἀπαλλαγέντων γὰρ αὐτῶν μεταπεμψάμενος δύο τοὺς τρόπους Ἰωσίωνα καὶ Ἰανναῖον τὸν τοῦ Ἀηουῖ, φίλους ἐν τοῖς μάλιστα τοῦ βασιλέως καθεστῶτας, τὰ ἐκ τῆς ἁρπαγῆς σκεύη λαβόντας διαπέμψασθαι πρὸς ἐκεῖνον ἐκέλευον, θάνατον ἀπειλήσας αὐτοῖς τὴν ζημίαν, εἰ πρὸς ἕτερον ταῦτα ἀπαγγελοῦσιν.

27. Ἐπισχούσης δὲ φήμης τὴν Γαλιλαίαν ἅπασαν, ὡς τῆς 132
χώρας αὐτῶν μελλούσης ἐπὶ ἐμοῦ τοῖς Ῥωμαίοις προδίδοσθαι καὶ πάντων παροξυνθέντων ἐπὶ τὴν ἐμὴν τιμωρίαν, οἱ τὰς Ταριχέας κατοικοῦντες καὶ αὐτοὶ τοὺς νεανίσκους ἀληθεύειν ὑπολαβόντες πείθουσι τοὺς σωματοφύλακας καὶ τοὺς ὁπλίτας κοιμωμένου με καταλιπόντας παραγενέσθαι θᾶττον εἰς Ἰωτόδρομον, ὡς ἐκεῖ βουλεύ-

§ 127 = bell. Iud. II 596.

PRAMW

1 *ταριχαίας* R et ex corr. A *πρὸσ ἐμὲ* MW 2 *ἐσθῆτος*] *εσονταϛ* P *καὶ* (ante *σκευῶν*) om. MW 3 *χρυσωπιεντακοσιοι* P *ταῦτα* MW 4 *διαφυλάξαι*] *φυλάξαι* P *τῷ* om. MW *πτολεμεω* P *απηγόρευται*] *επιγνωρευται* P 5 *δὲ* MW *δ' ιμιν* P *μήτε* MW 6 *αὐτὰ φυλάττειν* tr. A 7 *πράξεωσ* PA *τῶν* iterat P in confinio paginarum 8 *χαλαιπωσ* P *λαβωντεσ μυραν* P 10 *παραδιδόναι* MW *μέλλιν* P *αὐτῶν* ex corr. A 11 *κεχρισθαι* P *τὰ* om. PMW 12 *τῆϛ*] *τῆσ τῶν* M 14 *τὰ ἡρπασμένα* om. R *γε*] *δε* P 15 *γαρ* i. ras. P *δασίωνα* RMW 16 *Ἰανναῖον*] *ἰάνναιον* W *Ἀνναίῳ* codd. meliores belli Iud. *λιονῖ* P *ληονῖ* RA *ληΐου* M *ληΐουει* W, i. marg. *γρ λευΐου* A 17 *ἁρπαγισσκευει* P *διαφεμψασθαι* P 19 *απαγγελλουσιν* P 20 *πᾶσαν* W *τὴν χώραν* W 21 *αὐτῶν*] *αὐτοῦ* PA 22 *τημωριαν* P *ταριχαίασ* R et ex corr. A 23 *αλιθευειν επιλαβοντεσ* P *ὑπολαμβάνοντεσ* MW *πιθουσι* P 24 *σοματοφυλακασ* P *καταλειποντασ* P 25 *θᾶττον*] *τον* P

133 σομένους μετὰ πάντων περὶ τοῦ στρατηγοῦ. πειθομένων δὲ τούτων καὶ συνελθόντων πολὺς ὄχλος ἦν, προσυνήθροιστο. μίαν τε πάντες ἐποιοῦντο φωνήν, κολάζειν τὸν προδότην πονηρὸν περὶ αὐτοὺς
134 γεγενημένον. μάλιστα δ' αὐτοὺς ἐξέκαιεν ὁ τοῦ Σαπίθα παῖς Ἰησοῦς ἄρχων τότε τῆς Τιβεριάδος, πονηρὸς ἄνθρωπος καὶ παράδεξαι μεγάλα πράγματα φύσιν ἔχων στασιοποιός τε καὶ νεωτεριστὴς ὡς οὐχ ἕτερος, καὶ δὴ τότε λαβὼν εἰς χεῖρας τοὺς Μωυσέως νόμους καὶ
135 προελθὼν εἰς μέσον, „εἰ μὴ καὶ ὑπὲρ αὐτῶν, ἔφη, πολῖται, μισεῖν δύνασθε Ἰώσηπον, εἰς τοὺς πατρίους ἀποβλέψαντες νόμους, ὧν ὁ πρῶτος ὑμῶν στρατηγὸς προδότης ἔμελλε γίνεσθαι, καὶ μισοπονηρήσαντες ὑπὲρ τούτων τιμωρήσασθε τὸν τοιαῦτα τολμήσαντα."
136 28. Ταῦτ' εἰπὼν καὶ τοῦ πλήθους ἐπιβοήσαντος ἀναλαβών τινας ὁπλίτας ἐπὶ τὴν οἰκίαν, ἐν ᾗ κατηγόμην, ἔσπευδεν ὡς ἀναιρήσων. ἐγὼ δ' οὐδὲν προαισθόμενος διὰ κόπον πρὸ τῆς παραχῆς
137 κατεσχήμην. Σίμων δ' ὁ τοῦ σώματός μου τὴν φυλακὴν πεπιστευμένος, ὁ καὶ μόνος παραμείνας, ἰδὼν τὴν ἐπιδρομὴν τῶν πολιτῶν εἰσήγειρέ με καὶ τὸν ἐφεστῶτά μοι κίνδυνον ἐξήγγειλεν, ἠξίου τε γενναίως θνήσκειν ὡς στρατηγὸν ὑπ' αὐτοῦ πρὶν δὴ ἐλθεῖν τοὺς
138 ἐχθροὺς ἀναγκάσοντας ἢ κτενοῦντας. ὁ μὲν ταῦτα ἔλεγεν, ἐγὼ δὲ τῷ θεῷ τὰ καθ' ἑαυτὸν ἐπιτρέψας εἰς τὸ πλῆθος ὥρμησθην ἀμυνεῖσθαι. μετενδὺς οὖν μέλαιναν ἐσθῆτα καὶ τὸ ξίφος ἀναρτησάμενος

§ 133 = bell. Iud. II 599.

PRAMW

1 περί] suppl. m. 1 A κατὰ MW 2 προσσυνήθροιστο R τε δὲ MW 4 γεγεννημενον P δὲ MW ἐξεκεεν P Σαπίθα] σαπιθᾶ AMW Σαπφία Hudson ex § 66 et bell. Iud. 5 ἀρχον P ανθροποσ P 6 νεοτεριστης P, i. marg. γρ νεωτεροποιος A 7 τότε δὴ tr. PAR μωσεως P 8 προελθὼν] coni. προσελθὼν (προσελθον P) codd. καὶ om. AMW αὐτῶν MW μισεῖν] μηεινωμι P 9 δύνασθαι PA¹ ἰωσιπον P ἀποβλέψαντες, ντες i. ras. P ὁ om. M 10 πρῶτος fort. corruptum στρατιγος P μισοπονηρησοντασ P μισοπονηρεύσαντες R 11 τιμωρησασθαι P τολμησοντα P 12 ταῦτα RMW 13 ὡς om. W ωνερησων P 14 δὲ MW προεσθομενοσ P διὰ κόπον] διακονον P πρὸ τῆς ταραχῆς] προτησ P γρ πρὸσ τῆσ ἀρχῆσ i. marg. A τῆς ταραχῆς coni. 15 ὕπνῳ ante κατεσχήμην supplendum aut subaudiendum esse putat Hudson δὲ MW ὁ] ον P 16 εἰδων P 17 διήγειρέ] διεγειραί P διεγείρει AMW τὸν] τῶν A μοι om. M ἐξήγγειλεν] εξεγειλεν P ἐξαγγέλλει A διαγγέλλει M ἐξαγγέλει W ηξειου P 18 γενναίως] γενέσθαι ὡσ PR ὑπ' αὐτοῦ] ὑφ' αὐτου R ἐπ' αὐτοῦ W, om. M δὴ ἐλθεῖν] διελθειν PAMW 19 ἐχθρούς] εκορουσ P κτενοῦντας P ταῦτ' RA 20 τὰ καθ' ἑαυτὸν τῷ θεῷ tr. MW 21 μελεναν P ωσθητα P ὡσ ἐσθῆτα MW απωρτησομενοσ P ἀπωρτισάμενος W

ἐκ τοῦ αὐχένος καθ' ὁδὸν ἑτέραν, ἢ μηδένα μοι τῶν πολεμίων ὑπαντιάσειν ᾤμην, ἦειν εἰς τὸν ἱππόδρομον, ἄφνω τε φανεὶς καὶ πρηνὴς πεσὼν καὶ τὴν γῆν δάκρυσιν φύρων ἐλεινὸς ἔδοξα πᾶσιν. συνεὶς δὲ τοῦ πλήθους τὴν μεταβολὴν διαστάναι τὰς γνώμας αὐτῶν 139 ἐπειρώμην πρὸ τοῦ τοὺς ὁπλίτας ἀπὸ τῆς οἰκίας ὑποστρέψαι. καὶ συνεχώρουν μὲν ἀδικεῖν, ὡς αὐτοὶ νομίζουσιν, ἐδόμην δὲ διδάξαι πρότερον, εἰς τίνα χρείαν ἐφύλαττον τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα χρήματα καὶ τότε θνήσκειν, εἰ κελεύοιεν. τοῦ δὲ πλήθους λέγειν 140 κελεύοντος ἐπῆλθον οἱ ὁπλῖται καὶ θεασάμενοί με προσέτρεχον ὡς κτενοῦντες. ἐπισχεῖν δὲ τοῦ πλήθους κελεύοντος ἐπείσθησαν προσδοκῶντες, ἐπειδὰν ὁμολογήσω πρὸς αὐτοὺς τὰ χρήματα τῷ βασιλεῖ τετηρηκέναι, ὡς ὡμολογηκότα τὴν προδοσίαν ἀναιρήσειν.

29. Σιγῆς οὖν παρὰ πάντων γενομένης, „ἄνδρες, εἶπον, ὁμό- 141 φυλοι, θανεῖν μέν, εἰ δίκαιόν ἐστιν, οὐ παραιτοῦμαι. βούλομαι δ' ὅμως πρὸ τοῦ τελευτῆσαι τὴν ἀλήθειαν φράσαι πρὸς ὑμᾶς· τὴν 142 γὰρ πόλιν ταύτην φιλοξενωτάτην οὖσαν ἐπιστάμενος πλήθουσάν τε προθύμως τοσούτων ἀνδρῶν, οἳ τὰς ἑαυτῶν πατρίδας καταλιπόντες ἀφίκοντο κοινωνοὶ τῆς ἡμετέρας γενόμενοι τύχης, ἐβουλήθην τείχη κατασκευάσαι ἐκ τῶν χρημάτων, περὶ ὧν ἡ παρ' ὑμῶν ἐστιν ὀργή, δαπανωμένων εἰς τὴν οἰκοδομίαν αὐτῶν." πρὸς ταῦτα παρὰ 143 μὲν τῶν Ταριχεωτῶν καὶ ξένων ἐγείρεται φωνὴ χάριν ἔχειν ὁμολογούντων καὶ θαρρεῖν προτρεπομένων, Γαλιλαῖοι δὲ καὶ Τιβεριεῖς τοῖς θυμοῖς ἐπέμενον, καὶ γίνεται στάσις πρὸς ἀλλήλους τῶν μὲν κωλύσειν ἀπτομένων μου τῶν δὲ καταφρονεῖν. ἐπεὶ δ' ἐπιγελάμενος 144

§ 138 = bell. Iud. II 601.

PRAMW

1 *μιδενα* P 2 *υπαντιασιν* P *ἦειν* om. PR *τε φανεὶς*] *δὲ ἀναφανεὶς* (*ἀναφανὴς* W) MW 3 *πεσων* P *φύρων*] *φερων* P *βρέχων* R 4 *διεσταναι* P *διστᾶναι* W 5 *οικειας* P 6 *μὲν* om. PA *αὐτοὶ*] *αὐτὸν* W *νομειζουσιν* P 7 *νομισθέντα* R 8 *θνισκειν* P *τοῦ* ex *τὸν* corr. A 9 *οπλειται* P 10 *πλίθους* P *κελεύσαντος* R fort. recte *ἐπισθῆσαν* P 11 *επιδαν* P 12 *ομολογηκοτα* P *αναιρησιν* P 13 *σειγης* P *γινομενης* P *ανδρας* P *εἶπεν* R 14 *δὲ* MW 16 *οὖσαν ἐπιστάμενος πληθύ* om. P litt. *ουσάν* — 17 *ἀνδρῶν* i. ras. angustius scriptae m. 2 A *πλήθουσαν* MW 17 *προθύμως*] om. MW et ut uid. A^1, fort. u. 18 ante *ἀφίκοντο* transponendum *καταλειποντες* P 18 *ὑμετέρας* PAW *γενησόμενοι* coni. 19 *χρημάτων*] *χρημάτων τούτων* RAMW 20 *ὀργή*] *ἐορτή* R *δαπανομενων* P *παρὰ*] *περὶ* R 21 *ταριχεατῶν* R *ταριχαιωτῶν*, *αι* i. ras., i. marg. *γρ ταριχαιατῶν* A *ταριχέων* MW *χαρειν* P 22 *προσεπομενων* P *τιβέριοι* MW 23 *ἐπέμενον* ex *ἐπόμενοι* corr. A *επομενον* P *μὲν* om. P 24 *κόλασιν* PA^1 *με* om. AMW *ἐπεὶ δ'*] *επιδὴ* P *ἐπειδὴ δ'* R *ἐπεὶ δὲ* AMW

καὶ Τιβεριάδι κατασκευάσειν τείχη καὶ ταῖς ἄλλαις πόλεσιν αὐτῶν ταῖς ἀναγκαίαις. πιστεύσαντες ὑπεχώρουν ἕκαστος εἰς τὴν ἑαυτοῦ. κἀγὼ παρὰ πᾶσαν ἐλπίδα διαφυγὼν τὸν προειρημένον κίνδυνον μετὰ τῶν φίλων καὶ ὁπλιτῶν εἴκοσιν εἰς τὴν οἰκίαν ὑπέστρεψα.

145 30. Πάλιν δ' οἱ λῃσταὶ καὶ τῆς στάσεως αἴτιοι δείσαντες περὶ ἑαυτῶν, μὴ δίκας εἰσπραχθῶσιν ὑπ' ἐμοῦ τῶν πεπραγμένων, ἀναλαβόντες ἑξακοσίους ὁπλίτας ἦκον ἐπὶ τὴν οἰκίαν ἔνθα διέτριβον
146 ἐμπρήσοντες αὐτήν. ἀπαγγελθείσης δέ μοι τῆς ἐφόδου φεύγειν μὲν ἀπρεπὲς ἡγησάμην, ἔκρινα δὲ παραβαλόμενος χρήσασθαί τι καὶ τόλμῃ. προστάξας οὖν ἀποκλεῖσαι τῆς οἰκίας τὰς θύρας αὐτὸς ἐπὶ τὸ ὑπερῷον ἀναβὰς παρεκάλουν εἰσπέμψαι τινὰς λήψομένους
147 τὰ χρήματα· παύσεσθαι γὰρ οὕτως τῆς ὀργῆς αὐτοὺς ἔφην. εἰσπεμψάντων δὲ τὸν θρασύτατον αὐτῶν μάστιγιν αἰκισάμενος τὴν ἑτέραν τε τῶν χειρῶν ἀποκόψαι κελεύσας καὶ κρεμάσαι ἐκ τοῦ τρα-
148 χήλου τοιοῦτον ἐξέβαλον πρὸς τοὺς ἐξαποστείλαντας. τοὺς δ' ἔλαβεν ἔκπληξις καὶ φόβος οὐ τι μέτριος. δείσαντες οὖν καὶ αὐτοὶ ταὐτὰ πείσεσθαι, εἰ μένοιεν, ἔκαζον γὰρ ἔνδον ἔχειν με πλείους αὐτῶν, εἰς φυγὴν ὥρμησαν. κἀγὼ τοιούτῳ στρατηγήματι χρησάμενος τὴν δευτέραν ἐπιβουλὴν διέφυγον.

149 31. Πάλιν δὲ τὸν ὄχλον τινὲς ἠρέθιζον τοὺς ἀφικομένους πρός με βασιλικοὺς μεγιστᾶνας οὐκ ὀφείλειν ζῆν λέγοντες μὴ μετα-

---

§ 144 = bell. Iud. II 606.

PRAMW

1 *τιβεριάσι* MW, unde *Τιβεριεῦσι* coni. *κατασκευασαι* P 2 *ταῖσ ἀναγκαίαις*] i. marg. *γρ ταῖσ ἀνάγκαισ* A *ταῖσ ἀνάγκαισ* R *εαυτων* P 4 *ἔκοσιν* P *εἴκοσι* RMW *οἰκειανποστρεψα* P 5 *δὲ* MW *λιστα* P *δισαντεσ* P 6 *αὐτῶν* R *εισπραχθωσιν, χθ* ex *ττ* corr. P 7 *οἰκειαν* P 8 *εμπρησοντεσ* P *ἐμπρήσαντεσ* R *απαγγελθησεισ* P *φεύγειν*] *πρέπειν* in spatio unciso suppl. R 9 *παραβαλλόμενοσ* RM 10 *αποκλησαι* P *οικεισασ* P *τὰσ τῆσ οἰκίασ* tr. R *θύρασ, θ* ex *ο* corr. P 11 *ἐπὶ* ex *ὑπὲρ* corr. R *λημψομενουσ* P 12 *παύσεσθαι*] coni. *παύσασθαι* codd. *εἰσκειψάντων* — 14 *ἑτέραν*] *εἰσπεμψάντων δὲ τὸν θρασύτατον αὐτῶν εἰσ τὸ μαχαίτατον παρασύρασ τῆσ οἰκίασ καὶ μάστιξιν αἰκισάμενοσ τὴν ἑτέραν* R *εἰσπεμψάντων δὲ τὸν θρασύτατον αὐτῶν εἰσ τὸ μυχαίτατον τῆσ οἰκίασ παρασύρασ*, litt. *των δὲ — παρασύρασ* i. ras. angustius scripta m. 2 A, cf. bell. Iud. II 612 *εισπέμψαντο* P 13 *θαρσυτατον* P *θρασύτερον* MW *μαστιξεινεκεισαμενοσ* P *μάστιξιν ἀναικισάμενοσ* MW 14 *ἀποκόψασ* MW *κελεύσασ* om. MW *κρεμάσαι* RMW 15 *τοὺσ ἀποστείλαντασ* AMW *δὲ* MW 16 *εκ'πλιξισ* P *αὐτοὶ* om. P 17 *τοιαῦτα* R *τὰ αὐτὰ* MW 18 *αὐτῶν*] *αὐτῶν ὁπλίτασ* RAMW *φυγειν* P 19 *ἐξῆνυον* R 20 *τινεσ τὸν ὄχλον* tr. MW *ηρεθιζον* P 21 *βασιλεικουσ μεγιστανουσ* P *οφιλειν* P *λέγοντασ* A

βῆναι θέλοντας εἰς τὰ παρ' αὐτοῖς ἔθη, πρὸς οὓς σωθησόμενοι πάρεισι· διέβαλλόν τε φαρμακείας εἶναι λέγοντες τοὺς Ῥωμαίους παραγενέσθαι. ταχὺ δὲ τὸ πλῆθος ἐπείθετο ταῖς τῶν λεγομένων πρὸς χάριν αὐτοῖς πιθανότησιν ἀπατώμενοι. πυθόμενος δὲ περὶ 150
τούτων ἐγὼ πάλιν τὸν δῆμον ἀνεδίδασκον μὴ δεῖν διώκεσθαι τοὺς καταφυγόντας πρὸς αὐτούς· ὧν δὲ φλαύραν τῆς περὶ τῶν φαρμάκων αἰτίας διέφαινον, οὐκ ἂν ἐπιπλείας μυριάδας στρατιωτῶν Ῥωμαίοις λέγων τρέφειν, εἰ διὰ φαρμάκων ἦν νικᾶν τοὺς πολεμίους. ταῦτα λέγοντος ἐμοῦ πρὸς ὀλίγον μὲν ἐπείθοντο, πάλιν δ' ἀναχω- 151
ρήσαντες ὑπὸ τῶν πονηρῶν ἐξηρεθίζοντο κατὰ τῶν μεγιστάνων, καί ποτε μεθ' ὅπλων ἐπὶ τὴν οἰκίαν αὐτῶν τὴν ἐν Ταριχέᾳ ἀπῆλθον ὡς ἀναιρήσοντες. ἔδεισα δ' ἐγὼ πυθόμενος, μὴ τοῦ μίσους 152
τέλος λαβόντος ἀνεπίβατος γένηται τοῖς καταφεύγειν εἰς αὐτὴν θέλουσιν. παρεγενόμην οὖν εἰς τὴν τῶν μεγιστάνων οἰκίαν μετά τινων 153
ἑτέρων, καὶ κλείσας διώρυγά τε ποιήσας ἀπ' αὐτῆς ἐπὶ τὴν λίμνην ἄγουσαν μετατεμψάμενός τε πλοῖον καὶ σὺν αὐτοῖς ἐμβὰς ἐπὶ τὴν μεθόριον τῶν Ἱππηνῶν διεπέρασα, καὶ δοὺς αὐτοῖς τὴν τιμὴν τῶν πλοίων, οὐ γὰρ ἠθέλησάν μου λαμβάνεσθαι τοιαύτης γενομένης τῆς ἀποδράσεως, ἀπέλυσα πολλὰ παρακαλέσας τὴν προσοῦσαν ἀνάγκην γενναίως ἐνεγκεῖν. αὐτός τε μεγάλως ἠχθόμην βιασθεὶς 154
τοὺς προσφυγόντας ἐκθεῖναι πάλιν εἰς τὴν πολεμίαν, ἄμεινον δὲ νομίσας παρὰ Ῥωμαίοις ἀποθανεῖν αὐτούς, εἰ συμπέσοι, μᾶλλον ἢ κατὰ τὴν ἐμὴν χώραν. οἱ δ' ἄρα διεσώθησαν· συνεχώρησεν γὰρ αὐτοῖς βασιλεὺς Ἀγρίππας τὰ ἡμαρτημένα. καὶ τὰ μὲν περὶ ἐκεί-
νους τοῦτ' ἔσχε τὸ τέλος.

PRAMW

2 λέγοντες] λεγοντασ P λέγοντεσ καὶ κωλυτὰσ RA λέγοντεσ καὶ κωλύοντασ MW λέγοντες καὶ κελεύοντας Hallius τοὺς] τοῦ A τοῦ Ῥωμαίων περιγενέσθαι Cocceji 3 επιθετο P 4 αὐτοῖς] αὐτῶν R απατομενοι πειθομενοσ P δ' ἐγὼ περὶ τούτων tr. R 5 διώκεσθαι] διώσκεσθαι PR 6 τὸν] τὸ ed. pr. φαρμακῶν W 8 λέγων] δε λεγων P τρέφειν] τροφὴν R εἰ] η P φαρμακέων AMW 9 ταῦτα δὲ λέγοντοσ PMW ἐμοῦ] αὐτοῦ R μὲν] δε P επιθοντο P δὲ MW 10 εξηρεθηζοντο P ἐξερεθίζοντο R 11 οικειαν P τὴν om. MW ταριχαίᾳ R ταριχαίᾳ ex ταριχέᾳ corr. A ταρίχει MW Ταριχέας coni. επηλθων P ἐπῆλθον RA 12 δὲ MW μίσουσ W 13 ανεπιβατον P fort. recte γενητε P καταφυγειν] καταφυσιν P 14 οικειαν P 15 κλισασ P ἀπ'] Hudson ἐπ' codd. αὐτῆς] αὐτὴν MW 17 μεθοριαν P Ἱππηνῶν] ἱοπηνῶν R τημην P 18 ηδυνηθη P αυτοισ P εναγαγεσθαι P ἀπαγαγέσθαι MW 21 πάλιν ἐκθεῖναι tr. M πολεμιαν P δὲ] δὴ R εἶναι A δὲ ἦν MW 22 σημπεσοι P 23 δὲ MW 24 ὁ βασιλεὺσ R ημαρτιμενα P 25 τοῦτο MW

155 32. *Οἱ δὲ τὴν τῶν Τιβεριέων πόλιν κατοικοῦντες γράφουσιν*
πρὸς τὸν βασιλέα παρακαλοῦντες πέμψαι δύναμιν τὴν φυλάξουσαν
αὐτῶν τὴν χώραν· θέλειν γὰρ αὐτῷ προστίθεσθαι. κἀκείνῳ μὲν
156 *ταῦτ' ἔγραφον. ἀφικόμενον δέ με πρὸς αὐτοὺς παρεκάλουν τὰ*
τείχη κατασκευάζειν αὐτοῖς, ὡς ὑπεσχήμην· ἠκηκόεισαν δὲ τὰς Τα-
ριχέας ἤδη τετειχίσθαι. κατανεύσας οὖν ἐγὼ καὶ πάντα τὰ πρὸς
τὴν οἰκοδομίαν παρασκευασάμενος τοὺς ἀρχιτέκτονας ἐκέλευον ἐντ-
157 *γεῖν. μετὰ δὲ τρίτην ἡμέραν εἰς Ταριχέας ἀπερχομένου μου τῆς*
Τιβεριάδος ἀπεκούσας στάδια τριάκοντα, συνέβη τινὰς Ῥωμαίων
ἱππεῖς οἳ παρρωθεν τῆς πόλεως ὁδοιποροῦντας διῃτῆται. οἱ δ᾽ ὀξὺ
158 *παρέσχον τὴν παρὰ τοῦ βασιλέως δύναμιν ἴχειν. εὐθέως γοῦν εἰς*
μὲν τὸν βασιλέα μετὰ πολλῶν ἐταίνων ἠφίεσαν φωνάς, κατ' ἐμοῦ
δὲ βλασφήμους. καὶ ἐπιδραμών τις ἀπήγγειλέν μοι τὴν διάνοιαν
159 *αὐτῶν, ὡς ἀφίστασθαί μου διεγνώκασιν. ἐγὼ δ᾽ ἀκούσας ἐταράχθην*
μὲν σφόδρα· τοὺς γὰρ ὁπλίτας ἔντυχον ἐκ τῶν Ταριχεῶν ἐπὶ τὰς
αὐτῶν οἰκήσεις ἀφεικὼς διὰ τὸ τὴν ἐπιοῦσαν ἡμέραν σάββατον
ἐπάρχειν· οὐ γὰρ ἐβουλόμην ὑπὸ τοῦ στρατιωτικοῦ πλήθους ἐνο-
160 *χλεῖσθαι τοὺς ἐν ταῖς Ταριχέαις. ὁσάκις γοῦν ἐν αὐταῖς διέτριβον*
οὐδὲ τῆς περὶ τὸ σῶμα φυλακῆς ἐποιούμην πρόνοιαν, σπεῖραν παρὰ
161 *τῶν ἐνοικούντων τῆς πρός με πίστεως λαβὼν πολλάκις. μόνους*
δ᾽ ἔχων περὶ ἐμαυτὸν ἑπτὰ τῶν ὁπλιτῶν καὶ τοὺς φίλους ἠπόρουν,
ὃ πράξω· μεταπέμψασθαι γὰρ τὴν ἐμὴν δύναμιν διὰ τὸ λήγειν
ἤδη τὴν ἐνεστῶσαν ἡμέραν οὐκ ἐδοκίμαζον· οὐδὲ γὰρ ἀφικομένης
αὐτῆς εἰς τὴν ἐπιοῦσαν ὅπλα λαβεῖν κωλυόντων ἡμᾶς τῶν νόμων,

§ 155 = bell. Iud. II 632.

PRAMW

1 *τῶν* om. MW *τιβεριαων* P 2 *φυλάξασαν* R 3 *αὐτῷ*] *αυτων* P 4 *ταῦτ'*] *τοῦτο* MW *εγεγραφον* P *πρὸς — 5 τείχη* om. P *τὰ τείχη* s. M 5 *ὑπεσχόμην* RMW *ηκηκοησαν* P *δὲ*] *γὰρ* M *ταριχαίας* R et ex corr. A 6 *τετειχισθαι* P *τὰ* om. PR 7 *τὴν* om. MW 8 *ταριχαίας* R et ex corr. A *μου* om. MW fort. recte 9 *απεσχουσας* P *ἀπεχούσης* MW *σταδίους* R *ῥωμαίους* MW 10 *οδοπορουντας, οδο* i. ras. P 11 *παρασχον* P *παρὰ* om. P 12 *ἐπαίνων* om. R *φωνὰς*] *φωνὰς εὐφήμους* R, cf. § 166 13 *καὶ εὐθὺς μοι τις τὴν* MW 14 *δὲ* MW *ἐταράχθη* R *ἐταράχθη*[1] A 15 *ταριχαίων* R *ταριχαιῶν, αι* i. ras. A *ταριχέων* W 16 *αφικωσ* P *ἀφικὼς* W 17 *ἐνοχλεῖσθαι* P 18 *τοὺς ἐν ταῖς* (*ταῖς* om. W) *Ταριχέαις* (*ταριχαίαις* M) u. 17 post *ἐβουλόμην* tr. MW *ταριχαίαισ* RM et ex corr. A *οσακεισ* P *οὖν* MW *αὐταῖς*] *αὐτῇ* MW 19 *παρὰ*] *περὶ* PA 21 *δὲ* MW 22 *μεταπέμπεσθαι* PRA *γαρ* i. ras. P *δυναμιν* P 23 *εδοκειμαζον* P

κἂν μεγάλη τις ἐπίῃειν ἀνάγκη, δοκῇ. εἰ δὲ τοῖς Ταριχεώταις 162
καὶ τοῖς παρ' αὐτοῖς ξένοις ἐπιτρέψαιμι τὴν πόλιν διαπράξειν.
ὑώρων οὐχ ἱκανοὺς ἐσομένους, τὴν ἐμὴν ὑπέρθεσιν ὑώρων μακρο-
τάτην· φθήσεσθαι γὰρ καὶ τὴν παρὰ βασιλέως δύναμιν ἀφικομέ-
νην, καὶ ἐκπεσεῖσθαι τῆς πόλεως ᾠόμην. ἐβουλεύομην οὖν στρα- 163
τηγήματι χρῆσθαί τινι καὶ' αὐτῶν. παραχρῆμα δὴ τοὺς πιστο-
τάτους τῶν φίλων ταῖς πύλαις τῶν Ταριχεῶν ἐπιστήσας φυλάξοντας
μετ' ἀσφαλείας τοὺς ἐξιέναι θέλοντας καὶ τοὺς πρώτους τῶν οἴκων
προσκαλεσάμενος, αὐτῶν ἕκαστον ἐκέλευσα καθελκύσαντα πλοῖον
ἐμβάντα συνεπαγόμενον τὸν κυβερνήτην ἕπεσθαί μοι πρὸς τὴν Τι- 164
βεριέων πόλιν. καὶ αὐτὸς δὲ μετὰ τῶν φίλων καὶ τῶν ὁπλιτῶν,
οὓς ἔφην ἑπτὰ τὸν ἀριθμὸν εἶναι, ἐμβὰς ἔπλεον ἐπὶ τὴν Τιβεριάδα.
33. Τιβεριεῖς δὲ τὴν παρὰ τοῦ βασιλέως δύναμιν ὡς ἔγνωσαν 165
οὐχ ἥκουσαν αὐτοῖς, πλοῖον δὲ τὴν λίμνην πᾶσαν ἐθεάσαντο πλήρη,
δείσαντες περὶ τῇ πόλει καὶ καταπλαγέντες ὡς ἐπιβατῶν πλήρεις
εἶναι νέας, μετατίθενται τὰς γνώμας. ῥίψαντες οὖν τὰ ὅπλα μετὰ 166
γυναικῶν καὶ παίδων ὑετηντίαζον πολλὰς μετ' ἐπαίνων εἰς ἐμὲ
φωνὰς ἀφιέντες, εἴκαζον γὰρ οὐ προπεπύσθαι με τὴν διάνοιαν
αὐτῶν, καὶ παρεκάλουν φείσασθαι τῆς πόλεως. ἐγὼ δὲ πλησίον 167
γενόμενος ἀγκύρας μὲν ἔτι πόρρω τῆς γῆς ἐκέλευον βαλέσθαι τοὺς
κυβερνήτας ὑπὲρ τοῦ μὴ κατάδηλα τοῖς Τιβεριεῦσιν εἶναι τὰ πλοῖα
κενὰ τῶν ἐπιβατῶν ὄντα, πλησιάσας δ' αὐτὸς ἔν τινι πλοίῳ κατε-
μεμιγμένην αὐτῶν τὴν ἄγνοιαν. καὶ ὅτι δὴ οὐ τοῖς εἴκοσιν εἶεν πασῶς
δικαίας ἄνευ προφάσεως ἐξίστασθαι τῆς πρὸς με πίστεως. ὡμο- 168
λόγουν δ' εἴς τε τὸ λοιπὸν αὐτοῖς συγγνώσεσθαι βεβαίως, εἰ πέμ-

§ 162 = bell. Iud. II 634.

PRAMW

1 κἂν] καὶ PR ἐπείγῃ MW δοκῇ, ᾗ i. ras. A δοκεῖ PRMW εἰ om. PRMW ταριχαιώταισ R et ex corr. A 2 επιτρεψαιμη P ἐπιτρέψαιμι M 3 ὑώρων om. MW ουκἱκανουσ P ἐσομένους om. MW ἐμὴν] δ' (δὲ A) ἐμὴν RA 4 ἀφικόμην R ἀφικνουμένην W 5 τῆς om. W ᾠμην ἐβουλόμην MW 6 χρῆσασθαι RMW τινι] την P δὴ] δὲ W 7 ταριχαίων RM ταριχαιῶν, αι i. ras. A ταριχέων W 8 μετὰ MW ασφαλιασ R ἐξιέναι] ed. pr. ἐξεῖναι codd. 9 καθελκύσαντα, ύ corr. ex αι uid. A 10 συναπαγόμενον W πρὸς] εἰσ MW τιβεριαιων P 11 αὐτὸσ R οπλειτων P 12 ἔπλεον om. MW 14 ουκηκουσαν P οὐχ εἴκουσαν R 15 περὶ τὴν πόλιν MW καὶ om. MW 16 εἶναι νέας] εἶεν αἱ νῆεσ MW ρειψαντεσ P 17 παιδίων MW 18 φωνὰσ εἰσ ἐμὲ tr. A προπεπύσθαι] προπεποιθαι P 19 φισασθαι P πλησίον] πλησίον τῆσ πόλεωσ MW 20 βάλλεσθαι RMW 21 κατάδηλα] καταδηλα, δ ex λ corr. P κατάλληλα A τιβεριεῦσι W 22 δὲ MW 25 δ' εἴς τε] δεῖσθαί με MW δ' εἴς γε coni. αὐτὸσ PRA συγγνωσθσθαι sic P πέμψειεν RM

ψειαν δέκα τοῦ πλήθους προεστῶτας. ἑπακοσιάντων δ' ἑτοίμως καὶ πεμψάντων ἄνδρας οὓς προεῖντο. ἐμβιβάσας ἀπέλυον εἰς Ταριχέας φυλαχθησομένους.

169 34. Τῷ στρατηγήματι δὲ τούτῳ τὴν βουλὴν πᾶσαν κατ' ὀλίγους λαβὼν εἰς τὴν προειρημένην πόλιν καὶ μετ' αὐτῶν τοὺς πολλοὺς τοῦ δήμου πρώτους ἄνδρας οὐκ ἐλάττους ἐκείνων ὄντας διεπεμψάμην. τὸ δὲ πλῆθος, ὡς εἶδον εἰς οἷον κακῶν ἥκουσι μέγεθος, παρεκάλουν με τὸν αἴτιον τῆς στάσεως τιμωρήσασθαι. Κλεῖτος δ' ἦν

171 ὄνομα τούτῳ. θρασὺς τε καὶ προπετὴς νεανίας. ἐγὼ δ' αὐτοκτεῖναι μὲν οὐχ ὅσιον ἡγούμενος ὁμόφυλον ἄνδρα, κολάσαι δ' ἀνάγκην ἔχων. τῶν περὶ ἐμὲ τινι σωματοφυλάκων Λημοὴ προσέταξα προελθόντι

172 κόψαι τοῦ Κλείτου τὴν ἑτέραν τῶν χειρῶν. δείσαντος δὲ τοῦ κελευσθέντος εἰς τοσοῦτο πλῆθος προελθεῖν μόνου, τὴν δειλίαν τοῦ στρατιώτου μὴ βουληθεὶς κατάδηλον γενέσθαι τοῖς Τιβεριεῦσιν. αὐτὸν Κλεῖτον φωνήσας „Δειδὴ καὶ ἄξιος, εἶπον, ὑπάρχεις ἀμφοτέρας τὰς χεῖρας ἀποβαλεῖν οὕτως ἀχάριστος εἰς ἐμὲ γενόμενος. γενοῦ σαυτοῦ δημόσιος. μὴ καὶ ἀπειθήσας χείρονα τιμωρίαν ἐπό-

173 σχῃς." τοῦ δὲ τὴν ἑτέραν αὐτῷ συγχωρῆσαι πολλὰ δεομένου μόλις κατένευσα. κἀκεῖνος ἄσμενος ὑπὲρ τοῦ μὴ τὰς δύο χεῖρας ἀποβαλεῖν λαβὼν μάχαιραν κόπτει τὴν ἀριστερὰν ἑαυτοῦ. καὶ τοῦτο τὴν στάσιν ἔπαυσεν.

174 35. Τιβεριεῖς δέ, ὡς εἰς τὰς Ταριχέας ἀφικόμην γνόντες τὴν στρατηγίαν, ἣ κατ' αὐτῶν ἐχρησάμην, ἀπεθαύμαζον ὅτι χωρὶς φόνου

§ 168 = bell. Iud. II 639.

PRAMW

1 προεστοτας P lacunam hic esse ex bell. Iud. conicio δὲ MW 2 πρωειπον P ενβιβασας P απελοιον P ἀπήλαννον MW ταριχαιας R et ex corr. A 4 τοῦτο P βουλαν P ολίγους, ου ex ο corr. A ὀλίγον R 5 πολους P 6 τοῦ δήμου ex τῶν δήμων corr. R 7 οἵων A κακον P ἥκουσιν W 8 με] μεν P τῆς] με τῆσ M τιμωρήσεσθαι PR κλιτος PA¹MW δ' ἦν] δ' R δὲ ἦν MW 9 τοῦτο W τε] δὲ W, om. M δὲ MW 10 κολάσαι] κἀλεσαι P δὲ MW 11 τινὶ codd. λιουει P λιονὶ R λη·ουὶ, ὲ i. ras., i. marg. γρ λευουὶ A λημοεὶ MW προσέταξε R προσελθόντι AMW 12 κλίτου PA¹MW 13 τοσοῦτο, litt. οσο ex οὗτο corr. R τοσοῦτον MW προελθεῖν] προδιελθεῖν A δεῖν προελθεῖν MW δίλιαν P 14 καταλήλον P 15 κλίτον PA¹MW επιδη P εἶπον] επιον P 16 ουτοσαχριστος P ἐμὲ] με P 17 δημόσιος] δήμιοσ RAMW απιθησασ P ὑποστῆς M ὑπόστης W 18 αὐτῶι ex corr. A δεομένου πολλὰ tr. MW 19 ἀσμένωσ R τοῦ om. P 20 μαχεραν P ἑαυτοῦ] αὐτοῦ R τουτοι P 22 τὰς om. MW ταριχαίασ R et ex corr. A γνωντεσ P 23 χωρεισ P

ἔπαυσα τὴν ἀγριομανίαν αὐτῶν. ἐγὼ δὲ τοὺς ἐκ τῆς ἀρχῆς μετα- 175
πεμψαμένους τοὺ πλήθους τῶν Τιβεριέων, ἦν δὲ οὗτος Ἰοῦστος
καὶ ὁ πατὴρ αὐτοῦ Πίστος, συνδεήτους ἐποιησάμην. καὶ παρὰ
τὴν ἑστίασιν ἔλεγον, ὅτι τὴν Ῥωμαίων δύναμιν οὐδ' αὐτὸς ἀγνοῶ
στασιῶν διαφέρουσαν, σιγήσω μέντοι περὶ αὐτῆς διὰ τοὺς κρατήσ.
καὶ αὐτοῖς δὲ ταῦτα συνεβούλευον τοῦτον τὸν ἐπιτήδειον περιμένουσι 176
καιρὸν καὶ μὴ δυσανασχετεῖν ἐμοὶ σιραιτηγῷ· μηδενὸς γὰρ αὐτοῖς
ἕτερον ἀντήσεσθαι ῥᾳδίως ἐπιεικοῦς ὁμοίως τυχεῖν. τὸν Ἰοῦστον 177
δὲ καὶ ἐπεμίμνησκον, ὅτι πρόσθεν ἢ με παραγενέσθαι ἐκ τῶν Ἱερο-
σολύμων οἱ Γαλιλαῖοι τὰδελφοῦ τὰς χεῖρας ἀποκόψαι αὐτοῦ πρὸ
τοῦ πολέμου κλαυσιῶν αὐτῷ γραμμάτων κακοεργίαν ἐπικαλέσαντες,
καὶ ὅτι μετὰ τὴν ἀναχώρησιν τὴν Φιλίππου Γαμαλιταὶ πρὸς Βαβυ-
λωνίους στασιάζοντες ἀπέλιπον Χάριτα, συγγενῆ δ' ἦν οὗτος τοῦ
Φιλίππου, καὶ ὡς Ἰησοῦν τὸν ἀδελφὸν αὐτοῦ ἄνδρα τῆς ἀδελφῆς 178
Ἰούστου σωφρόνως κολάσειαν. ταῦτα παρὰ τὴν ἑστίασιν διαλεχθεὶς
τοῖς περὶ τὸν Ἰοῦστον ἔωθεν ἐκέλευσα πάντας τῆς φυλακῆς ἀπο-
λυθῆναι.

36. Πρὸ δὲ τούτων συνέβη τὸν Ἰακίμου Φίλιππον ἀπελθεῖν 179
ἐκ Γάμαλα τοῦ φρουρίου τοιαύτης αἰτίας γενομένης· Φίλιππος 180
πυθόμενος μεθεστάναι μὲν Οὐάρον ὑπὸ τοῦ βασιλέως Ἀγρίππα,
διάδοχον δὲ ἀφῖχθαι Μόδιον Αἴκονον ἄνδρα φίλον αὐτῷ καὶ συ-
ήθη πάλαι, γράφει πρὸς τοῦτον τὰς καθ' ἑαυτὸν τύχας ἀπαγγέλ-
λων καὶ παρακαλῶν τὰ παρ' αὐτοῦ πεμφθέντα γράμματα πρὸς
τοὺς βασιλέας ἀποστεῖλαι. καὶ Μόδιος δεξάμενος τὰς ἐπιστολὰς 181
ἐχάρη σφόδρα σώζεσθαι τὸν Φίλιππον ἐξ αὐτῶν ἐπιγνούς, καὶ πρὸς

PRAMW

2 πλίθους P τιβεριαιων P 3 πίστος M συνδιπνους P 4 ἑστίαν MW δυναμην P οὐδὲ MW αγνοων P 5 μέντοι] μὲν PRMW διὰ τοὺς κρατὰς περὶ αὐτῆς tr. A 6 αὐτοῖς] αὐτους R τοῖσ MW ταὐτὰ A ἐπιτηδιον P προσμένουσι W 7 κερον P μὴ om. R αὐτοῖσ M 8 ἐπϊοῦσ P ἐπιεικοῦσ, οῦ ex ω corr. R 8 τὸν δὲ ἰοῦστον δὲ W 9 ἢ] πρινὴ sic MW ἢ ἐμὲ R με παραγενέσθαι] μεταγενέσθαι MW 10 αποκουιαν P 11 αυτων γραμματω· P ἀποκαλέσαντεσ PRMW 12 ανακορησιν P βαβυλονιους P 13 χάριτα M συνγενησ P δὲ MW ουτωσ P τοῦ om. MW 14 φιληππου P 15 σώφρονοσ R σώφρονοσ γρ ἐν ἄλλοισ i. marg. A κολασιαν P ἑστίαν W 16 τοῖς] τοὺσ R ἔωθεν] εσοθεν P 18 τουτον P τούτου MW ἰωακίμου R 19 γαμάλων R γινομένησ P 20 μεθιστᾶναι R μεταστῆναι AMW ἀπὸ AMW ἀγρίππου ex corr. A 21 μονόδιον R Αἴκουον] ἐκουον PA¹ εὔκουον ex corr. A αἴκοον W ναίκοον M, cf. § 114 22 γράφει] τραφεισ P γεγράφει R καθεαυτων P απαγγελων P 23 γραμματατα P 24 ἀποστεῖλαι] τιλαι P μονόδιοσ R 25 εχαρι P

182 τοῖς βασιλέως ἔπεμψε τὰ γράμματα περὶ Βηρυτῶν ὄντας. ὁ δὲ βασιλεὺς Ἀγρίππας ὡς ἔγνω ψευδῆ τὴν περὶ Φιλίππου φήμην γενομένην, λόγος γὰρ διῆλθεν, ὡς στρατηγοίη τῶν Ἰουδαίων ἐπὶ τὸν πρὸς Ῥωμαίους πόλεμον, ἔπεμψεν ἱππεῖς τοὺς παραπέμψον-
183 τας τὸν Φίλιππον. καὶ παραγενόμενον ἀσπάζεται τε φιλοφρόνως τοῖς τε Ῥωμαίων ἡγεμόσιν ἐπεδείκνυεν, ὅτι δὴ Φίλιππος οὗτος ἐστιν, περὶ οὗ διεξῆει λόγος ὡς Ῥωμαίων ἀποστάντος. κελεύει δ' αὐτὸν ἱππεῖς τινας ἀναλαβόντα θᾶττον εἰς Γάμαλα τὸ φρούριον πορευθῆναι τοὺς οἰκείους αὐτῷ πάντας ἐκεῖθεν ἐξάξοντα καὶ τοὺς Βα-
184 τανέων εἰς τὴν Βατανέαν πάλιν ἀποκαταστήσοντα. παρήγγειλε δὲ καὶ πᾶσαν ποιήσασθαι πρόνοιαν ὑπὲρ τοῦ μὴ γενέσθαι τινὰ νεωτερισμὸν παρὰ τῶν ὑπηκόων. Φίλιππος μὲν οὖν ταῦτα τοῦ βασιλέως ἐπιστείλαντος ἔσπευδε ποιήσων ἃ προσέταξεν.
185 37. Ἰώσηπος δὲ τῆς ἰατρίνης πολλοὺς νεανίσκους Θρασεῖς προτρεψάμενος αὐτῷ συνάρασθαι καὶ ἐπαναστὰς τοῖς ἐν Γάμαλα
186 πρώτοις ἔπειθεν αὐτοὺς ἀφίστασθαι τοῦ βασιλέως καὶ ἀναλαβεῖν τὰ ὅπλα ὡς διὰ τούτων τὴν ἐλευθερίαν ἀπολῃψομένους. καὶ τινὰς μὲν ἐβιάσαντο, τοὺς δὲ μὴ συναρεσκομένους αὐτῶν ταῖς γνώμαις ἀνῄρουν. κτείνουσι δὲ καὶ Χάρητα, καὶ μετ' αὐτοῦ τινα τῶν συγ-
187 γενῶν Ἰησοῦν καὶ Ἰούστου δὲ τοῦ Τιβεριέως ἀδελφὴν ἀνεῖλον, καθὼς ἤδη προεῖπομεν, γράφουσι δὲ καὶ πρός με παρακαλοῦντες πέμψαι καὶ δύναμιν αὐτοῖς ὁπλιτῶν καὶ τοὺς ἀναστήσοντας αὐτῶν τὴν πόλει τεῖχη. κἀγὼ πρὸς οὐδέτερον ἀντεῖπον ὧν ἠξίωσαν. ἀφίσταται δὲ τοῦ βασιλέως καὶ ἡ Γαυλανῖτις χώρα μέχρι κώμης Σολύμης. Σελευκείᾳ δὲ καὶ Σωγάνῃ φύσει κώμαις ὀχυρωτάταις ὁκοδό-

§ 187 = bell. Iud. II 573.

PRAMW

1 τοὺς om. P ἔπεμψε, ε finale ex α corr. P τὰ om. P βηρυτων P 2 φημὴν P 3 στρατιοιη P 4 τοὺς om. W παραπέμψαντας RW 5 τὸν Φίλιππον om. MW post τὸν rasura 6—8 litt. A τε om. MW 6 ἐπεδίκνυεν P 7 ὁ λόγος MW ἀποστάντος, σ finale i. ras. P δ' αὐτὸν] δεῦτον P δὲ αὐτὸν MW 9 πάντας] πάνταν R ἀπάξαντα MW βαβυλωνους P 10 βαταναίαν PAMW καταναίαν R 11 γίνεσθαι ed. pr. 13 επιστιλαντος P ἐπιστέλλοντος MW ἔσπευδεν A ποιήσειν R 14 ἰατρηνῆς R ἰατρικῆς M ἰατρίνης W πολους P 15 συνάρεσθαι A γάβαλα M 16 επιθεν P αὐτοῖς A^1M 17 διατουτον P διὰ τούταν R δι' αὐτοῦ MW ἀπολημψομενους P 18 ἐβιάσατο R μὴ om. P 19 χαριτα P τινα] δὲ τινὰ R συνγενων P 20 τιβεριαιου P ἀδελφὴν] ἀδελφὴν A ἀδ^{ε} R 21 ^{η}διαρωσιπαμεν P προείπαμεν W παρακαλουντος P 22 καὶ om. RAMW οπλειτων P 23 τὰ τείχη R κἀγὼ] κἀτω P αντιπον P αφιστατε P 24 γαυλανιτης P σολυμεις P 25 σελευκείαις MW σωγάνει P σωγάννῃ, η ex ι corr. A σωγάνει MW σαγώνῃ R φυσι P κώμης R ὀχυρωτάτης R ὠχυρωτάταις A

μησα τείχη, τάς τε κατὰ τὴν ἄνω Γαλιλαίαν κώμας καὶ πάν- 187
πετρώδεις οὔσας ἐτείχισα παραπλησίως. ὀνόματα δ' αὐταῖς Ἰάμνια
Ἀμηρώθ Ἀχαράβη. ὠχύρωσα δὲ καὶ τὰς ἐν τῇ κάτω Γαλιλαίᾳ
πόλεις μὲν Ταριχέας Τιβεριάδα Σέπφωριν, κώμας δὲ Ἀρβήλων
σπήλαιον, Βηρσουβαί, Σελαμήν, Ἰωτάπατα, Καφαραθ' κωμοσ σω-
γαναι παφα καὶ τὸ Ἰταβύριον ὄρος. εἰς ταύτας καὶ σῖτον ἀπε-
θέμην πολὺν καὶ ὅπλα πρὸς ἀσφάλειαν τὴν μετὰ ταῦτα.

38. Ἰωάννῃ δὲ τῷ τοῦ Ληουεῖ τὸ κατ' ἐμοῦ μῖσος προσηύξετο 189
βαρέως φέροντι τὴν ἐμὴν εὐπραγίαν. προθέμενος οὖν πάντως
ἐκποδών με ποιήσασθαι τῇ μὲν αὐτοῦ πατρίδι τοῖς Γισχάλοις
κατασκευάζει τείχη, τὸν ἀδελφὸν δὲ Σίμωνα καὶ τὸν τοῦ Σισέννα 190
Ἰωνάθην ὁπλιτῶν πεφὶ ἑκατὸν εἰς Ἱεροσόλυμα πέμπει πρὸς τὸν
τοῦ Γαμαλιήλου Σίμωνα παρακαλέσοντας αὐτὸν πεῖσαι τὸ κοινὸν
τῶν Ἱεροσολυμιτῶν τὴν ἀρχὴν ἀφελομένους ἐμὲ τῶν Γαλιλαίων
αὐτῷ ψηφίσασθαι τὴν ἐξουσίαν τούτων. ὁ δὲ Σίμων οὗτος ἦν 191
πόλεως μὲν Ἱεροσολύμων, γένους δὲ σφόδρα λαμπροῦ, τῆς δὲ Φα-
ρισαίων αἱρέσεως, οἳ περὶ τὰ πάτρια νόμιμα δοκοῦσιν τῶν ἄλλων
ἀκριβείᾳ διαφέρειν. ἦν δ' οὗτος ἀνὴρ τελήρης συνέσεως καὶ λογισ- 192
μοῦ δυνάμενός τε πράγματα κακῶς κείμενα φρονήσει τῇ ἑαυτοῦ
διορθώσασθαι, φίλος τε παλαιὸς τῷ Ἰωάννῃ καὶ συνήθης. πρὸς

§ 189 = bell. Iud. II 573; § 189 = bell. Iud. II 626.

PRAMW

1 *τάς*] *ταῖσ* MW *κώμαισ* M 2 *δ' αὐταῖς*] *δανγαισ* P *δὲ αὐταῖσ* MW *ἰάμνεια* AM *ἰαμία* W *Ἰαμνεὶθ* et *Ἰαμνεὶν* bell. Iud. 3 *Ἀμηρώθ Ἀχαρά-βη*] *ἀμηρωθὶ χαράβη* (*χάβαρ* M *χάβαρη* W) AMW *καὶ μηρωθ χαράβη* R *Μηρὼθ Ἀχαβάρη* ex bell. Iud. Relandus 4 *ταριχαίας, αἶσα* i. ras. P *ταριχαίασ* R et ex corr. A *δὲ*] *ε* P 5 *σπιλαιον, σ* ex *ε* corr. P *Βηρσουβαί*] *βηρσουβαι* P *βηρσάβη* R *βηρσάβη* ex *βηρσούβη* corr. A *βηρσαβε* MW *Βηρσάβη* bell. Iud. *σελάμην* (*η* ex *ι* corr. A) RA *σέλαμην* M *σέλαμιν* W. *Καφαραθ' κωμοσ σωγαναι παφα*] *καφαραθᾶ* reliquis omissis R *καφαραθὰ* (*ὰ* suppl. m. 1) *κωμοσσωγανανὰ* (*ὰ* ex *αι* corr.) *παφὰ* A *καὶ φαραθκομοσσογαμαναίπαφα* M *καὶ φαρὰθ κομοσσωγαμαναίπαφα* W; in bello Iud. sunt *Καφαρεκχὼ* (s. *Φαρεκχώ*) *Ἰαφὰ Σιγὼφ Σέπφ*, unde *Καφαρεκχὼ καὶ Σιγὼ καὶ Ἰαφὰ* Relandus 6 *ηταβυριον* P *εἰσ ταῦτα* W 7 *πολὺν* W *ασφαλιαν* P 8 *ληουεῖ* W *ἐμοῦ*] *ἐμε* A *μῖσος*] *μεισοσ* P *μῖσοσ μᾶλλον* RAMW 9 *πανταs* P *παντὸσ* R 10 *με* om. MW *τὴν* P *πατριδη* P 11 *τὸν* om. MW *τοῦ σισενα* P *τοῦ σισεννᾶ* RA *τοὺσ εἰσ ἐννέα* MW 12 *ὁπλιτῶν*] *ὁπλειτων* P *ὁπλίτασ* RMW *καὶ ὁπλίτασ* ed. pr. *μεθ' ὁπλιτῶν* coni. 13 *τοῦ* om. R *γαμαλιηλου* P *παρακελεύ-σοντασ* MW *αυτὸν, ὸν* ex *ῶ* corr. P 14 *ἱεροσολυμειτων* P *τῶν*] *τὸν* P *γαλιλαιων, ω* ex *ο* corr. P 15 *ψηφησασθαι* P *οὕτωσ* P[1]W 18 *δὲ* MW *ουτω* P 20 *παλαιὸς* om. MW haud male *συνηθη* P

193 ἐμὲ δὲ τότε διαφόρως εἶχεν. δεξάμενος οὖν τὴν παράκλησιν ἔντεῦθεν τοὺς ἀρχιερεῖς Ἄνανον καὶ Ἰησοῦν τὸν τοῦ Γαμαλᾶ τινάς τε τῶν τῆς αὐτῶν στάσεως ἐκείνους ἐκκόπτειν με φυόμενον καὶ μὴ περιδεῖν ἐπὶ μήκιστον αὐξηθέντα δόξης, συνοίσειν αὐτοῖς λέγων, εἰ τῆς Γαλιλαίας ἀφαιρεθείην· μὴ μέλλειν δὲ παρεκβάλλειν τοὺς περὶ τὸν Ἄνανον, μὴ καὶ φθάσας γνῶναι μετὰ πολλῆς ἐπέλθῃ τῇ πόλει
194 δυνάμεως. ὁ μὲν Σίμων ταῦτα συνεβούλευεν· ὁ δὲ ἀρχιερεὺς Ἄνανος οὐ ῥᾴδιον εἶναι τὸ ἔργον ἀπέφαινεν· πολλοὺς γὰρ τῶν ἀρχιερέων καὶ τοῦ πλήθους προεστῶτας μαρτυρεῖν, ὅτι καλῶς ἐγὼ στρατηγῶ· ποιεῖσθαι δὲ κατηγορίαν ἀνδρός, καθ' οὗ μηδὲν λέγειν
195 δύνανται δίκαιον, φαύλων ἔργον εἶναι.

39. Σίμων δ' ὡς ἤκουσεν ταῦτα παρὰ τοῦ Ἀνάνου, σιωπᾶν μὲν ἐκείνους ἠξίωσεν μηδ' εἰς πολλοὺς ἐκφέρειν τοὺς λόγους αὐτῶν· προνοήσεσθαι γὰρ αὐτὸς ἔφασκεν, ἵνα θᾶττον μεταστῆναι ἐκ τῆς Γαλιλαίας· προσκαλεσάμενος δὲ τὸν ἀδελφὸν τοῦ Ἰωάννου προσέταξεν πέμπειν δωρεὰς τοῖς περὶ τὸν Ἄνανον· τάχα γὰρ οὕτως
196 ἂν μᾶλλον πείσειν αὐτοὺς μεταθέσθαι τὰς γνώμας. καὶ τέλος ἔπραξεν ὁ Σίμων ὃ προύθετο· ὁ γὰρ Ἄνανος καὶ οἱ σὺν αὐτῷ τοῖς χρήμασιν διαφθαρέντες συνετίθεντο τῆς Γαλιλαίας ἐκβαλεῖν με μηδενὸς ἄλλου τῶν κατὰ τὴν πόλιν τοῦτο γινώσκοντος. καὶ δὴ ἔδοξεν αὐτοῖς πέμπειν ἄνδρας κατὰ γένος μὲν διαφέροντας, τῇ παιδείᾳ δ'
197 ὁμοίους. ἦσαν δ' αὐτῶν οἱ μὲν δύο δημοτικοί, Ἰωνάθης καὶ Ἀνανίας Φαρισαῖοι τὴν αἵρεσιν, ὁ δὲ τρίτος Γόζορος ἱερατικοῦ γένους, Φαρισαῖος καὶ αὐτός· Σίμων δ' ἐξ ἀρχιερέων νεώτατος ἐκείνων.
198 τούτους ἐκέλευον ἀφικομένους εἰς τὸ πλῆθος τῶν Γαλιλαίων πυ-

§ 193 = bell. Iud. II 627.

PRAMW

1 ἐμὲ] εμεο P *με* RA *τότε δὲ* tr. R *εἶχεν, εἰ* ex ἔσ corr. uid. P *ἐπιθεν* P 2 *γάμαλα* MW 3 *τῆς τῶν* tr. MW *αὐτῶν, ὧν* ex οῦ corr. R *ἐκείνους, ου* ex *ο* corr. uid. P *ἐκεῖνον* AMW 4 *μηκειστον* P *δόξη* RM *συνοισιν* P 5 *μέλειν* M *δὲ* om. P 6 Ἄνανον] *ανον* P *ἄνανον καὶ ἰησοῦν τὸν τοῦ γάμαλα* MW *επελθων* P *ἐπέλθοι* MW 7 *δυνάμεως τῇ πόλει* tr. RMW *μὲν*] *μὲν οὖν* MW 11 *δίκαιον δύνανται* tr. RAMW *δίκαιον* om. ed. pr. *φαῦλον* MW *ἔργων* P¹R 12 *δὲ* MW Ἀνάνου] *ανου* P 13 *ἠξίωσεν ἐκείνους* tr. MW *μηδὲ* W *αὐτῶ* R 14 *προνοήσεσθαι*] coni. *προνοήσασθαι* codd. 15 *τοῦ* om. MW *ἴωαννου, ἴω* s., *νο* ex *ρο* corr. P 17 *πισιν* P *καταθέσθαι* R *τὰς γνώμας* om. MW *καὶ — 18 προύθετο* om. P 19 *συντιθεντε* P *ἐκβάλλειν* MW 21 *παιδια* P *δὲ* MW 22 *δὲ* MW *δημοτικοὶ* (δημωτικοὶ M) *δύο* tr. PAMW *ὁ ἰωνάθης* W 23 *Γόζορος*] *γόζαρος* MW Ἰόζαρος (Ἰώζαρος debebat) Gelenius Ἰωσέδρος bell. Iud. 24 *δ'* om. MW 25 *ἐκέλευεν* M

θέσθαι παρ' αὐτῶν τὴν αἰτίαν, δι' ἣν ἐμὲ φιλοῦσιν· εἰ δὲ φαῖεν, ὅτι πόλεως εἴην τῆς Ἱεροσολύμων, καὶ αὐτοὺς ἐξ ἐκείνων λέγειν ἐπάρχειν τοὺς τέσσαρας, εἰ δὲ διὰ τὴν ἐμπειρίαν τῶν νόμων, μηδ' αὐτοὺς ἀγνοεῖν ἔθη τὰ πάτρια φάσκειν, εἰ δ' αὖ διὰ τὴν ἱερωσύνην λέγοιεν ἀγαπᾶν με, καὶ αὐτῶν ἀποκρίνεσθαι δύο ἱερεῖς ὑπάρχειν.

40. Ταῦθ' ὑποθέμενοι τοῖς περὶ τὸν Ἰωνάθην τέσσαρας μυ- 199
ριάδας ἀργυρίου διδόασιν αὐτοῖς ἐκ τῶν δημοσίων χρημάτων. ἐπεὶ 200
δέ τινα Γαλιλαῖον ἤκουσαν Ἰησοῦν ὄνομα περὶ αὐτὸν τάξιν ἑξακοσίων ὁπλιτῶν ἔχειν ἐπιδημοῦντα τοῖς Ἱεροσολύμοις, τότε μεταπεμψάμενοι τοῦτον καὶ τριῶν μηνῶν μισθὸν δόντες ἐκέλευον ἕπεσθαι τοῖς περὶ τὸν Ἰωνάθην πειθαρχοῦντα αὐτοῖς, καὶ τῶν πολιτῶν δὲ τριακοσίους ἀνδράσιν δόντες ἀργύριον εἰς τροφὴν τῶν ἄλλων προσέταξαν ἀκολουθεῖν τοῖς πρέσβεσιν. πεισθέντων οὖν αὐτῶν 201
καὶ πρὸς τὴν ἔξοδον εὐτρεπισθέντων ἐξῆεσαν οἱ περὶ τὸν Ἰωνάθην σὺν τούτοις ἐπαγόμενοι καὶ τὸν ἀδελφὸν τοῦ Ἰωάννου καὶ ὁπλίτας ἑκατόν, λαβόντες ἐντολὰς παρὰ τῶν πεμψάντων, εἰ μὲν 202
ἑκὼν καταθείμην τὰ ὅπλα, ζῶντα πέμπειν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν, εἰ δ' ἀντιτασσοίμην, ἀποκτεῖναι μηδὲν δεδιότας· αὐτῶν γὰρ εἶναι τὸ πρόσταγμα. ἐγεγράφεισαν δὲ καὶ τῷ Ἰωάννῃ πρὸς τὸν 203
κατ' ἐμοῦ πόλεμον ἑτοιμάζεσθαι, τοῖς τε Σέπφωρίν καὶ Γάβαρα κατοικοῦσιν καὶ Τιβεριεῦσιν προσέταττον συμμαχίαν τῷ Ἰωάννῃ πέμπειν.

41. Ταῦτά μοι τοῦ πατρὸς γράψαντος, ἐξεῖπε δὲ πρὸς αὐτὸν 204
Ἰησοῦς ὁ τοῦ Γαμαλᾶ τῶν ἐν αὐτῇ τῇ βουλῇ γενομένων εἷς, φίλος ὢν καὶ συνήθης ἐμοί, σφόδρα περιήχησα τοὺς τε πολίτας αὐτοὺς περὶ ἐμὲ γενομένους ἀχαρίστους ἐπιγνοὺς διὰ φθόνον ἀναιρεθῆναί με προστάξαι, καὶ τῷ τὸν πατέρα διὰ τῶν γραμμάτων πολλὰ με

§ 200 = bell. Iud. II 628.

PRAMW

2 πόλεως εἴην] πολεμονειδη P 3 ὑπάρχειν om. MW εἰ] η P δὲ] δ' αὖ R ἐμπειρίαν τῶν νόμων] ἱερωσύνην λέγοιεν ἀγαπᾶν με R μηδὲ MW 4 δὲ MW ἱερωσυνην P 5 και αυτον P ἀποκρίνασθαι RA 6 ταῦτα ὑποθεμένων MW τοῖς] τῶν MW, om. A 7 διδόασιν αὐτοῖς ἀργυρίου tr. M 8 δέ] δή MW αὐτὸν ex corr. A 10 ἐκέλευσαν MW 11 πιθαρχοῦντα P πειθαρχοῦντας MW 15 τοῦ] τὸν ed. pr. 16 ὁπλειτας P 17 καταθοίμην M τὴν] τὴν τῶν A ἱεροσολυμειτων P 18 δὲ MW αντιτασοιμην P δεδιατας P 19 εγεγραφησαν P 20 σεπφορειμ P Γάβαρα] γαραβακα P γάδειρα M γάδαρα W 21 προσετατων P συμμαχια P 23 δὲ] δει P 24 ὁ ιησοῦς W γάμαλα MW 25 σφόδρα] σφόδρα γοῦν MW τε om. RMW οὕτω MW 26 ἐμὲ] με P γεναμενους P 27 προστάξαντας MW τῷ] om. MW τὸ R et ex corr. A τῶν om. R

παρακαλεῖν ἀφικέσθαι πρὸς αὐτόν· ποθεῖν γὰρ ἔφη θεάσασθαι
205 τὸν υἱὸν πρὸ τοῦ τελευτῆσαι. ταῦτα δὴ πρὸς τοὺς φίλους εἶπον
καὶ ὅτι μετὰ τρίτην ἡμέραν καταλιπὼν τὴν χώραν αὐτῶν εἰς τὴν
πατρίδα πορευσοίμην. λύτει δ' ἅπαντας τοὺς κακοῦσιντας καὶ σχε
λαρεκάλουν τε κλαίοντες μὴ ἐγκαταλιπεῖν αὐτοὺς ἀπολουμένους, εἰ
206 τῆς ἐμῆς σιραιηγίας ἀποστερηθείεν. οὐ κατανεύοντος δέ μου ταῖς
ἱκετείαις αὐτῶν, ἀλλὰ περὶ τῆς ἐμαυτοῦ φροντίζοντος σωτηρίας,
δείσαντες οἱ Γαλιλαῖοι, μὴ ἀπελθόντος εὐκαταφρόνητοι τοῖς λη-
σταῖς γένοιντο, πέμπουσιν εἰς τὴν Γαλιλαίαν ἅπασαν τοὺς σημα-
207 νοῦντας τὴν ἐμὴν γνώμην περὶ τῆς ἀπαλλαγῆς. πολλοὶ δὲ καὶ
πανταχόθεν συνήχθησαν, ὡς ἤκουσαν, μετὰ γυναικῶν καὶ τέκνων,
οὐ πόθῳ, δοκῶ μοι, τῷ πρὸς ἐμὲ μᾶλλον ἢ τῷ περὶ αὐτῶν δέει
τοῦτο πράττοντες· ἐμοῦ γὰρ παραμένοντος πείσεσθαι κακὸν οὐδὲν
ἐπελάμβανον. ἦκον οὖν πάντες εἰς τὸ μέγα πεδίον, ἐν ᾧ διέτριβον·
Ἄσωχίς ἐστιν ὄνομα αὐτῷ.

208 42. Διὰ δὲ τῆς νυκτὸς ἐκείνης θαυμάσιον οἷον ὄνειρον ἐθεα-
σάμην· ἐπεὶ γὰρ εἰς κοίτην ἐτραπόμην διὰ τὰ γραφέντα λυτού-
209 μενος καὶ τεταραγμένος, ἔδοξά τινα λέγειν ἐπιστάντα μοι, „παῦσαι
τὴν ψυχήν, ὦ οὗτος, ἀλγῶν, παντὸς δ' ἀπαλλάσσου φόβου· τὰ γὰρ
λυποῦντά σε μέγιστον ποιήσει καὶ ἐν πᾶσιν εὐτυχέστατον, κατορ-
θώσεις δ' οὐ μόνον ταῦτα, ἀλλὰ καὶ πολλὰ ἕτερα. μὴ κάμνε δή,
210 μέμνησο δ' ὅτι καὶ Ῥωμαίοις δεῖ σε πολεμῆσαι." τοῦτον δὲ τὸν
ὄνειρον θεασάμενος διανίσταμαι καταβῆναι προθυμούμενος εἰς τὸ
πεδίον. πρὸς δὲ τὴν ἐμὴν ὄψιν πᾶν τὸ πλῆθος τῶν Γαλιλαίων,
ἦσαν δ' ἐν αὐτοῖς γυναῖκές τε καὶ παῖδες, ἐπὶ στόμα ῥίψαντες

§ 204 = bell. Iud. II 629.

PRAMW

1 ἔφην W 2 δή] δὲ MW 3 καὶ om. MW καὶ — τὴν i. ras. P 4 δὲ MW κακουσοντας P ἀκούσαντα RA ἀκούοντας MW 5 τε] δὲ MW κλεοντες P ἐγκαταλειπειν P εἰ] η P 6 στρατηγειας P ἐποστεροηθεῖεν A 7 ἱκετιαις P ἱκεσίαις (σί in τί corr. uid. M) MW περὶ om. R 8 ἀπελθόντες PA λιστεῖς P 9 σημαινοῦντας PR 10 γνώμην om. P 11 ἤκουσα R 12 δοκῶ] δοκεῖ R τῷ] τὸ P τῷ] τὸ P αὐτὸν R αὐτῶν ex corr. A 13 τοῦτο om. M πισσεσθαι P 14 παιδιον PA¹ 15 ασωχεισ P ἀσωχίς, ι ex η corr. A ἀσωχεῖς MW αὐτῷ] τούτῳ RAMW 16 διὰ — ὄνειρον] θαυμάσιον (θαυμάσιον δε, σιον δε i. ras. m. 2 A) οἷον ὄνειρον (ονηρον P) M τῆς νυκτὸς ἐκείνης PAMW 17 ἐπι P λυποὐμενος] θυμούμενος MW 18 ἐπιστάντε, επι ex ν· aut μ· corr. P 19 ὦ] ο P ουτωσ P δ'] τ' A τε MW απαλασου P ἀπαλάσσου RW 20 σαι P ἐν] ἐπὶ MW 21 δὲ AMW μόνα M μὴ om. MW 22 δὲ MW δὲ] δὴ RAMW 23 ονηρον P διανισταμι P 24 παιδιον P 25 δὲ MW

ἑαυτοὺς καὶ δακρύοντες ἱκέτευον μὴ σφᾶς ἐγκαταλιπεῖν τοῖς πολε-
μίοις, μηδ' ἀπελθεῖν ἐάσαντα τὴν χώραν αὐτῶν ἐνέβρισμα τοῖς
ἐχθροῖς ἐσομένην. ὡς δὲ ταῖς δεήσεσιν οὐκ ἔπειθον, κατηνάγκαζον 211
ὅρκοις μένειν παρ' ἑαυτοῖς ἐλοιδοροῦντό τε τῷ δήμῳ πολλὰ τῶν
Ἱεροσολυμιτῶν ὡς εἰρηνεύεσθαι τὴν χώραν αὐτῶν οὐκ ἐῶντι.

43. Ταῦτα δὴ καὶ ἐπακούων αὐτῶν καὶ βλέπων τοῦ πλήθους 212
τὴν κατήφειαν ἐκλάσθην πρὸς ἔλεον, ἄξιον εἶναι νομίζων ὑπὲρ
τοσούτου πλήθους καὶ προδήλους κινδύνους ὑπομένειν. κατανεύω δὴ
μένειν, καὶ πεντακισχιλίους ἐξ αὐτῶν ὁπλίτας ἧκειν κελεύσας ἔχον-
τας ἑαυτοῖς τροφὰς ἐπὶ τὰς οἰκήσεις διαφῆκα τοὺς ἄλλους. ἐπεὶ 213
δὲ οἱ πεντακισχίλιοι παρεγένοντο, τούτους ἀναλαβὼν καὶ τρισχιλίους
τοὺς σὺν ἐμαυτῷ στρατιώτας, ἑπτεῖς δ' ὀγδοήκοντα, τὴν τοπείαν
τῆς Λαβωλῶ κώμην Πτολεμαΐδος μεθόριον οὖσαν ἐτοιησαμην, κἀκεῖ
τὰς δυνάμεις συνεῖχον ἑτοιμάζεσθαι σκηπτόμενος ἐπὶ τὸν πρὸς
Πλάκιδον πόλεμον. ἀφίκετο δ' οὗτος μετὰ δύο σπειρῶν πεζοῦ 214
στρατεύματος καὶ ἱππέων ἴλης μιᾶς ὑπὸ Κεσσίῳ Γάλλῳ τεταγμένης,
ἵν' ἐμπρήσῃ τὰς κώμας τῶν Γαλιλαίων, αἳ πλησίον ἦσαν Πτολε-
μαΐδος. βαλλομένου δ' ἐκείνου χάρακα πρὸ τῆς Πτολεμαέων πό-
λεως τίθεμαι κἀγὼ στρατόπεδον τῆς κώμης ὅσον ἑξήκοντα σταδίους
ἀπισχών. πολλάκις μὲν οὖν τὰς δυνάμεις προηγάγομεν ὡς εἰς 215
μάχην, πλέον δ' οὐδὲν ἀκροβολισμῶν ἐτράξαμεν· ὁ γὰρ Πλάκιδος
ὅσῳπερ ἐγίνωσκεν στεῖδοντά με πρὸς μάχην αὐτὸς καταλῃττόμενος
ὑπεστέλλετο· τῆς μέντοι Πτολεμαΐδος οὐκ ἐχωρίζετο.

44. Κατὰ τοῦτον δὲ τὸν καιρὸν ἀφικόμενος Ἰωνάθης μετὰ τῶν 216
συστρατευσάντων, οὓς ἔφαμεν ἐκ τῶν Ἱεροσολύμων ὑπὸ τῶν περὶ Σί-
μωνα καὶ Ἄνανον τὸν ἀρχιερέα πεπέμφθαι, λαβεῖν δι' ἐνέδρας

§ 210 = bell. Iud. II 630.

PRAMW

1 *σφᾶς* ex corr. A *ἐγκαταλειπειν* P 2 *μὴδὲ* MW 3 *ἔπιθον* PA 4 *ἐλοιδωρουντο* P 5 *ἱεροσολυμητων* P 7 *κατηφιαν* P *νομίσασ* R 8 *κατανευων, ω* ex *ει* corr. P *κατένευον* MW *δὲ* M 9 *οπλειτασ* P 10 *εαυτουσ* P *αὐτοῖσ* MW *ἐπεὶ] επι* P *ἐπεὶ δὴ* MW 11 *καὶ] καὶ τοὺσ* MW 12 *ιππεισ* P *δ'* om. MW *ωγδοηκοντα, ω* ex *ο* corr. P *πορίαν* P 13 *χαβώλω* A *γαμαλῶν* R *χαβολῶ* M 14 *σκεπτόμενοσ* MW 15 *πλάκιδον, δ* ex *λ* corr. A *δὲ* MW *ουτωσ* P 16 *ἴλησ, ϊ* i. ras. A *ἴλησ* R *εἴλησ* M *εἰλησ* W *κεσσίου* MW 17 *ἵνα* MW *κομασ* P 18 *βαλλομενω* P *δὲ* MW *πτολεμαιων* P 19 *τιθεμε* P *στρατοπαιδον* P *κόμησ* P 20 *μὲν* om. M *ὡς* om. MW *εἰς] ει* P 21 *δὲ* MW *ακροβολισμον* P 23 *ὑπεστέλετο* W *εχωριζετο* P 24 *δὴ* MW *κερον* P *μετὰ] κατὰ* R 25 *συνπρέσβεων* R *ὧν] ὥσ* RM *τῶν] τὸν* P 26 *ἀποπέμφθαι* MW *λαβεῖν με δι'* ed. pr.

217 ἐπεβούλευεν· φανερῶς γὰρ ἐπιχειρεῖν οὐκ ἐτόλμα. γράφει δὲ πρός
με τοιαύτην ἐπιστολήν· „Ἰωνάθης καὶ οἱ σὺν αὐτῷ πεμφθέντες
ὑπὸ τῶν Ἱεροσολυμιτῶν Ἰωσήπῳ χαίρειν. ἡμεῖς ὑπὸ τῶν ἐν Ἱερο-
σολύμοις πρώτων ἀκουσάντων τὸν ἀπὸ Γισχάλων Ἰωάννην ἐπιβε-
βουλευκέναι σοι πολλάκις ἐπέμψαμεν ἐπιτιλίξοντες αὐτῷ καὶ παρ-
218 αινέσοντες εἰς τὸ λοιπὸν ὑπακούειν σοι. βουλεύσασθαι δὲ σὺν σοὶ
θέλοντες περὶ τῶν κοινῇ πρακτέων παρακαλοῦμεν ἥκειν θᾶττον
πρὸς ἡμᾶς μὴ μετὰ πολλῶν· οὐδὲ γὰρ ἡ κώμη δύναιτ' ἂν στρα-
219 τιωτῶν πλῆθος ἐπιδέξασθαι." ταῦτα δ' ἔγραφον προσδοκῶντες
δυοῖν θάτερον, ἢ ὅτι χωρὶς ὅπλων ἀφικόμενον πρὸς αὐτοὺς ἕξου-
220 σιν ὑποχείριον, ἢ πολλοὺς ἐπαγόμενον κρινοῦσι πολέμιον. ἦκεν δέ
μοι τὴν ἐπιστολὴν ἱππεὺς κομίζων θρασὺς ἄλλως νεανίας τῶν παρὰ
βασιλεῖ ποτε στρατευσαμένων. ἦν δ' ὥρα νυκτὸς ἤδη δευτέρα,
καθ' ἣν ἐτύγχανον μετὰ τῶν φίλων καὶ τῶν τῆς Γαλιλαίας πρώ-
221 των ἑστιώμενος. οὗτος δὴ προσαγγείλαντος οἰκέτου μοι ἥκειν τινὰ
ἱππέα Ἰουδαῖον, εἰσληθεὶς ἐμοῦ κελεύσαντος ἠσπάσατο μὲν οὐδ'
ὅλως, τὴν δὲ ἐπιστολὴν προτείνας, „ταύτην, εἶπεν, οἱ ἐξ Ἱεροσο-
λύμων ἥκοντες πεπόμφασί σοι. γράφε δὴ τάχιστα καὶ σύ· καὶ
222 γὰρ ἐπείγομαι πρὸς αὐτοὺς ὑποστρέφειν." οἱ μὲν οὖν κατακεί-
μενοι τὴν τοῦ στρατιώτου τόλμαν ἐθαύμασαν, ἐγὼ δὲ καθέζεσθαι
παρεκάλουν καὶ συνδειπνεῖν ἡμῖν. ἀρνησαμένου δὲ τὴν μὲν ἐπι-
στολὴν μετὰ χεῖρας εἶχον ὡς ἐδεξάμην, πρὸς δὲ τοὺς φίλους περὶ
223 πραγμάτων ἑτέρων τὴν ὁμιλίαν ἐποιούμην. μετ' οὐ πολλὴν δ'
ὥραν ἐξαναστὰς καὶ τοὺς μὲν ἄλλους ἀπολύσας ἐπὶ κοίτην, τέσ-
σαρας δέ μοι μόνον τῶν ἀναγκαίων φίλων προσμεῖναι κελεύσας

§ 217 = bell. Iud. II 630.

PRAMW

1 *γράφη* P *δὴ* MW 3 *ιεροσολυμειτων* P 4 *ἀκουσάντων*] PA *ἀκούσαντες* RMW et i. marg. A *ἐπιβεβουλευκέναι, βε* suppl. P, *ἐπι* suppl. *βεβ* i. ras. m. 2 A 5 *επιτιλιξοντες* P *αὐτὸν* R *παρσυτεσαντες* P 6 *ὑπακοίειν, ὑ* ex *ε* corr. A *σον* R *δὲ*] *δὴ* AW 7 *κοινῇ*] om. A *νυκ* M *πρακταων* P 8 *μετὰ*] *κατὰ* R *δύναιτ' ἂν*] *δύνατα* MW 9 *πλῆθος* P *ὑποδέξασθαι* MW *δὲ* MW 10 *δυεῖν* R *ἢ* om. P *χωρεισ* P *αυτους, ους* ex *ον* corr. P 11 *κρίνουσι πόλεμον* R 12 *τῶν*] *τὸν* P 13 *στρατευομένων* M *δὲ* MW 14 *καὶ τῶν — πρώτων* om. W 15 *οὕτως* PMW *προσαγγειλαντασ* P *μοι ἦκειν, ι* i. ras., *η* ex *ει* corr. P 16 *ἡσπάζετο* MW 17 *δὲ ἐπιστολὴν*] *επιστολιν* P *ἐπιστολὴν δὲ* R *προτινασ* P *ειπειν* P 19 *επιγομαι* P *ἀνακείμενοι* R 21 *συνδειπνεῖν*] *συνδιπνειν* P *δειπνεῖν σὺν* R *μὲν* om. P 22 *μετὰ χεῖρας*] *μεταχειρισασ* P *ὃν εἶχον* tr. MW 23 *μετ' οὐ*] *μετὰ* MW *πολλὴν*] *πολυ* P *δὲ* RAMW 24 *τεσσαρσ* P 25 *μόνον* om. RA *τον* P

καὶ τῷ παιδὶ προστάξας οἶνον ἑτοιμάσαι, τὴν ἐπιστολὴν ἀναπτύξας μηδενὸς ἐμβλέποντος κἀξ αὐτῆς ταχὺ συνεὶς τὴν τῶν γεγραμμένων ἐπίνοιαν, πάλιν αὐτὴν ἐσημηνάμην. καὶ ὡς μὴ προανεγνωκὼς, ἀλλὰ 224
μετὰ χεῖρας αὐτὴν ἔχων, προσέταξε τῷ στρατιώτῃ ὀρχμὰς εἴκοσι
ἐφόδιον δοθῆναι. τοῦ δὲ λαβόντος καὶ χάριν ἔχειν φήσαντος συνεὶς
τὴν αἰσχροκέρδειαν αὐτοῦ καὶ ὡς ταύτῃ μάλιστά ἐστιν ἁλώσιμος,
„ἀλλ' εἰ συμπείθειν ἡμῖν, ἔφην, θελήσειας, λήψει κατὰ κύαθον ὀρχμὴν μίαν.“ ὁ δ' ἄσμενος ὑπήκουσεν, καὶ πολὺν τὸν οἶνον προσ- 225
φερόμενος ὑπὲρ τοῦ πλέον λαβεῖν τὸ ἀργύριον καὶ μεθυσθεὶς οὐκέτι
τὰ ἀπόρρητα στέγειν ἐδύνατο, ἀλλ' ἔφραζεν οὐκ ἐρωτώμενος τήν
τε συνεσκευασμένην ἐπιβουλὴν καὶ ὡς κατεψηφισμένος εἴη θάνατον
παρ' αὐτοῖς. ταῦτ' ἀκούσας ἀντιγράφω τὸν τρόπον τοῦτον· „Ἰώ- 226
σηπος Ἰωνάθῃ καὶ τοῖς σὺν αὐτῷ χαίρειν. ἐρρωμένους ὑμᾶς εἰς
τὴν Γαλιλαίαν ἥκειν πυθόμενος ἥδομαι, μάλιστα δ' ὅτι δυνήσομαι
παραδοὺς ὑμῖν τὴν τῶν ἐνθάδε πραγμάτων ἐπιμέλειαν εἰς τὴν
πατρίδα πορευθῆναι· τοῦτο γὰρ καὶ πάλαι ποιεῖν ἤθελον. ἔδει 227
μὲν οὖν μὴ μόνον εἰς Ξαλὼθ παραγενέσθαι με πρὸς ὑμᾶς, ἀλλὰ
πόρρω καὶ μηδὲ κελευσάντων, συγγνώμης δὲ τυχεῖν ἀξιῶ μὴ δυνά-
μενος τοῦτο ποιῆσαι παραφυλάσσων ἐν Χαβωλὼ Πλάκιδον εἰς
τὴν Γαλιλαίαν ἀναβῆναι δι' ἐννοίας ἔχοντα. ἥκετε οὖν ὑμεῖς πρός
με τὴν ἐπιστολὴν ἀναγνόντες. ἔρρωσθε.“

45. Ταῦτα γράψας δοὺς τῷ στρατιώτῃ φέρειν συνεξέπεμψα 228
τριάκοντα τῶν Γαλιλαίων δοκιμωτάτους. ἐντειλάμενος αὐτοῖς ἀσπά-
σασθαι μὲν ἐκείνους, ἕτερον δὲ μηδὲν λέγειν. ἔταξε δὲ καθ' ἕκα-

§ 224 = bell. Iud. II 630.

PRAMW

1 *το παιδει* P *οἶνον — ἀναπτύξας* om. MW *οἶνον*] *οἷον* R 2 *κἀξ*] *κατ'* MW *τὴν*] *τῆς* sic P, om. R *γεγραμμένων*] *γεγρα-[φοτων,* eras. *μ, φοτ* i. ras. P *γεγενημένων* R *γεγραφότων* AMW . 4 *εχων, ε* ex *ει* corr. uid. P *προσέταξε* R *στρατιωτι* P *εἴκοσι* AM 5 *δοθῆναι* P 6 *αἰσχροκερδίαν* PR *αἰσχροκέρδειαν, ει* ex *ι* corr., i. marg. *ι* A 7 *ἀλλ'*] *αλα* P *εφη θελησιασ* P *λημψει* P *λήψῃ* RAMW *δραγμην* P 8 *δὲ ἀσμένως ὑπήκουε* MW 9 *πλεῖον* AMW *τὸ* om. AMW 10 *ἠδύνατο* R 11 *εἴης* R 12 *ταῦτα* AMW 13 *ἡμας* P 14 *πειθόμενος* W *δὲ* MW 15 *τῶν ἐνθάδε πραγμάτων τὴν* tr. MW *επιμελιαν* P 17 *Ξαλὼθ*] *ἐξαλὼθ,* i. marg. *γρ ξαλὼθ* A *ξάλωθ* MW *με* om. MW 18 *συγνωμης* P 19 *παραφυλάσσων*] coni. *παραφυλασω* P *παραφυλάσσω γὰρ* RAMW *χαβαλὼν* R *χαβωλω* A *χαβαλῷ* M *χαβαλὼ* W 21 *τὴν ἐπιστολὴν πρός με* tr. P *ἔρρωσθε*] om. A *ερρωσθαι* P 22 *δοὺς*] *καὶ δοὺς* RMW et ex corr. A *στρατιωτι* P 23 *δοκειμωτατους* P *δοκιμοτάτους* W 24 *δὲ*] *τε* MW *μηθὲν* MW *δὲ*] *δὲ καὶ* R

στον αὐτῶν πιστῶν ὁπλιτῶν ἕνα παραφυλάξοντα, μή τις τοῖς πεμφθεῖσιν ὑπ' ἐμοῦ πρὸς τοὺς περὶ τὸν Ἰωνάθην ὁμιλίᾳ γένηται.
229 καὶ οἱ μὲν ἐπορεύθησαν. οἱ δὲ περὶ τὸν Ἰωνάθην τῆς πρώτης πείρας ἁμαρτόντες ἑτέραν ἐπισιτόλην μοι τοιαύτην ἐπέμψαν· „Ἰωνάθης καὶ οἱ σὺν αὐτῷ Ἰωσήπῳ χαίρειν. παραγγέλλομέν σοι χωρὶς ὁπλιτῶν εἰς τρίτην παραγενέσθαι πρὸς ἡμᾶς εἰς Γαβαρὼθ κώμην, ἵνα διακοίσωμεν τῶν πρὸς Ἰωάννην ἐγκλημάτων σοι γεγονότων."
230 ταῦτα γράψαντες καὶ ἀσπασάμενοι τοὺς Γαλιλαίους, οὓς πεπόμφειν, ἀφικοντο εἰς Ἰαφὰν κώμην μεγίστην οὖσαν τῶν ἐν τῇ Γαλιλαίᾳ, τείχεσιν ὀχυρωτάτην καὶ πολλῶν οἰκητόρων μεστήν. ὑπηντίαζεν δὲ τὸ πλῆθος αὐτοὺς μετὰ γυναικῶν καὶ τέκνων καὶ κατεβόων κελεύοντες ἀπιέναι καὶ μὴ φθονεῖν αὐτοῖς ἀγαθοῦ τοῦ
231 στρατηγοῦ. παρῃρεθίζοντο δὲ ταῖς φωναῖς οἱ περὶ τὸν Ἰωνάθην, καὶ φανεροῦν μὲν τὴν ὀργὴν οὐκ ἐτόλμων, οὐκ ἀξιώσαντες δ' αὐτοὺς ἀποκρίσεως εἰς τὰς ἄλλας κώμας ἐπορεύοντο. ὅμοιαι δ' ἐπήντων αὐτοῖς παρὰ πάντων αἱ καταβοήσεις μεταπείσειν αὐτοὺς βοώντων
232 οὐδένα περὶ τοῦ μὴ στρατηγὸν ἔχειν Ἰώσηπον. ἄρακτοι δὲ παρὰ τούτων ἀπελθόντες οἱ περὶ τὸν Ἰωνάθην εἰς Σέπφωριν μεγίστην τῶν ἐν τῇ Γαλιλαίᾳ πόλιν ἀφικνοῦνται. οἱ δ' ἐντεῦθεν ἄνθρωποι πρὸς Ῥωμαίους ταῖς γνώμαις ἀποβλέποντες, ἐκείνοις μὲν ὑπήντων,
233 ἐμὲ δὲ οὔτε ἐπῄνουν οὔτ' ἐβλασφήμουν. παρὰ δὲ Σεπφωριτῶν εἰς Ἀσωχὶν καταβάντες οἱ ἐντεῦθεν παραπλησίως τοῖς Ἰαφηναῖς κατεβόων αὐτῶν. οἱ δὲ τὴν ὀργὴν οὐκέτι κατασχόντες κελεύουσιν τοῖς μετ' αὐτῶν ὁπλίταις τύπτειν ξύλοις τοὺς καταβοῶντας. κατὰ Γά-

---

PRAMW

1 *αὐτῶν*] *τῶν* coni. *πιστὸν* PRA *οπλειτων* P *παραφυλάξαντα* RMW *μή, μ* ex *σ* corr. P *τοὺς περὶ* om. MW 2 *ὁμιλία* — 3 *Ἰωνάθην* om. P 3 *πρώτης* om. MW 4 *ἁμαρτοντες, ε* ex *α* corr. P *ἁμαρτῶντες* MW *επιστολιν* P 5 *ἴωσιπω* P 6 *ὁπλιτῶν* ex *ὅπλων* corr. R *οπλειτων* P *παραγενέσθαι εἰσ τρίτην* tr. MW *Γαβαρὼθ*] *γαραθὼθ* MW *κομην* P 7 *τὸν* P *Ἰωάννην*] *ἴωναθην* P *εγκλματων* P 8 *οὓς* om. RMW *πεπόμφειν*] coni. *πεπόμφασιν* codd. *πέπομφα* ed. pr. 9 *ἀφικοντο, α* ex *ει* corr. P *εἰς*] *δὲ εἰσ* RMW *Ἰαφὰν*] *ἴαφων* P *ἰαφᾶ* R 10 *καὶ μεγίστην* post *ὀχυρωτάτην* add. M *ἐπηντίασε* R *ὑπαντίασαν* M *ἀπαντιάσαν* W fort. recte *αὐτοὺσ τὸ πλῆθοσ* tr. MW fort. recte 11 *αὐτοὺς*] *γρ αὐτοισ* i. marg. A *καὶ τέκνων*, litt. *ὶ τέ* i. ras. 2 litt. P *καὶ* (ante *κατεβ.*) om. MW fort. recte 12 *κελεύοντεσ* P *ἐπιέναι* P *ἀπεῖναι* MW *αὐτοὺσ* P 13 *τασ φωνὰσ* P 14 *καὶ* iterat P¹ *δὲ* MW 15 *δὲ* M *ὑπήντων* P *αὐτοῖσ ἐπήντων* tr. MW 16 *μετάπεισιν* P 17 *οὐδὲν* R *τοῦ τὸν* PR *μὴ* om. PRA 18 *επφώριν* P 19 *δὲ* MW 20 *ῥωμαίοισ* P *τὰσ γνώμασ* MW 21 *οὔτε* RAM 22 *ασώχιν* P *ἀσωχιν* A *ἀσωχεῖν* W

βαρα δὲ γενομένους ἐναντιάζει μετὰ τρισχιλίων ὁπλιτῶν ὁ Ἰωάννης. ἐγὼ δ' ἐκ τῆς ἐπιστολῆς ἤδη συνεικώς, ὅτι διεγνώκασι πρός με πολεμεῖν, ἀναστὰς ἀπὸ Χαβόλων μετὰ τρισχιλίων ὁπλιτῶν, καταλιπὼν ἐν τῷ στρατοπέδῳ τὸν πιστότατον τῶν φίλων εἰς Ἰωτάπατα παρεγενόμην πλησίον αὐτῶν εἶναι βουλόμενος ὅσον ἀπὸ τεσσαράκοντα σταδίων, καὶ γράφω πρὸς αὐτοὺς τάδε· „εἰ πάντως με πρὸς ὑμᾶς ἐλθεῖν βούλεσθε, διακόσιαι καὶ τέσσαρες κατὰ τὴν Γαλιλαίαν εἰσὶν πόλεις καὶ κῶμαι. τούτων εἰς ἣν θελήσετε παραγενήσομαι χωρὶς Γαβάρων καὶ Ἰσχάλων· ἡ μὲν γὰρ πατρίς ἐστιν Ἰωάννου, ἡ δὲ σύμμαχος αὐτῷ καὶ φίλη."

46. Ταῦτα τὰ γράμματα λαβόντες οἱ περὶ τὸν Ἰωνάθην οὐκέτι μὲν ἀντιγράφουσιν· συνέδριον δὲ τῶν φίλων καθίσαντες καὶ τὸν Ἰωάννην παραλαβόντες βουλεύονται, τίνα τρόπον ἐπιχειρήσουσί μοι. καὶ Ἰωάννῃ μὲν ἐδόκει γράφειν πρὸς πάσας τὰς ἐν τῇ Γαλιλαίᾳ πόλεις καὶ κώμας, εἶναι γὰρ ἐν ἑκάστῃ πάντως ἕνα γοῦν καὶ δεύτερον διάφορον ἐμοί, καὶ καλεῖν τούτους ὡς ἐπὶ πολέμιον * ἐκελεύετο πέμπειν τὸ δόγμα τοῦτο καὶ εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν, ἵνα κἀκεῖνοι γνόντες ὑπὸ τῶν Γαλιλαίων κεκρίσθαι με πολέμιον καὶ αὐτοὶ ψηφίσωνται· γενομένου γὰρ τούτου καὶ τοὺς ἔνους ἔχοντάς μοι Γαλιλαίους ἐγκαταλείψειν ἐφ' ᾧ φηφισθέντας. ταῦτα συμβουλεύσαντος Ἰωαννου ἀρέσθαι καὶ τοῖς ἄλλοις ἔρρωσαι τὰ λεχθέντα. περὶ δ' ὥραν τῆς νυκτὸς τρίτην εἰς γνῶσιν ἦλθέ μοι ταῦτα. Σακχαίου τῶν σὺν αὐτοῖς τινος αὐτομολήσαντος πρός με καὶ τὴν ἐπιχείρησιν αὐτῶν ἀπαγγείλαντος· οὐκέτι δὴ δεῖν ὑπερτίθεσθαι τὸν καιρόν. ἄξιον δὲ κρίνας Ἰάκωβον ὁπλίτην τῶν περὶ ἐμὲ πιστὸν

PRAMW

1 *γεναμένονς* P ὁ om. AMW 2 δὲ MW *συνϊκὼς* P *συνηκὼς*, i. marg. *γρ συνεὶς* A *συνεὶς* RMW 3 *χαβόλων* P *χαβαλῶν* RMW *καταλειπὼν* P 4 *τῷ* om. P *πιστώτατον* P *τῶν φίλων τὸν πιστότατον* M *Ἰοτάπατα* W 5 *ὅσον* om. PRA *τεσσερράκοντα* A 7 *εἰσὶ κατὰ τὴν γαλιλαίαν* tr. MW 8 *θελήσηται* P 9 *γαβάλων* M *γισχάρων* MW *γρ ἡ δὲ συμμαχὶς* i. marg. A 10 *αὐτῷ* om. A 11 *Ταῦτα τὰ γράμματα* om. MW 12 *συνέδριον* P 13 *ἐπιχειρήσουσι* R et ex corr. A fort. recte 14 *ἰωάννης* W 15 *εἶναι — ἕνα*] *τούτων εἰς ἣν θελήσετε παραγενήσομαι χωρὶς* R; cf. supra u. 8 16 *ἐμοῦ* MW *ἐκελεύετο πέμπειν*] *πέμπειν δ'* (*δὲ* MW) *ἐκέλευε* (*ἐκέλευε·* A) RAMW *ἐκέλευέ τε πέμπειν* coni. 17 *τὴν*] *τὴν τῶν* RAMW 18 *γνῶντες* P 19 *εὔνους*] *εὐνοωσ* P *εὐνοῶσ* MW *εὐνοϊκωσ* R, i. marg. *γρ εὐνοϊκῶσ* A 20 *ἐγκαταλίψειν* P *ἐγκαταλιπεῖν* MW 22 *δὲ* A *ὥραν δὲ τρίτην τῆς νυκτὸς* tr. MW 23 *Σακχαίου*] *σαγχαίου* PR *ζακχαίου*, ζ i. ras., i. marg. *γρ ἐν ἄλλοις σαγχαίου* A *Σακχαίου* coni. *αὐτομολοῦντος* W 24 *δὴ δεῖν*] *δ'ἤδειν* P *δὲ ἤδειν* AMW 25 *δὲ* om. MW *πιστὸν* PRA¹MW

κελεύω διακοσίους ὁπλίτας λαβόντα φρουρεῖν τὰς ἀπὸ Γαβάρων εἰς τὴν Γαλιλαίαν ἐξόδους. καὶ τοὺς παριόντας συλλαμβάνοντα πρὸς
241 ἐμὲ πέμπειν. μάλιστα δὲ τοὺς μετὰ γραμμάτων ἁλισκομένους. Ἱερεμίαν δὲ καὶ αὐτὸν ἐκ τῶν φίλων μου μεθ' ἑξακοσίων ὁπλιτῶν εἰς τὴν μεθόριον τῆς Γαλιλαίας ἔπεμψα τὰς ἀπὸ ταύτης εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ὁδοὺς παραφυλάξοντα, πρόσταγμα δοὺς κἀκείνῳ τοὺς μετ' ἐπιστολῶν ὁδεύοντας συλλαμβάνειν καὶ τοὺς μὲν ἄνδρας ἐν δεσμοῖς ἐπὶ τόπου φυλάττειν, τὰ δὲ γράμματα πρὸς ἐμὲ διαπέμπειν.

242 47. Ταῦτα τοῖς πεμπομένοις ἐντειλάμενος Γαλιλαίοις διήγγειλα κελεύων εἰς τὴν ἐπιοῦσαν ἀναλαβόντας τὰ ὅπλα καὶ τριῶν ἡμερῶν τροφὴν εἰς Γαβαρὼθ κώμην παραγενέσθαι πρός με. τῶν δὲ περὶ ἐμὲ ὁπλιτῶν μοίρας τέτταρας νείμας τοὺς πιστοτάτους αὐτῶν περὶ τὴν τοῦ σώματος φυλακὴν ἔταξα, ταξιάρχους αὐτοῖς ἐπιστήσας καὶ φροντίζειν κελεύσας ὑπὲρ τοῦ μηδένα στρατιώτην
243 ἄγνωστον αὐτοῖς συναναμίγνυσθαι. τῇ δ' ἐπιούσῃ περὶ πέμπτην ὥραν ἐν Γαβαρὼθ γενόμενος εὑρίσκω πᾶν τὸ πεδίον τὸ πρὸ τῆς κώμης ὁπλιτῶν πλῆρες τῶν ἐκ τῆς Γαλιλαίας ἐπὶ τὴν συμμαχίαν παρόντων, ὡς αὐτοῖς παρηγγέλκειν· πολὺς δὲ καὶ ἄλλος ἐκ τῶν
244 κωμῶν ὄχλος συνέτρεχεν. ἐπεὶ δὲ κατέστην εἰς αὐτοὺς λέγειν ὡρξάμην, ἐβόων ἅπαντες εὐεργέτην καὶ σωτῆρα τῆς χώρας αὐτῶν καλοῦντες. κἀγὼ χάριν αὐτοῖς ἔχειν ὁμολογήσας συνεβούλευον πρὸς μηδένα μήτε πολεμεῖν μήτε ἁρπαγῇ μολύνειν τὰς χεῖρας, ἀλλὰ σκηνοῦν κατὰ τὸ πεδίον ἀρκουμένους τοῖς ἑαυτῶν ἐφοδίοις· θέλειν
245 γὰρ ὕφασκον τὰς παραχὰς χωρὶς φόνου καταστέλλειν. σιτήσει δ' αὐθημερὸν εἰς τὰς ὑπ' ἐμοῦ καταστα θείσας τῶν ὁδῶν φυλακὰς τοὺς παρὰ τοῦ Ἰωνάθου πεμφθέντας μετὰ τῶν ἐπιστολῶν ἐμπεσεῖν. καὶ οἱ μὲν ἄνδρες ἐφυλάχθησαν ἐπὶ τῶν τόπων, ὡς παρήγγειλα, τοῖς δὲ γράμμασιν ἐντυχὼν πλήρεσι βλασφημιῶν καὶ ψευσμάτων, οὐδενὶ ταῦτα φράσας ὁρμᾶν ἐπ' αὐτοὺς διενοούμην.

PRAMW

1 *γαβάλων* MW 2 *παριοντασ*, *α* ante *ρ* i. ras. A *περιόντασ* P *συλλαμβάνοντα* W 3 *ἱερημίαν* P *ἱερμίαν* A 4 *μετὰ* A 5 *μεθορίαν* MW 6 *παραφυλάξαντα* RW 10 *γαλιλαίοις*, *οι* ex *ου* corr. A 11 *ἀναλαβεῖν* R 12 *Γαβαρὼθ*] *γαβαρωῦ* P 13 *τέτταρας* om. MW *πιστωτάτους* P 14 *ταξιάρχας* AM 16 *ἄγνωστον*] *ἄδοξον* M *δὲ* M 17 *Γαβαρὼθ*] *γαραβῦ* P *γαβάρω* MW *πρὸ·τῆσ*, eras. *σ*, *σ* i. ras. A 19 *παραγγέλκειν* P 20 *καταβὰσ* A 23 *ἁρπαγὴν* MW *μολύνειν*] *λαμβάνειν* PAM *···λαμβάνειν* (eras. *λαμ*) W *χεῖρας*] *χώρασ* PAMW 24 *ἀρκουμένοις* MW 25 *καταστέλλειν* P *δὲ* RAMW 26 *ὑπ'*] *ὑπερ* P 29 *ψευσμάτων*] *σφαλμάτων* M 30 *οὐδενὶ*] *οὐδὲν* P *οὐδὲ* R *αὐτοῖσ* MW

48. Ἀκούσαντες δὲ οἱ περὶ τὸν Ἰωνάθην περὶ τῆς ἐμῆς ἀφί- 246
ξεως τοὺς ἰδίους πάντας ἀναλαβόντες καὶ τὸν Ἰωάννην ὑπεχώρησαν
εἰς τὴν Ἰησοῦ οἰκίαν· βᾶρις δ' ἦν αὕτη μεγάλη καὶ οὐδὲν ἀκροπό-
λεως ἀπολείπουσα. κρύψαντες οὖν λόχον ὁπλιτῶν ἐν αὐτῇ καὶ τὰς
ἄλλας ἀποκλείσαντες θύρας, μίαν δὲ ἀνοίξαντες, προσεδόκων ἥξειν
ἐκ τῆς ὁδοῦ με πρὸς αὐτοὺς ἀσπασόμενον. καὶ δὴ διδόασιν ἐν- 247
τολὰς τοῖς ὁπλίταις, ἐπειδὰν παραγένωμαι, μόνον εἰσελθεῖν ἐᾶσαι
τοὺς ἄλλους ἀπείρξαντας· οὕτως γὰρ ᾤοντό με γενήσεσθαι ῥᾳδίως
αὐτοῖς ὑποχείριον. ἐψεύσθησαν δὲ τῆς ἐλπίδος· ἐγὼ γὰρ τὴν ἐπι- 248
βουλὴν προαισθόμενος, ὡς ἐκ τῆς ὁδοῦ παραγενόμην καταλύσας
ἀντικρὺς αὐτῶν καθεύδειν ἐσκηπτόμην. καὶ οἱ περὶ τὸν Ἰωνάθην 249
ὑπολαμβάνοντες ὄντως ἀναπαύεσθαί με καθυπνωμένον ὥρμησαν
καταβάντες εἰς τὸ πλῆθος μεταπείθειν αὐτοὺς ὡς ἐμοῦ κακῶς στρα-
τηγοῦντος. τἀναντία δὲ αὐτοῖς συνέπεσεν· ὀρθέντων γὰρ εὐθὺς 250
ἐγένετο βοὴ παρὰ τῶν Γαλιλαίων πρὸς ἐμὲ τὸν στρατηγὸν εὐνοίας
ἀξία, κατάμεμψίν τε ἐποιοῦντο τῶν περὶ τὸν Ἰωνάθην, ὅτι πάρεισιν
οὐδὲν μὲν αὐτοὶ κακὸν προπεπονθότες, ἀνατρέψοντες δὲ τὰ ἐκείνων
πράγματα, καὶ παρεκελεύοντο ἀπιέναι· μὴ γὰρ ἂν ποτε μεταπει- 251
σθῆναι προσιάτην ἕτερον ἀπ' ἐμοῦ λαβεῖν. τούτων ἀπαγγελθέντων
μοι προελθεῖν εἰς μέσους οὐκ ὤκνησα. κατέβαινον οὖν εὐθέως,
αὐτὸς τί λέγοιεν οἱ περὶ τὸν Ἰωνάθην ἀκουσόμενος. προελθόντος
δέ μου κρότος παρὰ πάντος τοῦ πλήθους εὐθὺς ἦν καὶ μετ' εὐφη-
μιῶν ἐπιβοήσεις χάριν ἔχειν ὁμολογούντων τῇ ἐμῇ στρατηγίᾳ.

49. Ταῦτα δ' οἱ περὶ τὸν Ἰωνάθην ἀκούοντες ἐφοβήθησαν, 252
μὴ καὶ κινδυνεύσουσιν ἀποθανεῖν ἐπ' αὐτοὺς ὁρμησάντων τῶν Γαλι-
λαίων κατὰ τὴν πρὸς ἐμὲ χάριν· ὁρασμὸν οὖν ἐλεύσουν. μὴ δυνη-
θέντες δὲ ἀπελθεῖν, προσμεῖναι γὰρ αὐτοὺς ἐξίωσα. κατηφεῖς ἑστη-

PRAMW

1 περὶ om. M ἐμῆς om. MW ἀφίξεως] ἀξιώσεως PA, γρ ἀφίξεως i. marg. A 3 δὲ MW 4 ἀποδέουσα] δέουσα MW λόχον] ὅχλον R 5 ἄλλας] θύρας R θύρας om. R 6 ἀσπασάμενον P 7 παραγένομαι P 8 τοὺς] τοὺς δ' (δὲ M) RMW ἀπείρξοντας R et ex corr. A ἀπεῖρξαι MW οὕτω W γεγενῆσθαι MW ῥᾳδίοις R 9 ἐψεύσαντο δὲ RMW 10 προεσθόμενος P 11 ἐσκεπτόμην MW 13 πλῆθος] πεδίον PRA 14 εὐθὺς] αὐτῶν εὐθέως MW 15 τῶν] πάντων P 16 ἀξία corruptum τι] δὲ MW 17 ἀνατρέψαντες A ἀνατρέαντες PRMW δὲ] δὴ R 19 ἕτερον — λαβεῖν om. P 20 προσελθεῖν PR μέσον MW 21 αὐτὸς] ὡς αὐτοὺς R προσελθόντος PR 23 τῇ ἐμῇ RA τῆς ἐμῆς MW στρατηγεια P στρατηγίας MW 24 δὲ MW ἀκούσαντες MW 25 τῶν om. P 27 κατηφεῖς] κατηφεῖσ ἐπέμειναν R(?) κατήφησαν aut κατηφεῖς ἦσαν Hudson 27 ἑστησάμενοι] ἑνστησάμενοι R ἑκστησάμενος, σ ex ι corr., i. marg. γρ ἑνστησάμενος A ἑκστησάμενοι MW ἔστησαν coni.; sed etiam reliqua corrupta sunt

253 σάμενοι τῷ λόγῳ. προστάξας οὖν τῷ μὲν πλήθει τὰς εὐφημίας ἐπισχεῖν. καὶ τῶν ὁπλιτῶν τοὺς πιστοτάτους ταῖς ὁδοῖς ἐπιστήσας ἐπὲρ τοῦ φρουρεῖν, μὴ ἀπροσδοκήτως ἡμῖν ὁ Ἰωάννης ἐπιπέσῃ, παραινέσας δὲ καὶ τοῖς Γαλιλαίοις ἀναλαβεῖν τὰ ὅπλα, μὴ πρὸς
254 τὴν ἔφοδον τῶν πολεμίων, ἐὰν γένηταί τις αἰφνίδιος παραχθῶσιν, πρῶτον τῆς ἐπιστολῆς τοὺς περὶ τὸν Ἰωνάθην ἐπεμίμησκον, ὃν πρότερον γράψειαν ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν πεπέμφθαι διαλύσοντές μου τὰς πρὸς τὸν Ἰωάννην φιλονεικίας, ὡς παρακαλέ-
255 σειάν τέ με πρὸς αὐτοὺς ἀφικέσθαι. καὶ ταῦτα διεξιὼν τὴν ἐπιστολὴν εἰς μέσους προὔτεινον, ἵνα μηδὲν ἀρνήσασθαι δυνηθῶσιν
256 ἐλεγχόντων αὐτοὺς τῶν γραμμάτων. „καὶ μήν, ἔφην, Ἰωνάθη ἡμεῖς τε οἱ συμπρέσβεις, εἰ πρὸς Ἰωάννην κρινόμενος ὑπὲρ τοῦ παραστῆσαι τὸν ἡμαυτοῦ βίον δύο τινὰς ἢ τρεῖς μάρτυρας καλοὺς κἀγαθοὺς ἤγαγον, δῆλον ὡς ἀνάγκην ἂν εἶχετε προεξετάσαντες καὶ τοὺς
257 τούτων βίους ἀπαλλάξαι με τῶν ἐγκλημάτων. ἵν' οὖν γνῶτε καλῶς πεπρᾶχθαί μοι τὰ κατὰ τὴν Γαλιλαίαν, τρεῖς μὲν μάρτυρας ὀλίγους εἶναι νομίζω τῷ καλῶς βεβιωκότι, τούτους δὲ πάντας ὑμῖν
258 δίδωμι. παρὰ τούτων οὖν πύθεσθε, τίνα τρόπον ἐβίωσα. εἰ μετὰ πάσης σεμνότητος καὶ πάσης ἀρετῆς ἐνθάδε πεπολίτευμαι. καὶ οὐ ὁρκίζω ὑμᾶς, ὦ Γαλιλαῖοι, μηδὲν ἐπικρύψασθαι τῆς ἀληθείας, λέγειν δ' ἐπὶ τούτων ὡς δικαστῶν, εἴ τι μὴ καλῶς πέπρακται."
259 50. Ταῦτ' ἔτι λέγοντος κοιναὶ παρὰ πάντων ἐγένοντο φωναὶ καλούντων εὐεργέτην με καὶ σωτῆρα, καὶ περὶ μὲν τῶν πεπραγμένων ἐμαρτύρουν, περὶ δὲ τῶν πραχθησομένων παρεκάλουν,
260 πάντες δ' ὤμνυον ἀνυβρίστους μὲν ἔχειν τὰς γυναῖκας, λελυπῆσθαι δὲ μηδέποτε μηδὲν ὑπ' ἐμοῦ. μετὰ τοῦτο δύο τῶν ἐπιστολῶν, ἃς οἱ κατασταθέντες ὑπ' ἐμοῦ φρουροὶ πεμφθείσας ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην ἑλόντες ἀπεστάλκεισαν πρὸς ἐμέ, παρανεγίνωσκον τοῖς

PRAMW

2 κατασχεῖν PRA τοὺς] δὲ τοὺς MW fort. recte 5 ἐφνίδιος P 6 ἐπιστολῆς] ἐπιβουλῆς A ὑπεμέμνησκον P 8 διαλύσοντος R διαλύσοντάς M φιλονικείας P παρακαλέσαιαν PA παρακαλέσαιεν R 9 τέ om. A 10 μέσον MW 11 ἔφη P 12 οἱ om. MW συνπρέσβεις PR κρινομένοις P κρινάμενος MW 14 ἂν om. A εἰχεται P προσεξετάσαντες W προσεξετάσαι M 15 ἵνα R 17 ὑμᾶς R 18 πύθεσθαι W 19 ἀρετῆς] δὲ τῆς PMW δὲ ἀρετῆς A καὶ πάσης δὲ | ἀρετῆς i. ras. angustius scripsit m. 2 A 20 δὴ] μὴ A ὡρκίζω P 21 λέγειν R δ'] δὲ MW, om. PR fort. recte si scribetur ἐπικρύψαντας 22 ταῦτα MW λέγοντος] λέγοντός μου A ἐγίνοντο RAM 25 δ'] μὲν οὖν W, om. M μὲν om. MW 26 μηδέποτε om. MW μηδένα MW 27 ὑπὸ τῶν] οἱ PR 28 τὸν om. MW ἀπεστάλκησαν P ἀπεστάλκασιν R πρός με MW παρεγίνωσκον RM¹

Γαλιλαίοις πολλῶν βλασφημιῶν πλήρεις καὶ καταψευδομένας, ὅτι τυραννίδι μᾶλλον ἢ στρατηγίᾳ χρῶμαι κατ' αὐτῶν. ἕτερά τε πολλὰ 261
πρὸς τούτοις ἐνεγέραμεν μηδὲν παραλιπόντων ἀναισχύντου ψευδολογίας. ἔφην δ' ἐγὼ πρὸς τὸ πλῆθος τὰ γράμματα λαβεῖν ὀόντων ἐκουσίως τῶν κομιζόντων· οὐ γὰρ ἐβουλόμην αὐτοὺς τὰ περὶ τὰς φρουρὰς τοὺς ἐναντίους εἰδέναι, μὴ δείσαντες τοῦ γράφειν ἀποστῶσιν.

51. *Ταῦτ' ἀκοῦσαν τὸ πλῆθος σφόδρα παροξυνθὲν ἐπὶ τὸν* 262
Ἰωνάθην ὥρμα καὶ τοὺς ἀπ' αὐτοῦ ἀμπαυμένους ὡς διαφθαροῦντες· κἂν ἐπεπράχεισαν τὸ ἔργον, εἰ μὴ τοὺς μὲν Γαλιλαίους ἔπαυσα τῆς ὀργῆς, τοῖς περὶ τὸν Ἰωνάθην δ' ἔφην συγγινώσκειν τῶν ἤδη πεπραγμένων, εἰ μέλλοιεν μετανοήσειν καὶ πορευθέντες εἰς τὴν πατρίδα λέγοιεν τοῖς πέμψασι τἀληθῆ περὶ τῶν ἐμοὶ πεπολιτευμένων. ταῦτ' εἰπὼν ἀπέλυον αὐτούς, καίτοι γιγνώσκων, ὅτι μηδὲν 263
ὧν ὑπέσχοντο ποιήσουσιν. τὸ πλῆθος δ' εἰς ὀργὴν ἐξεκαίετο κατ' αὐτῶν, κἀμὲ παρεκάλουν ἐπιτρέπειν αὐτοῖς τιμωρήσασθαι τοὺς τοιαῦτα τολμήσαντας. παντοίως μὲν [οὖν] ἐγινόμην πείθων αὐτοὺς 264
φείσασθαι τῶν ἀνδρῶν· πᾶσαν γὰρ ἤδειν στάσιν ὄλεθρον οὖσαν τοῦ κοινῇ συμφέροντος· τὸ δὲ πλῆθος ἔσχεν τὴν κατ' αὐτῶν ὀργὴν ἀμετάβλητον, καὶ πάντες ὥρμησαν ἐπὶ τὴν οἰκίαν, ἐν ᾗ κατήγοντο οἱ περὶ τὸν Ἰωνάθην. ἐγὼ δὲ συνορῶν τὴν ὁρμὴν οὖσαν αὐτῶν 265
ἀνεπίσχετον ἀναπηδήσας ἐφ' ἵππον ἐκέλευσα τοῖς πλήθεσιν πρὸς Σωγάνην κώμην ἕπεσθαι Γαβάρων ἀπέχουσαν εἴκοσι στάδια. καὶ τοιούτῳ στρατηγήματι χρησάμενος παρέσχον ἐμαυτῷ τὸ μὴ δόκειν ἐμφυλίου πολέμου κατάρχειν.

52. *Ἐπεὶ δὲ περὶ τὰς Σωγανέας ἐγενόμην, ἐπιστήσας τὸ πλῆ-* 266
θος καὶ παραινέσει χρησάμενος περὶ τοῦ μὴ πρὸς τὰς ὀργὰς πολ ταῦτ' ἐπ' ἀνηκέστοις τιμωρίαις ὀξέως φέρεσθαι, κελεύω τοὺς καθ' ἡλικίαν ἤδη πρωβεβηκότας καὶ πρώτους παρ' αὐτοῖς ἑκατὸν ἄνδρας

PRAMW

1 *καταψευδομένους* PR 2 *χρῶμαι*] *χρώμ*$^{\varepsilon}$*ι* (h. e. *χρώμενος* uel simile) R 3 *καταλειπόντων* P 4 *ἔφθην δὲ* MW 5 *ἐβούλην* P *αὐτοὺς* om. Bekker 6 *τῆς φρουρᾶς* RMW 8 *ταῦτα* RAMW *σφόδρα*] *καὶ* R 10 *ἐπεπράχισαν* P *τοὔργον* MW 11 *δὲ* MW 14 *ταῦτα* MW *γινώσκων* RAMW. 15 *ὑπέσχηντο* PAMW *δὲ* AMW *γρ ἐξεκάετο* i. marg. A 16 *τοὺς τὰ τοιαῦτα* PMW 17 *οὖν* om. PR *ἐγενόμην* A 18 *ὀλέθρειον* PA^1 *ὀλέθριον* R et ex corr. A 20 *ὁρμήσαντες ἐπὶ* MW *ἐν* om. R *κατήγοντο*] *κατέλυον* RAMW 22 *ἀνεπαίσχυντον* M *ἀναποδήσας* P 23 *σωγάνιν* P *σαγάνην* R *σωγάνην, ην* i. ras., i. marg. *γρ σωγάνειαν* A *Γαβάρων*] *γαράβων* P *ἀράβων* RA 24 *ἐμαυτὸν* P 25 *κρατάρχειν* P 26 *περὶ*] *παρὰ* R *τὰς*] *τὴν* R *τοὺς* Hudson *σωγαναίας* P *σωγάνην* R *γρ σωγάνεις* i. marg. A 28 *ταῦτα* MW *φέρεσθαι*] *φαίνεσθαι* MW

ὡς πορευσομένους εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν εὐτρεπίζεσθαι, μέμ-
ψιν ποιησομένους ἐπὶ τοῦ δήμου τῶν τὴν χώραν διαστασιαζόντων.
267 καὶ ἐὰν ἐπικλασθῶσιν, ἔφην, πρὸς τοὺς λόγους ἡμῶν, παρακαλέ-
σατε τὸ κοινὸν γράψαι πρὸς ἐμὲ μένειν κελεύοντας ἐπὶ τῆς Γαλι-
268 λαίας, τοὺς δὲ περὶ τὸν Ἰωνάθην ἀναχωρεῖν ἐκεῖθεν.“ ταύτας
αὐτοῖς τὰς ὑποθήκας δοὺς ἑναρμοσαμένων τε ταχέως ἐκείνων ἡμέρᾳ
τρίτῃ μετὰ τὴν ἐκκλησίαν τὴν ἀποστολὴν ἐποιησάμην. συμπέμψας
269 ὁπλίτας πεντακοσίους. ἔγραψα δὲ καὶ τοῖς ἐν Σαμαρείᾳ φίλοις
τρονοήσασθαι τοῦ ἀσφαλῆ γενέσθαι τὴν πορείαν αὐτοῖς· ἤδη γὰρ
ὑπὸ Ῥωμαίοις ἦν ἡ Σαμάρεια καὶ πάντως ἔδει τοὺς ταχὺ βουλο-
μένους ἀπελθεῖν δι' ἐκείνης πορεύεσθαι· τρισὶν [γὰρ] ἡμέραις ἀπὸ
270 Γαλιλαίας ἔνεστιν οὕτως εἰς Ἱεροσόλυμα καταλῦσαι. συνταράττεμψα
δὲ τοῖς περίοικοις κἀγὼ μέχρι τῶν τῆς Γαλιλαίας ὅρων φύλακας
ἐπιστήσας ταῖς ὁδοῖς ὑπὲρ τοῦ μὴ ῥᾳθίως τινὰ μαθεῖν ἀπαλλαττο-
μένους. καὶ ταῦτα πράξας ἐν Ἴαφοις τὴν διατριβὴν ἐποιούμην.
271 53. Οἱ δὲ περὶ τὸν Ἰωνάθην διαμαρτόντες τῆς κατ' ἐμοῦ
πράξεως Ἰωάννην ἀπέλυσαν εἰς τὰ Γίσχαλα. αὐτοὶ δ' εἰς τὴν Τιβε-
ριέων πόλιν πεπόρευντο λήψεσθαι προσδοκῶντες αὐτὴν ἐποχείριον.
ἐπειδὴ καὶ Ἰησοῦς κατὰ τὸν καιρὸν τοῦτον ἐγεγράφει πρὸς αὐτοὺς
πείσειν ἐπαγγελλόμενος τὸ πλῆθος ἐλθόντας ὑποδέχεσθαι καὶ αὖ-
272 τοῖς ἕλέσθαι προστεθῆναι. ἐκεῖνοι μὲν οὖν ἐπὶ τοιαύτας ἐλπίσιν
ἀπῆλθον, ἀπαγγέλλει δέ μοι ταῦτα Σίλας διὰ γραμμάτων, ὃν ἔφην
τῆς Τιβεριάδος ἐπιμελητὴν καταλελοιπέναι. καὶ σπεύδειν ἐξίου.
κἀγὼ ταχέως ἐπακούσας αὐτῷ καὶ παραγενόμενος εἰς κίνδυνον ἀπω-
273 λείας κατέστην ἐξ αἰτίας τοιαύτης. οἱ περὶ τὸν Ἰωνάθην γενόμενοι
παρὰ τοῖς Τιβεριεῦσιν καὶ πολλοὺς πείσαντες ἀποστῆναί μου δια-
φόρους ὄντας, ὡς ἤκουσαν τὴν ἐμὴν παρουσίαν, δείσαντες περὶ

PRAMW

1 *πορευσομένους*] Bekker *πορευομένους* codd. 2 *ποιησαμένους* P *τοῦ*] *τὸν* ex corr. P *χώραν*] *χώραν αὐτῶν* RMW 3 *καὶ ἐὰν*] *καὶ ἂν* A *κἂν* R *παρακαλεσῶσ* P 4 *πρὸς με* MW *τῇ γαλιλαίᾳ* PRA 6 *τε*] *δὲ* MW 7 *συνπέμψασ* R 8 *σαμαρίᾳ* P 10 *ἡ σαμάρεια ἦν* tr. MW *ἦν* om. P *σαμάρια* P 11 *γὰρ* om. P 12 *εἰς* om. W *παρέπεμψα* MW 13 *δὲ* om. MW *τοῦσ* s. M *κἀγὼ* om. MW *φυλακὰσ* W 14 *ταῖσ διόδοισ* MW *ἀπαλαττομένουσ* R 15 *ἐν ἰαφθοῖσ* MW 16 *διαμαρτάνοντεσ* PA 17 *τὰ* om. MW *δὲ* AMW *τιβεριαίων* P 18 *ἐπορεύθησαν* R *αὐτὴν* om. MW 19 *κατὰ*] coni. *ὁ κατὰ* codd. *τοῦτον*] *τοῦτον ἄρχων* RA *ἐκεῖνον ἄρχων* MW *γεγράφει* R 20 *αὐτοῖς*] *αὐτοὺσ* P 21 *ἐκεῖνοι*] *οἱ* MW 22 *ἀπήγγειλε* MW *μοι* om. MW 23 *ἐπιμελητὴν* P 24 *ἐπακούσασ* PRA 25 *κατέστην* P *γενόμενοι*] *παραγενόμενοι* MW 27 *ἤκουσεν* P

ἑαυτῶν ἦκον πρὸς ἐμέ, καὶ ἀσπασάμενοι μακαρίζειν ἔλεγον οὕτως περὶ τὴν Γαλιλαίαν ἀναστραφέντα, συνήδεσθαί τε διὰ τιμῆς ἀγομένῳ· κόσμον γὰρ ἑαυτῶν εἶναι τὴν ἐμὴν δόξαν ἔφασαν, ὡς ἂν 274
διδασκάλων τέ μου γενομένων καὶ πολιτῶν ὄντων, δικαιοτέραν τε τῆς Ἰωάννου τὴν ἐμὴν πρὸς αὐτοὺς φιλίαν ὑπάρχειν ἔλεγον, καὶ στεύδειν μὲν εἰς τὴν οἰκείαν ἀπελθεῖν, περιμένειν δ' ἕως ὑποχείριον τὸν Ἰωάννην ἐμοὶ ποιήσωσιν. καὶ ταῦτα λέγοντες ἐπώμοσαν τοὺς 275
φρικωδεστάτους ὅρκους παρ' ἡμῖν, δι' οὓς ἀπιστεῖν οὐ θεμιτὸν ἡγούμην. καὶ δὴ παρακαλοῦσίν με τὴν κατάλυσιν ἀλλαχοῦ ποιήσασθαι διὰ τὸ τὴν ἑπτοῦσαν ἡμέραν εἶναι σάββατον· ὀκλεῖσθαι δὲ μὴ δεῖν ὑπ' αὐτῶν τὴν πόλιν τῶν Τιβεριέων ἔφασκον.

54. Κἀγὼ μηδὲν ὑπονοήσας ἐς τὰς Ταριχέας ἀπῆλθον καταλιπὼν ὅμως ἐν τῇ πόλει τοὺς πολυπραγμονήσοντας, τί περὶ ἡμῶν λέγοιτο. διὰ πάσης δὲ τῆς ὁδοῦ τῆς ἀπὸ Ταριχαιῶν εἰς Τιβεριάδα 277
φερούσης ἐπύστησα πολλούς, ἵνα μοι δι' ἀλλήλων σημαίνοιτ' ἅττερ ἂν παρὰ τῶν ἐν τῇ πόλει καταλειφθέντων πύθωνται. κατὰ τὴν ἑπτοῦσαν οὖν ἡμέραν συνάγονται πάντες εἰς τὴν προσευχὴν μέγιστον οἴκημα καὶ πολὺν ὄχλον ἐπιδέξασθαι δυνάμενον. εἰσελθὼν δὲ ὁ Ἰωνάθης φανερῶς μὲν περὶ τῆς ἀποστάσεως οὐκ ἐτόλμα λέγειν, 278
ἔφη δὲ στρατηγοῦ κρείττονος χρείαν τὴν πόλιν αὐτῶν ἔχειν. Ἰησοῦς δ' ὁ ἄρχων οὐδὲν ὑποστειλάμενος ἀναφανδὸν εἶπεν· „Ἀμείνων ἐστίν, ὦ πολῖται, τέσσαρσιν ἡμᾶς ἀνδράσιν ὑπακοὴν ἢ ἑνί. καὶ κατὰ γένος λαμπροὶς καὶ κατὰ σύνεσιν οὐκ ἀδόξοις." ἐπιδείκνυτ' δὲ τοὺς περὶ Ἰωνάθην. ταῦτ' εἰπόντα τὸν Ἰησοῦν ἐπῆνει παρελθὼν Ἰοῦ- 279
στος καί τινας ἐκ τοῦ δήμου συνέπεισθεν. οὐκ ἠρέσκετο δὲ τοῖς λεχθεῖσιν τὸ πλῆθος καὶ πάντως ἂν εἰς στάσιν ἐχώρησαν, εἰ μὴ τὴν σύνοδον διέλυσεν ἐπελθοῦσα ἕκτη ὥρα. καθ' ἣν τοῖς σάββασιν ἀριστοποιεῖσθαι νόμιμόν ἐστιν ἡμῖν, καὶ οἱ περὶ τὸν Ἰωνάθην εἰς

PRAMW

1 αὐτῶν RAM αὐτῶν W πρόσ με MW οὕτω MW 2 περὶ] παρὰ A 3 κόσμων P 4 γινομένων M δικαιωτέραν P 6 οἰκίαν MW δ' ἕως] Dindorf δὲ ὡσ codd. 7 ποιήσουσι (-σιν A) A¹MW ἐπώμασαν P 9 με] μὲν R 11 πόλην P τιβεριαίων P 12 εἰσ MW ταριχαίασ PR et ex corr. A καταλειπὼν P 13 ὅμωσ om. MW πολυπραγμονήσαντασ PR τί] εἴ τι A 14 ταριχαίων P ταριχαιῶν R et ex corr. A εἰσ τῇ βεριάδα P 15 σημάνωσιν P σημήνωσιν AMW 16 πυνθάνονται P πυνθάνωνται AMW 17 ἑπτοῦσαν οὖν] οὖσαν M οὗσαν οὖν W 18 καὶ om. AMW καὶ πολὺν ὄχλον om. P πολλὴν W 21 δ' ὁ] δ' PA δὲ ὁ RMW 24 περὶ] περὶ τὸν MW ταῦτα MW παρελθὼν] καὶ παρελθὼν ὁ MW 25 δήμου] πλήθουσ MW 26 ἐχώρησαν] ἀνεχώρησαν MW 27 σάββασιν P 28 ἡμῖν ἐστι tr. MW

280 τὴν ἐπιοῦσαν ὑπερθέμενοι τὴν βουλὴν ἀπῆσαν ἄπρακτοι. εὐθὺς
δέ μοι τούτων ἀπαγγελθέντων πρωῒ διέγνων εἰς τὴν Τιβεριέων
πόλιν ἀφικέσθαι, καὶ τί ἐπιούσῃ περὶ τὴν ὥραν ἦκον ἀπὸ τῶν
Ταριχεῶν. καταλαμβάνω δὲ συναγόμενον ἤδη τὸ πλῆθος εἰς τὴν
προσευχήν· ἐφ' ὅ τι δ' ἦν αὐτοῖς ἡ σύνοδος οὐκ ἐγίνωσκον οἱ συλ- 5
281 λεγόμενοι. οἱ δὲ περὶ τὸν Ἰωνάθην ἀπροσδοκήτως θεασάμενοί με
παρῆντα διεταράχθησαν. εἰ δ' ἐπιτοῦσιν διαδοῦναι λόγον, ὅτι Ῥω-
μαίων ἱππεῖς ἐν τῇ μεθορίῳ πόρρω τριάκοντα σταδίων ἀπὸ τῆς
282 πόλεως κατὰ τόπον λεγόμενον Ὁμόνοιαν εἰσὶν ἐωραμένοι. καὶ
προσαγγελθέντων τούτων ἐξ ἐπιβολῆς παρεκάλουν οἱ περὶ τὸν Ἰω- 10
νάθην μὴ περιιδεῖν ὑπὸ τῶν πολεμίων λεηλατουμένην αὐτῶν τὴν
γῆν. ταῦτα δ' ἔλεγον δι' ἐννοίας ἔχοντες ἐμὲ προφάσει τῆς κατε-
πειγούσης βοηθείας μεταστήσαντες αὐτοὶ τὴν πόλιν ἐχθράν μοι
κατασκευάσαι.

283 55. Ἐγὼ δὲ καίτιν' εἰδὼς αὐτῶν τὸ ἐνθύμημα ὅμως ὑπεκουσά- 15
μὴ δόξαν παράσχω τοῖς Τιβεριεῦσιν οὐ προνοούμενος αὐτῶν τῆς
ἀσφαλείας. ἐξῆλθον οὖν, καὶ γενόμενος κατὰ τὸν τόπον, ὡς οὐδ'
284 ἴχνος πολεμίων εἶδον. ὑποστρέφω συντόνως ὀδεύσας. καὶ καταλαμ-
βάνω τήν τε βουλὴν πᾶσαν συνελθοῦσαν καὶ τὸν δημοτικὸν ὄχλον
ποιουμένους τε πολλὴν κατηγορίαν μου τοὺς περὶ τὸν Ἰωνάθην, ὡς 20
τοῦ μὲν τὸν πόλεμον ἐπελαφρύνειν αὐτοῖς ἀμελοῦντος, ἐν τρυφαῖς
285 δὲ διάγοντος. ταῦτα δὲ λέγοντες προῆγεν ὑποτολὰς τέσσαρας
ὡς ἀπὸ τῶν ἐν τῇ μεθορίᾳ τῆς Γαλιλαίας γεγραμμένας πρὸς αὐ-
τοὺς ὑπὲ βοηθεῖαν ἥξειν παρακαλοῦντες. Ῥωμαίων γὰρ δύναμιν
μέλλειν ἱππέων τε καὶ πεζῶν εἰς τρίτην ἡμέραν τὴν χώραν αὐτῶν
286 λεηλατεῖν. ἐπισπεύδειν τε καὶ μὴ περιιδεῖν ταῦτα δυομένων. ταῦτ' 25
ἀκούσαντες οἱ Τιβεριεῖς λέγειν ἀληθῆ δόξαντες αὐτοὺς καταβοήσεις
ἐποιοῦντο, μὴ καθέζεσθαί με δεῖν λέγοντες, ἀλλ' ἀτελθεῖν ἐπικου-
287 ρήσοντα τοῖς ὁμοεθνέσιν αὐτῶν. πρὸς ταῦτ' ἐγώ, συνῆκα γὰρ τὴν

PRAMW

1 βουλὴν] ἐπιβουλὴν R ἀπέσαν P 2 ἀπαγγελθόντων M τιβεριαίων P 3 ἀφικνεῖσθαι M τὴν] s. R πρώτην MW τρίτην coni. 4 ταριχαίων P ταριχαῶν R ταριχ·αιῶν, αι i. ras. A εἰς] ἐπὶ P 5 δὲ MW 7 εἶτα ἐπενόουν MW 10 προσαγγελέντων A τοιούτων MW τὸν] τῶν P 11 ὑπεριδεῖν P 12 δὲ MW διεννίασ P κατεπιγούσησ βοηθίασ P 13 μεταστήσαντεσ, ο i. ras. A πόλην P 16 παρασχῶ P οὐ] ὡς οὐ Hudson 17 ἀσφαλίασ P οὐδὲ MW 18 εἶχνοσ P 21 ἐπελάφρυνεν P ἀμελοῦντος] ἀνενδοῦντοσ P μέλλοντος ἀμελοῦντοσ coni., nisi plura exciderunt 23 γεγραμένασ P 25 μέλλειν] ℰ[μελλεν P τρίτην] τὴν τρίτην P αὐτῶν om. MW 26 ταῦτα MW 28 μὴ om. P ἐπικουρήσοντασ MW 29 ταῦτα MW

ἐκείνοιαν τῶν περὶ τὸν Ἰωνάθην, ὑπακούσεσθαι μὲν ἔφην ἑτοίμως καὶ χωρὶς ἀναβολῆς ὁρμήσειν πρὸς τὸν πόλεμον ἐπιγγειλάμην, συντεβούλευον δ' ὅμως, ἐπεὶ τὰ γράμματα κατὰ τέσσαρας τόπους Ῥωμαίους σημαίνει προσβαλεῖν, εἰς πέντε μοίρας διελόντας τὴν δύναμιν ἑκάστῃ τούτων ἐπιστῆσαι τοὺς περὶ τὸν Ἰωνάθην καὶ τοὺς ἑταίρους αὐτοῦ· πρέπειν γὰρ ἀνδράσιν ἀγαθοῖς μὴ μόνον συμβουλεύειν, ἀλλὰ χρείας ἐπιγιούσης ἡγουμένους βοηθεῖν· ἐγὼ γὰρ πλὴν μιᾶς μοίρας οὐκ ἔφην ἀφηγεῖσθαι δυνατὸς εἶναι. σφόδρα τῷ πλήθει συνήρεσεν ἡ μὴ συμβουλία· κἀκείνους οὖν ἠνάγκαζον ἐπὶ τὸν πόλεμον ἐξιέναι. τοῖς δ' οὕτι μερίοις συνεχώρησαν αἱ γνῶμαι μὴ κατεργασαμένοις ἃ διενοήθησαν ἐμοῦ τοῖς ἐπιχειρήμασιν αὐτῶν ἀντιστρατηγήσαντος.

56. Εἷς δέ τις ἐξ αὐτῶν Ἀνανίας τοὔνομα, πονηρὸς ἀνὴρ καὶ κακοῦργος, εἰσηγεῖτο τοῖς πλήθεσι πανδημεὶ νηστείαν εἰς τὴν ἐπιοῦσαν τῷ θεῷ προθέσθαι καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐκέλευεν εἰς τὸν αὐτὸν τόπον ἀνόπλους παρεῖναι τῷ θεῷ φανερὸν ποιήσοντας. ὅτι μὴ τῆς παρ' ἐκείνου τυγχάνοντες βοηθείας πᾶν ὄχλον ἄχρηστον εἶναι νομίζουσιν. ταῦτα δ' ἔλεγεν οὐ δι' εὐσέβειαν, ἀλλ' ὑπὲρ τοῦ λαβεῖν ἄνοπλόν με καὶ τοὺς ἐμούς. κἀγὼ δι' ἀνάγκην ὑπήκουον, μὴ δόξω καταφρονεῖν τῆς περὶ τὴν εὐσέβειαν ὑποθήκης. ὡς οὖν ἀνεχωρήσαμεν ἐπὶ τὰ ἑαυτῶν, αἱ μὲν περὶ τὸν Ἰωνάθην γράψασι τῷ Ἰωάννῃ πρὸς αὐτοὺς ἔωθεν ἀφικέσθαι κελεύοντες μεθ' ὅσων ἂν στρατιωτῶν δυνηθῇ· λήψεσθαι γὰρ εἰ ἐμὲ ὑποχείριον καὶ ποιήσειν ὅπερ ἔχει δι' εἰχῆς. δεξάμενος δὲ τὴν ἐπιστολὴν ἐκεῖνος παρεσκεύαζεν ἔμελλεν. ἐγὼ δὲ τῇ ἐπιούσῃ ἡμέρᾳ δύο τῶν περὶ ἐμὲ σωματοφυλάκων τοὺς κατ' ἀνδρείαν δοκιμωτάτους καὶ κατὰ πίστιν βεβαίους κελεύω ξιφίδια κρύψαντας ἐπὶ τὰς ἐσθῆτας ἐμοὶ συμπροελθεῖν. ἵν' εἰ γένοιτο παρὰ τῶν ἐχθρῶν ἐπίθεσις ἀμυνώμεθα.

PRAMW

1 τὸν] τῶν W, om. M ὑπακούεσθαι R 3 δὲ MW 4 σημαίνει om. W διελθόντας P 5 ἑκάστην P 6 ἑτέρους PA 7 ἀλλὰ] ἀλλὰ καὶ RAMW ἐπηγούσης P 9 ἡ ἐμὴ RMW συμβουλεία ex corr. P ἀνήγκαζον P 10 τὸν om. MW ἐξεῖναι PRMW δὲ MW οὕτι] οὕτω R οὐχὶ MW 14 εἰσηγεῖτο] εἰσήγετο P γνώμην εἰσῆγε R πανδῆμιν P 15 ἐκέλευσεν A ed. pr. 16 ποιήσαντας MW 17 πᾶν ὅπλον] πάντα ὄχλον MW ἄχριστον P 18 δὲ MW 19 ὑπίκουον P 20 ὑποθήκης P 21 ἀνεχωρίσαμεν P τὰ] τῶν R οἱ] ἡ P γράφουσι· A 22 Ἰωάννῃ] ἴαννη P ἑαυτοὺς MW 23 εὖ ἐμὲ] εὐθὺς με R ἐμὲ coni. 24 ἅπερ R 26 ἀνδρίαν R 27 ξιφεῖδια, ξιφεῖ ex ξίφη corr. A σὺνπροὲλθεῖν P 28 ἀμυνόμεθα P

θώρακα δ' ἔλαβον αὐτὸς καὶ μάχαιραν ἐπεζωσάμην ὡς οἷόν τ' ἦν ἀφανέστατα καὶ ἦλθον εἰς τὴν προσευχήν.

294 57. Τοὺς μὲν οὖν σὺν ἐμοὶ πάντας ἐκκλεῖσαι προσέταξεν Ἰησοῦς ὁ ἄρχων, αὐτὸς γὰρ ταῖς θύραις ἐφειστήκει, μόνον δ' ἐμὲ μετὰ
295 τῶν φίλων εἰσελθεῖν ἔασεν. ἤδη δ' ἡμῶν τὰ νόμιμα ποιούντων καὶ πρὸς εὐχὰς τραπομένων ἀναστὰς Ἰησοῦς περὶ τῶν λῃσθέντων ἐκ τοῦ ἐμπορισμοῦ τῆς βασιλικῆς αὐλῆς σκευῶν τοῦ ἀσήμου ἀργυρίου ἐπυνθάνετό μου, παρά τίνι τυγχάνει κείμενα. ταῦτα δ' ἔλεγεν διατρίβειν τὸν χρόνον βουλόμενος, ἕως ἂν ὁ Ἰωάννης παραγένηται.
296 κἀγὼ πάντα Κασέλλαν ἔχειν εἶπον καὶ τοὺς δέκα πρώτους Τιβεριέων· „ἀνάκρινα δ' αὐτός, ἔφην, οὐ ψεύδομαι". τῶν δὲ παρ' ἑαυτοῖς εἶναι λεγόντων „οἱ δ' ἔκοσιν, εἶπεν, χρυσοῖ, οὓς ἔλαβες πω-
297 λήσας τινὰ σταθμὸν ἀσήμου, τί γεγόνασιν;" καὶ τούτους ἔφην δεδωκέναι πρέσβεσιν αὐτῶν ἐφόδιον πεμφθεῖσιν εἰς Ἱεροσόλυμα. πρὸς ταῦτα οἱ μὲν περὶ τὸν Ἰωνάθην οὐ καλῶς ἔφασαν πεποιη-
298 κέναι με δόντα τοῖς πρέσβεσιν τὸν μισθὸν ἐκ τοῦ κοινοῦ. παροξυνθέντος δὲ τοῦ πλήθους ἐπὶ τούτοις, ἐνῆσαν γὰρ τῶν ἀνθρώπων τὴν πονηρίαν, συνεὶς ἐγὼ στάσιν μέλλουσαν ἐξάπτεσθαι καὶ προσεξερεθίσαι μᾶλλον βουλόμενος τὸν ὄχλον ἐπὶ τοὺς ἀνθρώπους, „ἀλλ' εἴ γε μὴ ὀρθῶς, εἶπον, ἔπραξα δοὺς τὸν μισθὸν ἐκ τοῦ
299 κοινοῦ τοῖς πρέσβεσιν ὑμῶν, παίεσθε καλεπαίνοντες· ἐγὼ γὰρ τοὺς εἴκοσι χρυσοῦς αὐτὸς ἀποτίσω."

299 58. Ταῦτ' εἰπόντος, οἱ μὲν περὶ τὸν Ἰωνάθην ἡσύχασαν, ὁ δὲ ὄχλος ἔτι μᾶλλον καθ' αὑτῶν παρωξύνθη, φανερὰν ἐπιδεικνυμένων
300 τὴν ἄδικον πρὸς ἐμὲ διάνοιαν. συνιδὼν δὲ τὴν μεταβολὴν αὐτῶν Ἰησοῦς τὸν μὲν ὄχλον ἐκέλευεν ἀναχωρεῖν, προσμεῖναι δὲ τὴν βουλὴν ἠξίωσεν· οὐ γὰρ δύνασθαι θορυβουμένους περὶ πραγμάτων τοι-

---

PRAMW

1 δ' ἔλαβον] δὲ βαλὼν MW τ' ἦν] τἂν P τε ἦν MW 2 ἀσφαλέστατα i. marg. γρ ἀφανέστατα M 3 ἐκκλῆσαι P ἐκκλῆσαι A[1] 4 ἐπιστήκει P δ' ἐμὲ] δὲ PAMW 5 δὲ MW 6 πρὸς εὐχὰς] εἰσ προσευχὴν M εἰσ προσευχὰσ W Ἰησοῦς] ὁ ἰησοῦσ R 7 τοῦ] καὶ τοῦ Hudson 8 δὲ MW 9 ὁ om. MW 10 κασέλλαν RA κάπελλον MW εἶπον] ἔφην PAMW πρώτους δέκα tr. MW τιβεριαίων P 11 ἀνάκρινε P ἀνακρῖναι AMW δὲ MW αὐτὸσ PAMW ἔφην] εἶπον PMW, cf. u. 10 οὐ] εἰ M 12 οἱ δ'] οἱ (ὁ M) δὲ MW εἴκοσι MW χρυσοῦ] χρύσινοι R 13 τινὰ om. M τούτους] τοὺσ R 14 Ἱεροσόλυμα] ἰλὴμ R 15 μὲν om. MW 18 πρὸσεξερεθίσαι P προσερεθίσαι MW 19 τὸν ὄχλον] τὸ πλῆθοσ P 21 ἡμῶν Hudson παίεσθε MW 23 ταῦτα M εἰπὼν R 24 παροξύνθη W ἐπιδεικνυμένων] ἔργω δεικνυμένων PR 25 πρόσ με R αὐτῶν om. RAMW 26 ὁ ἰησοῦσ MW τὸν — ἐκέλευεν] ἐκέλευε τὸν ὄχλον R ἀναχωρεῖν ἐκέλευε tr. MW

οὐτων τὴν ἐξέτασιν ποιεῖσθαι. τοῦ δὲ δήμου βοῶντος μὴ κατα- 301
λείψειν παρ' αὐτοῖς ἐμὲ μόνον, ἐκέν τις ἀγγέλλων κρύφα τοῖς περὶ
τὸν Ἰησοῦν Ἰωάννην μετὰ τῶν ὁπλιτῶν πλησιάζειν. καὶ οἱ περὶ
τὸν Ἰωνάθην οὐκέτι κατασχόντες αὐτούς, τάχα καὶ τοῦ θεοῦ προ-
νοοῦντος τῆς ἐμῆς σωτηρίας, μὴ γὰρ ἂν γενομένου τούτου πάντως
ὑπὸ τοῦ Ἰωάννου διεφθάρην, „παύσασθε, ἔφη, ὦ Τιβεριεῖς, τὴν 302
ζήτησιν εἴκοσι χρυσῶν ἕνεκεν· διὰ τούτους μὲν γὰρ οὐκ ἄξιός ἐστιν
Ἰώσηπος ἀποθανεῖν, ὅτι δὲ τυραννεῖν ἐπεθύμησεν καὶ τὰ τῶν Γαλι-
λαίων πλήθη λόγοις ἀπατήσας τὴν ἀρχὴν αὐτῷ κατεκτήσατο.“
ταῦτα λέγοντες εὐθύς μοι τὰς χεῖρας ἐπέβαλον ἀναιρεῖν τ' ἐπει-
ρῶντο. ὡς δ' εἶδον οἱ σὺν ἐμοὶ τὸ γιγνόμενον, σπασάμενοι τὰς 303
μαχαίρας καὶ παίειν ἀπειλήσαντες, εἰ βιάζοιντο, τοῦ τε δήμου
λίθους ἀραμένου καὶ βάλλειν ἐπὶ τὸν Ἰωνάθην ὁρμήσαντος ἐξαρ-
πάζουσί με τῆς τῶν πολεμίων βίας.

59. *Ἐπεὶ δὲ προελθὼν ὀλίγον ὑπαντιάζειν ἔμελλον τῷ Ἰωάννῃ* 304
προσιόντι μετὰ τῶν ὁπλιτῶν, δείσας ἐκεῖνον μὲν ἐξέκλινα, διὰ
στενωποῦ δέ τινος ἐπὶ τὴν λίμνην σωθεὶς καὶ πλοίου λαβόμενος,
ἐμβὰς εἰς τὰς Ταριχέας διεραιώθην ἀπροσδοκήτως τὸν κίνδυνον
διαφυγών. μεταπέμπομαί τ' εὐθὺς τοὺς πρωτεύοντας τῶν Γαλι- 305
λαίων καὶ φράζω τὸν τρόπον, ᾧ παρασπονδηθεὶς ὑπὸ τῶν περὶ
τὸν Ἰωάννην καὶ τοὺς Τιβεριεῖς παρ' ὀλίγον παρ' αὐτὸν διαφθα-
ρείην. ὀργισθὲν δ' ἐπὶ τούτοις τῶν Γαλιλαίων τὸ πλῆθος παρε- 306
κελεύετό μοι μηκέτι μέλλειν τὸν πρὸς αὐτοὺς πόλεμον ἐκφέρειν,
ἀλλ' ἐπιρρήξειν αὐτοῖς ἐλθοῦσιν ἐπὶ τὸν Ἰωάννην ἄρδην αὐτὸν
ἀφανίσαι καὶ τοὺς περὶ τὸν Ἰωνάθην. ἐπεῖχον δ' ὅμως αὐτοὺς 307
ἐγὼ καίπερ οὕτως ὀργιζομένους, περιμένειν αὐτοὺς κελεύων ἕως

PRAMW

2 *ἐμὲ παρ' αὐτοῖς* tr. MW *τίς, ἰ* ex *η* corr., *σ* i. ras. A *ἀγγελῶν* P¹ *ἀγγέλων* W 3 *τὸν ἰωάννην* MW *οἱ] τῶν* MW 4 *κατασχόντων* MW *αὐτοὺς* PRMW 6 *Ἰωάννου] ἰωνάθου*, i. marg. *γρ ἰωαννου* A *διεφθάρησαν* R *ἔφη] ἔφην* RA¹ *φησὶν* MW *φασὶν* Hudson 8 *ἐπεθύμησεν] μὲν ἐπεθύμησε (-σεν A¹)* AMW *τῶν* om. RAMW 9 *αὐτῶ* RA¹ *αὐτῶν* MW *κατεκτήσατο,* i. marg. *γρ ἔφασαν* A 10 *ταῦτα] ταῦτα δὲ* A *λέγοντεσ* RMW *λέγοντοσ* A *ἐπέβαλλον* RAM *ἐπέβαλλον* W *ἀναιρεῖν] ἄρχειν* PR *τε* AMW 11 *δὲ* MW *γινόμενον* RAMW 12 *παίειν] πλέον* P *εἰ βιάζοιντο] ἐξώρμησαν* P *τε] δὲ* R 13 *βαλλεῖν* W *Ἰωνάθην] ἰωάννην* P 15 *προσελθὼν* P *τῷ Ἰωάννῃ προσιόντι] τὸν ἰωάννην ἰόντα* PAMW 16 *μὲν* om. P 18 *ἐνβᾶσ* P *τὰς* om. MW *ταριχαίασ* PR et ex corr. A 19 *τ'] τε* A *δὲ* MW 21 *διαφθαρείην παρ' αὐτῶν* tr. A *παρ'] ὑπ'* MW *διαφθαρίην* P 22 *δὲ* MW *παρεκελεύοντό* M 24 *ἐλθοῦσι* W 25 *δὲ* MW

μάθωμεν. τί οἱ πεμφθέντες ὑπ' αὐτῶν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν
ἀπαγγελοῦσιν· μετὰ τῆς ἐκείνων γὰρ γνώμης τὰ δοκοῦντα πράξειν
308 *αὐτοὺς ἔφην. καὶ ταῦτ' εἰπὼν ἔπεισα. τότε δὴ καὶ Ἰωάννης οὐ*
λαβούσης αὐτοῦ τέλος τῆς ἐνέδρας ἀνεζεύγνυεν εἰς τὰ Γίσχαλα.
309 60. *Μετ' οὐ πολλὰς δ' ἡμέρας ἀφικνοῦνται πάλιν οὓς ἐπέμ-*
ψαμεν καὶ ἀπήγγελλον σφόδρα τὸν δῆμον ἐπὶ τοῖς περὶ τὸν Ἄνανον
καὶ τὸν Σίμωνα τὸν τοῦ Γαμαλιήλου παρωξύνθαι. ὅτι χωρὶς γνώ-
μης τοῦ κοινοῦ πέμψαντες εἰς τὴν Γαλιλαίαν ἐκπεσεῖν με ταύτης
310 *παρεσκεύασαν. ἔφασαν δ' οἱ πρόσβεις, ὅτι καὶ τὰς οἰκίας αὐτῶν*
ὁ δῆμος ὥρμησεν ἐμπιπράναι. ἔφερον δὲ καὶ γράμματα, δι' ὧν
οἱ τῶν Ἱεροσολυμιτῶν πρῶτοι πολλὰ τοῦ δήμου δεηθέντος αὐτῶν
ἐμοὶ μὲν τὴν τῆς Γαλιλαίας ἀρχὴν ἐβεβαίουν, τοῖς περὶ τὸν Ἰωνά-
311 *θην δὲ προσέταττον εἰς τὴν οἰκείαν ἐπανιέναι ἄσσον. ἐπιχὼν*
οὖν ταῖς ἐπιστολαῖς εἰς Ἀρβηλα κώμην ἀφικόμην. ἔνθα σύνοδον
τῶν Γαλιλαίων ποιησάμενος ἐκέλευσα τοὺς πρέσβεις διαγεῖσθαι τὴν
ἐπὶ τοῖς πεπραγμένοις ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην ὀργὴν καὶ μισο-
312 *πονηρίαν, καὶ ὡς κυρώσειαν ἐμοὶ τῆς χώρας αὐτῶν τὴν προστασίαν.*
τά τε πρὸς τοὺς περὶ τὸν Ἰωνάθην γεγραμμένα περὶ ἀπαλλαγῆς.
πρὸς οὓς δὴ καὶ τὴν ἐπιστολὴν εὐθέως διεπεμψάμην πολυπραγμο-
νῆσαι τὸν κομίσαντα κελεύσας, τί ποιεῖν μέλλουσιν.
313 61. *Ἀεξάμενοι δ' ἐκεῖνοι τὴν ἐπιστολὴν καὶ ταραχθέντες οὐχὶ*
μετρίως μεταπέμπονται τὸν Ἰωάννην καὶ τοὺς ἐκ τῆς βουλῆς τῶν
Τιβεριέων τοὺς τε πρωτεύοντας Γαβάρων. βουλήν τε προτιθέασιν
314 *σκοπεῖσθαι κελεύοντες. τί πρακτέον ἐστὶν αὐτοῖς. Τιβεριεῖσι μὲν*
οὖν ἀντέχεσθαι μᾶλλον ἐδόκει τῶν πραγμάτων· οὐ δεῖν γὰρ ἔφασαν
ἐγκαταλιπέσθαι τὴν πόλιν αὐτῶν ἄναρχ' ἐκείνοις προσιεμένην.
ἄλλως τε μηδ' ἐμοῦ μέλλοντος αὐτῶν ἀφέξεσθαι· τοῦτο γὰρ ὡς

PRAMW

2 ἀπαγγέλλουσιν M ἀπαγγέλουσι W πράττειν A 3 αὐτοὺς fort. spurium ἔφην αὐτοὺς tr. MW 4 τέλος] πέρας RMW 5 Μετ' οὐ] μετὰ R, om. P δὲ MW ἀφικνοῦνται P οὓς om. P 6 καὶ i. ras. (fuit εἰστ-) P 7 τοῦ om. MW παροξύνθαι P 8 ταύτης om. PAMW 9 ἔφθασαν RW δὲ MW 11 πολλὰ] οἱ πολλοὶ P 12 ἐβεβαίωσαν P τοῖς] om. P τοῖσ δὲ AMW 13 δὲ om. AMW προσέταττον MW οἰκείαν A[1]W θᾶττον MW ἐντυγχὼν A 14 εἰς Ἀρβηλα] εἰ et spatium uacuum dimidii fere uersus P 15 τὴν] τὴν τῶν Ἱεροσολυμιτῶν Lowthius 16 ὀργὴ καὶ μισοπονηρία P 17 κυρώσειαν P 19 οὓς s. M διεπέμψαμεν MW 21 δὲ MW οὐχὶ] οὐχ[ῆ] P οὔτι coni. 23 τιβεριαίων P τούστα προτε|βοντασ γαράβων βουλήνται προτιθέασην P 24 καιλε|βοντεσ P 25 μᾶλλον μὲν οὖν ἀντέχεσθαι tr. M 26 ἐγκαταλείπεσθαι PMW προστεθειμένης P προστιθεμένην R συντεθειμένην MW 27 μηδὲ MW

ἠπειληκότος ἐμοῦ κατεψεύδοντο. ὁ δ' Ἰωάννης οὐ μόνον τούτοις 315
συνηρέσκετο, καὶ πορευθῆναι δὲ συνεβούλευεν αὐτῶν τοὺς δύο κατηγορήσοντας μου πρὸς τὸ πλῆθος, ὅτι μὴ καλῶς τὰ κατὰ τὴν Γαλιλαίαν διοικῶ, καὶ πείσειν ῥᾳδίως αὐτοὺς ἔφη διά τε τὸ ἀξίωμα καὶ παντὸς πλήθους εὑρετὴς ἔχοντος. δόξαντος οὖν τοῦ Ἰωάννου κρα- 316
τίστην εἰσενηνοχέναι γνώμην, ἔδοξε δύο μὲν ἀπιέναι πρὸς τοὺς Ἱεροσολυμίτας, Ἰωνάθην καὶ Ἀνανίαν, τοὺς ἑτέρους δὲ δύο μένοντας ἐν τῇ Τιβεριάδι καταλιπεῖν. συνεπῃράγοντο δὲ φυλακῆς ἕνεκα τῆς ἑαυτῶν ὁπλίτας ἑκατόν.

62. Τιβεριεῖς δὲ τὰ μὲν τείχη προυνόησαν ἀσφαλισθῆναι, 317
τοῖς ἐνοίκοις δὲ κελεύσασιν ἀναλαβεῖν τὰ ὅπλα, καὶ παρὰ Ἰωάννου δὲ μεταπέμψαντο στρατιώτας οὐκ ὀλίγους συμμαχήσοντας, εἰ δεήσειεν, αὐτοῖς τὰ πρὸς ἐμέ. ἦν δὲ ὁ Ἰωάννης ἐν Γισχάλοις. οἱ 318
μὲν οὖν περὶ τὸν Ἰωνάθην ἀναζεύξαντες ἀπὸ τῆς Τιβεριάδος, ὡς ἦκον εἰς Ἰαβάριττα κώμην ἐν ταῖς ἐσχατιαῖς τῆς Γαλιλαίας κειμένην ἐν τῷ μεγάλῳ πεδίῳ, περὶ μέσην νύκτα τοῖς ἐμοῖς φύλαξιν ἐμπίπτουσιν, οἳ καὶ κελεύσαντες αὐτοὺς τὰ ὅπλα καταθέσθαι ἐφύλασσον ἐν δεσμοῖς ἐπὶ τόπου καθὼς αὐτοῖς ἐντετάλμην. γράφει 319
δὲ πρὸς ἐμὲ ταῦτα δηλῶν Λευίς, ᾧ τὴν φυλακὴν πεπιστεύκειν. παραλιπὼν οὖν ἡμέρας δύο καὶ μηδὲν ἐγνωκέναι προσποιησάμενος, πέμψας πρὸς τοὺς Τιβεριεῖς συνεβούλευον αὐτοῖς τὰ ὅπλα καταθεμένοις ἀπολύειν τοὺς ἀνθρώπους εἰς τὴν ἑαυτῶν. οἱ δέ, δόξαν 320
γὰρ εἶχον περὶ τὸν Ἰωνάθην εἰς τὰ Ἱεροσόλυμα ἰόντι διατεπορεῦσθαι, βλασφήμους ἐποιήσαντο τὰς ἀποκρίσεις· μὴ καταλιπεῖν δ' ἐγὼ κατεστρατηγεῖν αὐτοὺς ἐτενόουν. πρὸς μὲν οὖν τοὺς πολίτας 321
ἐξάπτειν πόλεμον οὐκ ἐνόμιζον εὐσεβὲς εἶναι, βουλόμενος δ' αὐτοὺς ἀποσπάσαι τῶν Τιβεριέων. μυρίους ὁπλίτας τοὺς ἀρίστους ἐπι-

---

PRAMW

1 δὲ RAMW τούτοις] τούτοισ οὐ W 2 καὶ om. RAMW τοὺσ δύο συνεβούλευεν αὐτῶν tr. MW αὐτῶν] αὐτῶι A κατηγορήσαντάσ R 5 εὑτρέπτως] εὑτρεπῶσ P εὑτρεπῶσ AMW 6 ἀπιέναι] ed. pr. ἀπεῖναι codd. 7 μένόντασ P 8 ἐν τῇ τιβεριάδι μένοντασ tr. R καταλειπεῖν P 10 προενόησαν MW 11 παρ' RA 12 στρατιώτασ μετεπέμψαντο tr. M 15 διαβάριττα R διαραβιττὰ PW διαραβιττα AM γρ διαβάριττα i. marg. A, cf. § 126 ἐσχάτασισ PR 17 καὶ om. MW 19 Λευίς] λευΐασ R λευσὶσ MW γρ λευίασ i. marg. A Ληνίς coni. 20 παραλειπὼν P οὖν om. P 21 συνεβούλευ[β]ον P καταθεμένουσ RAMW 22 τοὺς om. R

23 περὶ] τοὺς περὶ ed. pr. fort. recte ἰὼνάθην P ἱεροσῶλυμα P διαπεπορεῦσθαι] διατεσπορεῦσθαι, εῦσ i. ras. ex εβ corr. P διαπορεύεσθαι MW
25 δὲ MW μὲν οὖν] αὖ P γὰρ AMW 26 δὲ MW αὐτὸσ P 27 τιβεριαίων P

λέξας εἰς τρεῖς μοίρας διεῖλον, καὶ τούτους μὲν ἀφανῶς ἐν δώμαις
322 προσέταξα λοχῶντας περιμένειν, χιλίους δ' εἰς ἑτέραν κώμην ὀρεινὴν μὲν ὁμοίως, ἀπέχουσαν δὲ τῆς Τιβεριάδος τέσσαρας σταδίους, εἰσήγαγον κελεύσας ἐκείνους ἐκειδὰν λάβωσιν σημεῖον εὐθὺς καταβαίνειν· αὐτὸς δὲ τῆς κώμης προελθὼν ἐν προὐπτῳ καθεζόμην.
323 οἱ δὲ Τιβεριεῖς ὁρῶντες ἐξέτρεχον συνεχῶς καὶ πολλὰ κατεκερτόμουν· τοσαύτη γοῦν ἀφροσύνη κατέσχεν αὐτούς, ὥστε ποιήσαντες εὐτρεπῆ κλίνην προὔθεσαν καὶ περὶ αὐτὴν ἱστάμενοι ὠδύροντό με μετὰ παιδιᾶς καὶ γέλωτος. διετιθέμην δ' ἐγὼ τὴν ψυχὴν ἡδέως τὴν ἄνοιαν αὐτῶν ἐπιβλέπων.

324 63. Βουλόμενος δὲ δι' ἐνέδρας λαβεῖν τὸν Σίμωνα καὶ σὺν αὐτῷ Ἰώζαρον, πέμψας πρὸς αὐτοὺς παρεκάλουν ὀλίγον τῆς πόλεως πόρρω μετὰ φίλων πολλῶν τῶν παραφυλαξόντων αὐτοὺς ἐλθεῖν· βούλεσθαι γὰρ ἔφην καταβὰς συνεῖσασθαι πρὸς αὐτοὺς
325 καὶ διανείμασθαι τὴν προστασίαν τῆς Γαλιλαίας. Σίμων μὲν οὖν διὰ νεότητα καὶ πρὸς ἐλπίδα κέρδους ἀπατηθεὶς οὐκ ὤκνησεν ἐλθεῖν, ὁ δ' Ἰώζαρος ἐνέδραν ἐποπτεύσας ἔμεινεν. ἀναβαντο δὴ τὸν Σίμωνα μετὰ φίλων τῶν παραφυλασσόντων αὐτὸν ὑπαντιάσας ἠσπαζόμην τε φιλοφρόνως καὶ χάριν ἔχειν ὡμολόγουν ἀνα-
326 βάντι. μετ' οὐ πολὺ δὲ συμπεριπατῶν ὡς κατὰ μόνας τι βουλόμενος εἰπεῖν, ἐπεὶ πορρωτέρω τῶν φίλων ἀπήγαγον, μέσον ἀράμενος ἀγαγεῖν εἰς τὴν κώμην τοῖς μετ' ἐμοῦ φίλοις ἔδωκα, τοὺς ὁπλίτας δὲ καταβῆναι κελεύσας προσέβαλλον μετ' αὐτῶν τῇ Τιβε-
327 ριάδι. μάχης δὲ γενομένης ἀμφοτέρωθεν καρτερᾶς καὶ ὅσον οὔπω τῶν Τιβεριέων νικώντων, πεφεύγεισαν γὰρ οἱ παρ' ἡμῶν ὁπλῖται, τὸ γινόμενον ἰδὼν καὶ τοὺς μετ' ἐμαυτοῦ παρακαλέσας νικῶντας ἤδη τοὺς Τιβεριεῖς εἰς τὴν πόλιν συνεδίωξα. ἑτέραν δὲ δυναμιν εἰσπέμψας διὰ τῆς λίμνης προσέταξα τὴν πρώτην λαβοῖσιν οἰκίαν

PRAMW

1 *τούτοις* W *δώμαις*] *κώμαις* (*ς* i. ras. A) RA *Δώροις* Gelenius, et nomen latere uidetur *προσέταξα ἐν κώμαις* tr. R 2 *δ'*] *δὲ* RA, om. MW *ἑτέραν*] *ἐπέραν* MW *ὀρεινὴν* P 3 *δὲ* om. MW *τιβεριάδος*, *τ* ex *β* corr. P 4 *καταβένειν* P 5 *κόμης προσελθὼν* P *καθεζόμην*, *μην* alio atramento scriptum R *καθεζομένην* P 8 *εὐπρεπῆ* PAMW *κλίνη* P *με* om. PRA 9 *παιδιᾶς* P *δὲ* MW 12 *Ἰώζαρον*] *ἰωάζαρον* R *τὸν ἰώζαρον* AMW 13 *πόρρω*] *πορρωτέρω* AMW *πολλῶν*] *πολλῶν τε* AMW *παραφυλαξόντων*] *φυλαξόντων* A *μεταφυλαξάντων* (*ἀντ* i. ras. M) MW 14 *ἐλθεῖν*] *ἐλθεῖν ὡσ ἐμέ* R *βούλεσθε* R 16 *νεότητα*] *στενότητα* P *τε ἄνοιαν* A *ἐλπίδι* AM 17 *δὲ* RAMW *ἰωάζαρος* RA 19 *τε* om. AMW 20 *συνπεριπατῶν* P 21 *ἐπεὶ*] *ἔτι* P *ἐπὶ* R 23 *δ' ἀναβῆναι* P 24 *ὅσων* W 25 *τιβεριαίων* P *πεφεύγησαν* P *γὰρ*] *δε* A *παρ' ἡμῖν* PMW 26 *ἐμαυτοῦ*] *αὐτοῦ* MW 27 *συνεδίωξα* P 28 *εἰσπέμψας* PRA

ἐμπρῆσαι. τούτου γενομένου νομίσαντες οἱ Τιβεριεῖς εἰλῆφθαι 328
κατὰ κράτος αὐτῶν τὴν πόλιν, ὑπὸ φόβου ῥίπτουσιν τὰ ὅπλα.
μετὰ γυναικῶν δὲ καὶ τέκνων ἱκέτευον φεῖσασθαι τῆς πόλεως αὐ-
τῶν. ἐγὼ δὲ πρὸς τὰς δεήσεις ἐπικλασθεὶς τοῖς μὲν στρατιώτας 329
τῆς ὁρμῆς ἐπέσχον, αὐτὸς δέ, καὶ γὰρ ἑσπέρα κατέλαβεν, μετὰ τῶν
ὁπλιτῶν ἀπὸ τῆς πολιορκίας ὑποστρέψας περὶ τὴν τοῦ σώματος
θεραπείαν ἐγινόμην. καλέσας δὲ ἐπὶ τὴν ἑστίασιν τὸν Σίμωνα παρε- 330
μυθούμην περὶ τῶν γεγονότων ὑπισχνούμην τε δοὺς ἐφόδια αὐτῷ καὶ
τοῖς σὺν αὐτῷ παραπέμψειν εἰς Ἱεροσόλυμα μετὰ πάσης ἀσφαλείας.
64. Κατὰ δὲ τὴν ἐπιοῦσαν ἡμέραν μυρίους ἐπαγόμενος ὁπλίτας 331
ἦκον εἰς τὴν Τιβεριάδα, καὶ μεταπεμψάμενος εἰς τὸ στάδιον τοὺς
πρώτους αὐτῶν τοῦ πλήθους ἐκέλευσα φράζειν, οἵτινες εἶεν αἴτιοι
τῆς ἀποστάσεως. ἐνδειξαμένων δὲ τοὺς ἄνδρας ἐκείνους μὲν δεδε- 332
μένους εἰς τὴν Ἰωταπάτην πόλιν ἐξέπεμψα, τοὺς δὲ περὶ τὸν Ἰω-
νάθην καὶ Ἀνανίαν λύσας τῶν δεσμῶν καὶ δοὺς ἐφόδια μετὰ Σί-
μωνος καὶ Ἰωζάρου καὶ ὁπλιτῶν πεντακοσίων, οἳ παραφυλάξουσιν
αὐτούς, ἐξέπεμψα εἰς τὰ Ἱεροσόλυμα. Τιβεριεῖς δὲ πάλιν προσ- 333
ελθόντες συγγινώσκειν αὐτοῖς παρεκάλουν περὶ τῶν πεπραγμένων,
ἐπανορθώσεσθαι τὰς ἁμαρτίας τῇ μετὰ ταῦτα πρὸς ἐμὲ πίστει
λέγοντες, τὰ δ' ἐκ τῆς διαπραγῆς περισσεύσαντα σῶσαί με τοῖς
ἀπολέσασιν ἐδέοντο. κἀγὼ τοῖς ἔχουσιν προσέταττον εἰς μέσον 334
φέρειν. ἀπειθούντων δὲ μέχρι πολλοῦ, θεασάμενός τινα τῶν
περὶ ἐμὲ στρατιωτῶν λαμπροτέραν τοῦ συνήθους περικείμενον στο-
λὴν ἐτυθόμην, πόθεν ἔχοι. εἰπόντος δὲ ἐκ τῆς κατὰ πόλιν ἁρ- 335
παγῆς, ἐκεῖνον μὲν πληγαῖς ἐκόλασα, τοῖς δὲ ἄλλοις ἅπασιν ἠπει-
λησα μεῖζω τιμωρίαν ἐπιθήσειν μὴ κομίσασιν εἰς τοὐμφανὲς ὅσα
ἥρπακεισαν. πολλῶν δὲ συνεχθέντων ἑκάστῳ τῶν Τιβεριέων τὸ
ἐπιγνωσθὲν ἀπέδωκα.
65. Γεγονὼς δ' ἐνταῦθα τῆς διηγήσεως βούλομαι πρὸς Ἰοῦ- 336

§ 328 = bell. Iud. II 645.

PRAMW
1 τούτου] τούτου δὲ AMW 6 πολιτῶν P ἐπιστρέψας PM 7 ἐγενόμην MW δὲ] τὲ MW 8 τε] δὲ M ἐφόδιον MW καὶ τοῖς σὺν αὐτῷ om. PRA 9 ἀσφαλίας P 12 οἵτινες] οἱτίνες M ὅτι τίνες W 14 Ἰωταπάτην] ἰωτάπην PAMW τοὺς περὶ τὸν ἰωνάθην δὲ tr. M 16 ἰωαζάρου RMW 18 αὐτοῖς ex corr. A 19 ἐπανορθώσασθαι RMW τῇ] τὰ P τῇ, ᾗ i. ras. A τὸ MW πρός με MW 20 δ'] om. PA δὲ MW ἐκ τῆς ἁρπαγῆς MW σῶσαί με] ὡς ἐμὲ P 21 ἀπολέσασιν P 22 δὲ om. P 23 περι'με P 24 δὲ om. P 26 τοὐμφανὲς] τ'ἐμφανὲς P ἐμφανὲς AMW 27 συναχθέντων RAMW τιβεριαίων P 28 ἀποδέδωκα PAMW 29 δὲ MW ἐνταῦθα] ἐν ταύτῃ R Ἰοῦστον] ἴερέα P

στον καὶ αὐτὸν τὴν περὶ τούτων πραγματείαν γεγραφότα πρός
τε τοὺς ἄλλους τοὺς ἱστορίαν μὲν γράφειν ὑπισχνουμένους, περὶ
δὲ τὴν ἀλήθειαν ὀλιγώρους καὶ δι' ἔχθραν ἢ χάριν τὸ ψεῦδος οὐκ
337 ἐντρεπομένους, [μικρὰ διελθεῖν]. πράττουσι μὲν γὰρ ὅμοιόν τι
τοῖς περὶ συμβολαίων πλαστὰ γράμματα συντεθεικόσι. τῷ δὲ μηδε-
μίαν ὁμοίως τιμωρίαν ἐκείνοις δεδιέναι καταφρονοῦσι τῆς ἀλη-
338 θείας. Ἰοῦστος μὲν οὖν συγγράφειν τὰς περὶ τούτων ἐπιχειρήσας
πράξεις τὸν πόλεμον, ὑπὲρ τοῦ δοκεῖν φιλότεκνος εἶναι ἐμοῦ μὲν
κατέψευσται, ἠλήθευσε δὲ οὐδὲ περὶ τῆς πατρίδος. ὅθεν ἀπο-
λογήσασθαι γὰρ νῦν ἀνάγκην ἔχω καταψευδομαρτυρούμενος, ἐρῶ
339 τὰ μέχρι νῦν σεσιωπημένα. καὶ μὴ θαυμάσῃ τις, ὅτι μὴ πάλαι
περὶ τούτων ἐδήλωσα· τῷ γὰρ ἱστορίαν ἀναγράφοντι τὸ μὲν ἀλη-
θεύειν ἀναγκαῖον, ἔξεστιν δ' ὅμως μὴ πικρῶς τὰς τινῶν πονηρίας
ἐλέγχειν, οὐ διὰ τὴν πρὸς ἐκείνους χάριν, ἀλλὰ διὰ τὴν αὐτοῦ
340 μετριότητα. πῶς οὖν, ἵνα φῶ πρὸς αὐτὸν ὡς παρόντα, Ἰοῦστε
δεινότατε συγγραφέων, τοῦτο γὰρ αὐχεῖς περὶ σεαυτοῦ, αἴτιοι γεγό-
ναμεν ἐγώ τε καὶ Γαλιλαῖοι τῇ πατρίδι σου τῆς πρὸς Ῥωμαίους
341 καὶ πρὸς τὸν βασιλέα στάσεως; πρότερον γὰρ ἢ ἐμὲ τῆς Γαλιλαίας
στρατηγὸν ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν χειροτονηθῆναι σὺ
καὶ πάντες Τιβεριεῖς οὐ μόνον ἀνειλήφατε τὰ ὅπλα, ἀλλὰ καὶ τὰς
ἐν τῇ Συρίᾳ δέκα πόλεις ἐπολεμεῖτε· σὺ γοῦν τὰς κώμας αὐτῶν
342 ἐνέπρησας καὶ ὁ σὸς οἰκέτης ἐπὶ τῆς παρατάξεως ἐκείνης ἔπεσεν.
ταῦτα δὲ οὐκ ἐγὼ λέγω μόνος, ἀλλὰ καὶ ἐν τοῖς Οὐεσπασιανοῦ τοῦ
αὐτοκράτορος ὑπομνήμασιν οὕτως γέγραπται, καὶ τίνα τρόπον ἐν
Πτολεμαΐδι Οὐεσπασιανοῦ κατεβόησαν οἱ τῶν δέκα πόλεων ἔνοικοι
343 τιμωρίαν ὑποσχεῖν σε τὸν αἴτιον ἀξιοῦντες. καὶ δεδώκεις ἂν δίκην
Οὐεσπασιανοῦ κελεύσαντος, εἰ μὴ βασιλεὺς Ἀγρίππας λαβὼν ἐξου-
σίαν ἀποκτεῖναί σε, πολλὰ τῆς ἀδελφῆς Βερενίκης δεηθείσης οὐκ
344 ἀνελὼν δεδεμένον ἐπὶ πολὺν χρόνον ἐφύλαξεν. καὶ αἱ μετὰ ταῦτα
δὲ πολιτεῖαί σου σαφῶς ἐμφανίζουσιν τόν τε βίον τὸν ἄλλον καὶ

PRAMW

1 τὴν om. MW πραγματίαν P 2 τοὺς] τὴν R μὲν om. MW 4 μικρὰ διελθεῖν om. PRMW; uid. ad u. 6 μὲν om. M 5 συμβόλαιον MW συντεθεικόσι] συντιθέντων P συντιθῆσι (-σιν A[1]) AMW δὲ om. R 6 δεδιέναι] δεδοικέναι R ἀληθείας] ἀληθείας τὸν λόγον τρέψαι R 7 οὖν MW τοῦτον W recte ut uid. ἐπιχειρήσας P 8 τὸν] καὶ τὸν A τῶν πολέμων R 9 οὐδὲ] οὐ M, om. PR ἀπολογήσασθαι P 13 ἔξεστι RAMW δ'] om. P δὲ MW πονηρίας] τιμωρίας PRA 14 ἑαυτοῦ MW 17 τῆς] τῇ PR 18 στάσει R 21 τῇ om. R 24 οὕτω MW 28 βερνίκης RMW 29 πολὺ P καὶ μετὰ ταῦτα δὲ ὦ tr. MW

ὅτι σὺ τὴν πατρίδα Ῥωμαίων ἀπίστησας, ὧν τὰ τεκμήρια κἀγὼ δηλώσω μετ' ὀλίγον. βούλομαι δ' εἰπεῖν καὶ πρὸς τοὺς ἄλλους 345
Τιβεριεῖς ὀλίγα διὰ σὲ καὶ παραστῆσαι τοῖς ἐντυγχάνειν μέλλουσιν ταῖς ἱστορίαις, ὅτι μήτε φιλορώμαιοι μήτε φιλοβασιλεῖς γεγόνατε· τῶν ἐν τῇ Γαλιλαίᾳ πόλεων αἱ μέγισται Σέπφωρις καὶ Τιβεριὰς 346
ἡ σὴ πατρίς, ὦ Ἰοῦστε. ἀλλὰ Σέπφωρις μὲν ἐν τῷ μεσαιτάτῳ τῆς Γαλιλαίας κειμένη καὶ περὶ αὐτὴν κώμας ἔχουσα πολλὰς καί τι καὶ θρασύνεσθαι δυναμένη πρὸς Ῥωμαίους εἴπερ ἠθέλησεν ἐχερῶς, διεγνωκυῖα τῇ πρὸς τοὺς δεσπότας ἐμμένειν πίστει κἀμὲ τῆς πόλεως αὐτῶν ἐξέλκειν καὶ στρατεύσασθαί τινα τῶν πολιτῶν Ἰουδαίοις ἐκώλυσεν. ὅπως δὲ καὶ τὰ πρὸς ἡμᾶς ἀσφαλεῖς εἶεν, ἠπά- 347
τησάν με τείχεσιν αὐτῶν τὴν πόλιν ὀχυρῶσαι προτρέψαντες, καὶ παρὰ Κεστίου Γάλλου τοῦ τῶν ἐν τῇ Συρίᾳ Ῥωμαϊκῶν ταγμάτων ἡγεμονεύοντος φρουρὰν ἑκόντες ἐδέξαντο. καταφρονήσαντες ἐμοῦ τότε μέγα δυναμένου καὶ πᾶσιν δι' ἐκπλήξεως ὄντος. πολιορκου- 348
μένης τε τῆς μεγίστης ἡμῶν πόλεως Ἱεροσολύμων καὶ τοῦ κοινοῦ πάντων ἱεροῦ κινδυνεύοντος ἐν τῇ τῶν πολεμίων ἐξουσίᾳ γενέσθαι συμμαχίαν οὐκ ἔπεμψαν μὴ βουλόμενοι δοκεῖν κατὰ Ῥωμαίων ὅπλα λαβεῖν. ἡ δὲ σὴ πατρίς, ὦ Ἰοῦστε, κειμένη ἐν τῇ Γεννησαρίδι 349
λίμνῃ καὶ ἀπέχουσα Ἵππου μὲν στάδια τριάκοντα, Γαδάρων δὲ ἑξήκοντα. Σκυθοπόλεως δὲ εἴκοσι καὶ ἑκατὸν τῆς ἐπικούρου βασιλεῖ, μιᾶς δὲ πόλεως Ἰουδαίων παρακειμένης. εἰ ἤθελεν τὴν πρὸς Ῥωμαίους πίστιν φυλάττειν, ῥᾳδίως ἐδύνατο. καὶ γὰρ πολὺς ἦτε 350
δῆμος καὶ ὅπλων εὐπορεῖτε. ἀλλ', ὡς σὺ φῄς, αἴτιος ὑμῖν ἐγὼ τότε. μετὰ ταῦτα δὲ τίς, ὦ Ἰοῦστε; πρὸ γὰρ τῆς Ἱεροσολύμων πολιορκίας οἶδας ὑπὸ Ῥωμαίοις ἐμὲ γενόμενον. καὶ Ἰωτάπατα κατὰ κράτος ληφθέντα φρούριά τε πολλὰ. πολύν τε Γαλιλαίων ὄχλον

PRAMW

1 *τεχμήρια* P 2 *δὲ* MW 3 *παραστήσειν* P *ἐντυγχάνει μέλλουσι, μ* i. ras. M 4 *γεγόνασι* R 5 *μέγιστε* W *σεμφωρις* P 6 *σεμφώρις* P *S τι*] *τοι* M *πρὸσ ῥωμαίουσ δυναμένη* tr. P 9 *κἀμὲ*] *καὶ ἐμὲ* A *κἀμὲ τῆς*] *καὶ μεγίστησ* P 10 *αὐτὸν* R 11 *τὰ*] *τὰσ* MW *ἀσφαλὲσ* PMW *ἀσφαλὴσ* A *εἶεν*] *εἴη* A *εἶναι* MW *ἠπάτησέ* MW 13 *κεστίου, κ* i. ras., *τ* suppl. A *ἐν τῇ*] *τῆσ* PR *συρίασ* R (sic) *πραγμάτων* AMW, i. marg. *γρ ταγμάτων* A 14 *ἡγεμονεύοντεσ* P *ἡγεμονεύσαντοσ* AMW *ἑκόντεσ, τεσ* i. ras. M *ἐνεδέξαντο* PRA *ἐσεδέξαντο* coni. 15 *μέγα*] *μεγάλα* MW 16 *τε*] *τότε* P *δὲ* MW *δὲ τότε* A

19 *γενησαρίτιδι* A *γεννησαριτιδι* MW 20 *ἵππου* A *ἰόππησ* R 21 *βασιλείασ* AMW 22 *δὲ* om. RMW 23 *φυλάττειν* om. R *ῥᾴωσ* A *πολὺσ ἦτε*] *πόλεισ ἦτε καὶ* A *οὐ πόλισ οὔτε* MW 24 *ηὐπορεῖτε* RA *εὐπορία* MW *ὑμῖν*] coni. *ἡμὴν* PRA *ἡμῶν* MW 25 *ἱεροσολυμιτῶν* MW 26 *οἶδα* P *Ἰωτάπατα*] *ἰωτὰπίτα* P 27 *ληφθέντα*] *φθαρέντα* MW *πολύν*] *πολλὴν* W *ὄχλων* W

κατὰ τὴν μάχην πεσόντα. τότ' οὖν ἐχρῆν ὑμᾶς πάντως ἀπηλλαγμένους τοῦ δι' ἐμὲ φόβου ῥῖψαί τε τὰ ὅπλα καὶ παραστῆσαι τῷ βασιλεῖ καὶ Ῥωμαίοις, ὅτι δὴ οὐχ ἑκόντες, ἀλλ' ἀναγκασθέντες ἐπὶ τὸν πρὸς αὐτοὺς ὡρμήσατε πόλεμον. ὑμεῖς δὲ καὶ περιεμείνατε Οὐεσπασιανόν, ἕως αὐτὸς ἀριπόμενος μετὰ πάσης τῆς δυνάμεως προσέλθοι τοῖς τείχεσιν, καὶ τότε διὰ φόβον τὰ ὅπλα κατέθεσθε· καὶ πάντως ἂν ὑμῶν ἡ πόλις ἥλω κατὰ κράτος, εἰ μὴ τῷ βασιλεῖ δεομένῳ καὶ τὴν ἄνοιαν ὑμῶν παραιτουμένῳ συνεχώρησεν Οὐεσπασιανός. οὐκ ἐγὼ τοίνυν αἴτιος, ἀλλ' ὑμεῖς οἱ πολεμικὰ φρονήσαντες. ἢ οὐ μέμνησθε, ὅτι τοσαυτάκις ὑμῶν ἐγκρατὴς γενόμενος οὐδένα διέφθειρα, στασιάζοντες δ' ὑμεῖς πρὸς ἀλλήλους, οὐ διὰ τὴν πρὸς Ῥωμαίους καὶ τὸν βασιλέα εὔνοιαν, διὰ δὲ τὴν ὑμετέραν αὐτῶν πονηρίαν ἑκατὸν ὑγθοικονταπέντε τῶν πολιτῶν ἀπεκτείνατε. κατὰ τὸν καιρὸν ἐκεῖνον ἐμοῦ πολιορκουμένου ἐν Ἰωταπάτοις ὑπὸ Ῥωμαίων. τί δ' οὐχὶ καὶ κατὰ τὴν τῶν Ἱεροσολύμων πολιορκίαν δισχίλιοι Τιβεριέων ἐξητάσθησαν, οἱ μὲν λεπτωκότες, οἱ δὲ λιμῷθέντες αἰχμάλωτοι; ἀλλὰ σὺ πολέμιος οὐ γεγονέναι φήσεις, ὅτι πρὸς βασιλέα τότ' ἔφυγες. καὶ τοῦτο δὲ διὰ τὸν ἐξ ἐμοῦ φόβον φημί σε πεποιηκέναι. κἀγὼ μὲν πονηρός, ὡς λέγεις, ὁ δὲ βασιλεὺς Ἀγρίππας, ὁ τὴν ψυχήν σοι συγχωρήσας ὑπὸ Οὐεσπασιανοῦ θανεῖν κατακριθέντι, ὁ τοσούτοις δωρησάμενος χρήμασιν, τίνος ἕνεκεν ὕστερον οἷς μὲν ἔδωσε, τοσαυτάκις δὲ φυγεῖν τὴν πατρίδα προσέταξεν, καὶ ἀποθανεῖν δὲ κελεύσας ἅπαξ τῇ ἀδελφῇ Βερενίκῃ πολλὰ δεηθείσῃ τὴν σὴν σωτηρίαν ἐχαρίσατο; καὶ μετὰ τοσαῦτα δὲ σοῦ κακουργήματα τάξιν ἐπιστολῶν σοι πιστεύσας, ὡς καὶ ταύτας εὕρῃ ῥᾳδιουργόν, ἀπήλασε τῆς ὄψεως. ἀλλὰ περὶ μὲν τούτων ἐλέγχειν ἐπ' ἀκριβὲς ἐῶ. θαυμάζειν δ' ἔπεισί μοι τὴν σὴν ἀναίδειαν, ὅτι

PRAMW

1 πεσόντα] πεσόντα γέγονεν αἴτιος R τότ' οὖν] τότε οὖν A τούτων MW πάντως W 2 ῥίψασθαι ed. pr. τε om. PR ed. pr. παραστῆναι MW τῷ] τῶ τε R τε τῶ W 3 ἀλλὰ MW 4 ὡρμήσαντε P ὥρμησαν MW παρεμείνατε PR 5 πάσης τῆς] πολλῆσ MW fort. recte 6 προσέλθη PAMW ὅπλα] πολλὰ MW κατέθεσθε] Hudson καταθέσθαι codd. καταθέσθε ed. pr. 7 πάντων P 10 μέμνησθαι MW 11 δὲ RAMW πρὸς τὸν βασιλέα καὶ ῥωμαίους tr. RAMW 12 δὲ] τε P 14 ῥωμαίων, ῥω ex vo corr. A 15 δὲ MW καὶ om. AMW ἱεροσολυμιτῶν PR 17 σὲ] σοῖ P γεγονέναι φήσεις] γέγονεν ὕφεσις P 18 τότε W φημὶ σὲ] φημίσω P φησὶ R 20 σου MW 22 δεῖσε P 23 βερονίκη P βερνίκη RMW 24 σὴν om. MW 25 σοι om. R καὶ] κἂν coni. ταύτας] ταύτησ R ταῦτασὲ M ταῦτα σὲ W εὕρεν A 26 ῥᾳδιουργοῦντε MW ἀπήλασεν A¹ ἀλλὰ] ἀλλὰ γὰρ W τούτων] των P ἐλλέγχει P 27 δέ μοι ἔπεισι tr. MW ἀναίδειαν P

τολμᾷς λέγειν ἁπάντων τῶν τὴν πραγματείαν ταύτην γεγραφότων
αὐτὸς ἄμεινον ἐξηγγελκέναι, μήτε τὰ πραχθέντα κατὰ τὴν Γαλι-
λαίαν ἐπιστάμενος, ἧς γὰρ ἐν Βηρυτῷ τότε παρὰ βασιλεῖ, μηθ'
ὅσα ἔπαθον Ῥωμαῖοι ἐπὶ τῆς Ἰωταπάτων πολιορκίας ἢ ὕδρασαν
ἡμᾶς παρακολουθήσας, μήθ' ὅσα καθ' ἑαυτὸν ἔπραξα πολιορκού-
μενος δυνηθεὶς πυθέσθαι· πάντες γὰρ οἱ ἀπαγγείλαντες ἂν δι- 358
εφθάρησαν ἐπὶ τῆς παραπάξεως ἐκείνης. ἀλλ' ἴσως τὰ κατὰ τὴν
Ἱεροσόλυμα πραχθέντα μετὰ ἀκριβείας φήσεις συγγεγραφέναι. καὶ
πῶς οἷόν τε; οὔτε γὰρ τῷ πολέμῳ παρέτυχες οὔτε τὰ Καίσαρος
ἀνέγνως ὑπομνήματα. μέγιστον δὲ τεκμήριον· τοῖς γὰρ Καίσαρος
ὑπομνήμασιν ἐναντίαν πεποίησαι τὴν γραφήν. εἰ δὲ θαρρεῖς ἅπαν- 359
τον ἁπάντων συγγεγραφέναι, διὰ τί ζώντων Οὐεσπασιανοῦ καὶ
Τίτου τῶν αὐτοκρατόρων τῶν τὸν πόλεμον κατεργασαμένων καὶ
βασιλέως Ἀγρίππα περιόντος ἔτι καὶ τῶν ἐκ γένους αὐτοῦ πάν-
των, ἀνδρῶν τῆς Ἑλληνικῆς παιδείας ἐπὶ πλεῖστον ἡκόντων, τὴν
ἱστορίαν οὐκ ἤρθρις εἰς μέσον; πρὸ γὰρ εἴκοσιν ἐτῶν εἶχες γεγραμ- 360
μένην καὶ παρ' εἰδόσιν ἐμέλλες τῆς ἀκριβείας τὴν μαρτυρίαν ἀπο-
φέρεσθαι· νῦν δ', ὅτ' ἐκεῖνοι μὲν οὐκέτ' εἰσὶν μεθ' ἡμῶν, ἐλεγ-
χθῆναι δ' οὐ νομίζεις, τεθάρρηκας. οὐ μὴν ἐγώ σοι τὸν αὐτὸν 361
τρόπον περὶ τῆς ἐμαυτοῦ γραφῆς ἔθεσα. ἀλλ' αὐτοῖς ἐπέδωκα τοῖς
αὐτοκράτορσι τὰ βιβλία μόνον οὐ τῶν ἔργων ἔτι βλεπομένων· συν-
ῄδειν γὰρ ἐμαυτῷ τετηρικότι τὴν τῆς ἀληθείας παράδοσιν. ἐφ' ᾗ
μαρτυρίας τεύξεσθαι προσδοκήσας οὐ διήμαρτον. καὶ ἄλλοις δὲ 362
πολλοῖς εὐθὺς ἐπέδωκα τὴν ἱστορίαν. ὧν ἔνιοι καὶ παρατετεύχεισαν
τῷ πολέμῳ, καθάπερ βασιλεὺς Ἀγρίππας καί τινες αὐτοῦ τῶν
συγγενῶν. ὁ μὲν γὰρ αὐτοκράτωρ Τίτος ἐκ μόνων αὐτῶν ἐβουλήθη 363
τὴν γνῶσιν τοῖς ἀνθρώποις παραδοῦναι τῶν πράξεων. ὥστε χαράξας

PRAMW Eusebius hist. eccl. III 11, 4.

1 γεγραφηκότων MW 3 μήτε MW 4 ἰωταπατῶν P ἰωταπάντων A 5 μήτε MW ἔπραξα] ἔδρασα P 6 ἂν om. R 7 τὴν] τὰ R 8 ἱεροσολυμιτῶν AMW μετ' R 10 ἀνέγνως] ἀναγνοὺς PRMW δὲ] om. P ὃν MW γὰρ om. PAMW 13 τῶν τὸν πόλεμον κατεργασαμένων] τοῦ πολέμου γενομένων (γενομένου M) PAMW 14 ἀγρίππα A περιόντος, ε ex α corr. R ἐκ] ἐκ τοῦ W ἁπάντων MW 16 εἴκοσιν RAM 18 δὲ MW ὅτε AMW οὐκ ἔτι AMW 19 δὲ MW οὐ μὴν incip. Eusebius 20 αὐτὸς M 21 αὐτοκράτορσι P αὐτοκράτορσιν A¹ τὰ om. P οὐ] οὐχὶ Eusebii cod. H ἔτι] ἤδη Eus συνῄδειν — 23 διήμαρτον collocanda uid. u. 26 post συγγενῶν 22 τετηρικότι, ό ex ώ corr. P 23 τεύξασθαι PR et Eusebii cod. C καὶ om. P 24 εὐθὺς om. Eus παρὰτετεύχισαν P παρατετυγήκεσαν Eus 25 τῷ πολέμῳ om. P τῷ] τίτος οὕτως AMWEus 27 παραδοῦναι τοῖς ἀνθρώποις τὴν γνῶσιν tr. R

364 τῇ ἑαυτοῦ χειρὶ τὰ βιβλία δημοσιῶσαι προσέταξεν. ὁ δὲ βασιλεὺς
Ἀγρίππας ἐξικοντάδυο γέγραφεν ἐπιστολὰς τῇ τῆς ἀληθείας παρα-
δόσει μαρτυρῶν. ὧν δὴ καὶ δύο ἐλέταξα καὶ βουληθέντι σοι τὰ
365 γεγραμμένα γνῶναι πάρεστιν ἐξ αὐτῶν· „βασιλεὺς Ἀγρίππας Ἰω-
σήπῳ τῷ φιλτάτῳ χαίρειν. ἥδιστα διῆλθον τὴν βύβλον, καί μοι 5
πολὺ ἐπιμελέστερον ἔδοξας τῶν ταῦτα συγγραψάντων ἠκριβωκέναι.
366 πέμπε δέ μοι καὶ τὰς λοιπάς. ἔρρωσο. βασιλεὺς Ἀγρίππας Ἰω-
σήπῳ τῷ φιλτάτῳ χαίρειν. ἐξ ὧν ἔγραψας οὐδεμιᾶς ἔοικας χρῆ-
ζειν διδασκαλίας ὑπὲρ τοῦ μαθεῖν ἡμᾶς ὅλως ἀρχῆθεν. ὅταν μέν-
τοι συντύχῃς μοι, καὶ αὐτός σε πολλὰ κατιχήσω τῶν ἀγνουμένων.“ 10
367 * ἐμοὶ δὲ ἀπαρτισθείσης τῆς ἱστορίας ἀληθείᾳ οὐ κολακείαν,
οὐδὲ γὰρ ἐπέβαλλεν αὐτῷ, οὐδὲ εἰρωνευόμενος. ὡς σὺ φήσεις, πάρρω
γὰρ ἦν ἐκεῖνος τοιαύτης κακοηθείας. ἀλλὰ τὴν ἀλήθειαν ἐμαρτύρει,
καθάπερ πάντες οἱ ταῖς ἱστορίαις ἐντυγχάνοντες. ἀλλὰ τὰ μὲν
πρὸς Ἰουδαίων ἀναγκαίαν λαβόντα τὴν παρέκβασιν μέχρι τούτων 15
ἡμῖν λελέχθω.

368 66. Διοικήσας δ᾽ ἐγὼ τὰ κατὰ τὴν Τιβεριάδα καὶ καθίσας
τῶν φίλων συνέδριον ἐβουλευόμην περὶ τῶν πρὸς Ἰωάννην πρα-
χθησομένων. ἐδόκει μὲν οὖν πᾶσι τοῖς Γαλιλαίοις ὁπλίσαντα
πάντας ἀπελθεῖν ἐπὶ τὸν Ἰωάννην καὶ λαβεῖν παρ᾽ αὐτοῦ δίκας 20
369 ὡς πάσης τῆς στάσεως αἰτίου γεγονότος. οὐκ ἠρεσκόμην δ᾽ ἐγὼ
ταῖς γνώμαις αὐτῶν προαίρεσιν ἔχων τὰς ταραχὰς χωρὶς φόνου
καταστέλλειν. ὅθεν δὴ παρῆσα πᾶσαν εἰσενέγκασθαι πρόνοιαν
370 ὑπὲρ τοῦ γνῶναι τὰ ὀνόματα τῶν ὑπὸ τὸν Ἰωάννην ὄντων. ποιη-
σάντων δ᾽ ἐκείνων γνοὺς ἐγὼ τοὺς ἀνθρώπους οἵτινες ἦσαν ἐξέ- 25
θηκα πρόγραμμα, διὰ τούτου πίστιν καὶ δεξιὰν προτείνων τοῖς

§ 368 = bell. Iud. II 622.

PRAMW Eusebius hist. eccl. III 11, 4.

1 τῇ αὐτοῦ Eus δημοσιῶσαι] PREusebii codd. EJN δημοσιεῦσαι AMW δημοσιεύεσθαι Eus 2 ἔγραψεν Eus τῇ] τὴν AMW παράδοσιν AMW 3 μαρτυρῶν fin. Eus 5 βίβλον RMW 7 ἔρρωσο] ἔρρωσσον P ἔρρωσο φίλτατε RAMW ἰωσίπω P 9 διδασκαλείας P ὅλους, λ i. ras., υ ex ὐ corr., i. marg. γρ ὀδούς A ὀδοὺς P 10 σε] ε P τε A κατηχήσων P 11 ἐμοὶ δὲ] οὕτως δέ μοι R ὅπως ἐμοὶ δὲ MW ἀπαρτισθήσης P ἀληθείᾳ] Ἀγρίππας Hudson 12 ἐπέβαλεν M αὐτῷ P οὐδ᾽ R φήσεις] φῇς εἰσ P φῄς MW 14 ἐντυχόντες AW 15 πρὸς] πρὸσ τὸν MW λαβόντα, α ex σ corr. R παρέκβασιν] παράθεσιν PR fort. recte 16 ἡμῖν om. RAMW 17 δὲ MW τὰσ W 18 συνέδριον, ει ex corr. P 19 οὖν] γαρ P ὁπλίσοντα P 20 ἐπὶ] περι P πρὸσ R ἰωάννην P 21 δὲ ἔγωγε MW 22 ταριχὸσ, ι paene euan. P φόνων RM 24 ὑπὸ τῶ ἰωάννη PRA τὸν] τῶν W 25 δὲ RAMW 26 προτείνων τοῖς μετὰ] πρὸσ MW

μετὰ Ἰωάννου θελήσασιν λαβεῖν μετάνοιαν, καὶ ἡμερῶν εἴκοσι χρόνον προέτεινα τοῖς βουλεύσασθαι θέλουσιν περὶ τῶν ἑαυτοῖς συμφερόντων. ἡμείλουν δέ, εἰ μὴ ῥίψουσιν τὰ ὅπλα, καταφρονεῖν αὐτῶν τὰς οἰκήσεις καὶ δημοσιώσειν τὰς οὐσίας. ταῦτα δὲ ἀκού- 371
σαντες οἱ ἄνθρωποι καὶ παραχθέντες οὔ τι μετρίως καταλείπουσιν μὲν τὸν Ἰωάννην, τὰ δ' ὅπλα ῥίψαντες ἦκον πρός με τετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες. μόνοι δὲ τῶν Ἰωάννῃ συμμείναντων οἱ πολῖται 372
καὶ ξένοι τινὲς ἐκ τῆς Τυρίων μητροπόλεως ὡς χίλιοι καὶ πεντακόσιοι. Ἰωάννης μὲν οὖν οὕτω καταστρατηγηθεὶς ὑπ' ἐμοῦ τὸ λοιπὸν ἐν τῇ παρίδι περίφοβος ἔμεινεν.

67. Κατὰ τοῦτον δὲ τὸν καιρὸν Σεπφωρῖται θαρρήσαντες 373
ἀναλαμβάνουσιν ὅπλα πεποιθότες τῇ τε τῶν τειχῶν ὀχυρότητι καὶ τῷ πρὸς ἑτέροις ὄντα με ὁρᾶν. πέμπουσι δὴ πρὸς Κέστιον Γάλλον, Συρίας δ' ἦν οὗτος ἡγεμών, παρακαλοῦντες ἢ αὐτὸν ἧκειν θᾶττον παραληψόμενον αὐτῶν τὴν πόλιν ἢ πέμψαι τοὺς φρουρήσοντας. 374
ὁ δὲ Γάλλος ἐλεύσεσθαι μὲν ὑπέσχετο, πότε δὲ οὐ διεσάφησεν. καγὼ ταῦτα πυθόμενος, ἀναλαβὼν τοὺς σὺν ἐμοὶ στρατιώτας καὶ ὁρμήσας ἐπὶ τοὺς Σεπφωρίτας εἶλον αὐτῶν κατὰ κράτος τὴν πόλιν. λαβόμενοι δ' ἀφορμῆς οἱ Γαλιλαῖοι καὶ παρεῖναι τοῦ μίσους τὸν 375
καιρὸν οὐ βουληθέντες, εἶχον γὰρ ἀπεχθῶς καὶ πρὸς ταύτην τὴν πόλιν, ὥρμησαν ὡς ἅρδην ἀφανίσοντες πάντας σὺν τοῖς ἐποίκοις. εἰσδραμόντες οὖν ἐνεπίμπρασαν αὐτῶν τὰς οἰκίας ἐρήμους κατα- 376
λαμβάνοντες· οἱ γὰρ ἄνθρωποι δείσαντες εἰς τὴν ἀκρόπολιν συνέφυγον· διήρπαζον δὲ πάντα καὶ τρόπον οἱόνδε κορθήσεως κατὰ
τῶν ὁμοφύλων παρελίμπανον. ταῦτ' ἐγὼ θεασάμενος σφόδρα δι- 377
ετέθην ἀνιαρῶς καὶ παύεσθαι προσέτασσον αὐτοῖς. ὑπομιμνήσκων ὅτι τοιαῦτα δρῶν ὁμοφύλους οὐκ ἔστιν ὅσιον. ἐπεὶ δ' οὔτε παρα- 378

§ 370 = bell. Iud. II 624; § 373 = bell. Iud. II 646.

PRAMW

1 θελήσασ MW 3 ῥίψωσιν PA 4 δημοσιεύσειν M τὰς] αὐτῶν τὰσ P οὐσίας] οἰκίασ M 5 καταλίπουσι MW β δὲ MW τετρακισχιλίουσ PR 7 ὄντεσ om. AMW πολῖται] ὁπλῖται PRA 8 ὡς om. P καὶ om. MW 9 οὖν om. PAW 11 θαρσήσαντεσ MW 12 πεποιθότεσ om. M 13 τῷ] τὸ MW 14 δ' ἦν] δὲ MW ἧκειν P ἥκειν — 15 αὐτῶν] ἢ ἐκείνου τὸν παραλαβόντα μόνον MW 15 τὴν πόλιν αὐτῶν tr. R ἢ πέμψαι] ἐκπέμψαι MW φρουρήσοντασ] φλυαρήσανταϲ MW 16 μὲν ἐλεύσεσθαι tr. R μὲν] μὲν··| W 18 ὁρμίσασ P τὴν πόλιν κατὰ κράτοσ tr. RAMW 19 δὲ MW ἀφορμὰσ PMW 20 οὐ βουληθέντεσ] οἰηθέντεσ AMW γὰρ] ἀγὰρ P 21 ἐνοίκοισ P 25 παρελάμβανον M ταῦτ'] ταῦτα δὲ MW ἐγὼ om. M 26 παύσασθαι MW ὑπομνήσκων PA 27 δὲ RMW

καλοῦντος οὔτε προστάσσοντος ἦκον. ἐνίκα δὲ τὸ μῖσος τὰς παραινέσεις, τοὺς πιστοτάτους τῶν περὶ ἐμὲ φίλων ἐκέλευσα διαδοῦναι λόγους, ὡς Ῥωμαίων μετὰ μεγάλης δυνάμεως κατὰ τὸ ἕτερον μέρος
379 τῆς πόλεως εἰσβεβληκότων. ταῦτα δ' ἐποίουν ὑπὲρ τοῦ τῆς φήμης ἐμπεσούσης ἐπισχεῖν μὲν τῶν Γαλιλαίων τὰς ὁρμάς, διασῶσαι δὲ τὴν τῶν Σεπφωριτῶν πόλιν. καὶ τέλος προυχώρησε τὸ στρατήγημα·
380 τῆς γὰρ ἀγγελίας ἀκούσαντες ἐφοβήθησαν ὑπὲρ αὑτῶν· καὶ καταλιπόντες τὰς ἁρπαγὰς ἔφευγον. μάλιστα δ', ἐπεὶ καμὲ τὸν στρατηγὸν ἑώρων ταῦτα ποιοῦντα· πρὸς γὰρ τὸ πιστὸν τῆς φήμης ἐσκηπτόμην ὁμοίως αὐτοῖς διατεθεῖσθαι. Σεπφωρῖται δὲ παρ' ἐλπίδα τὴν ἑαυτῶν ὑπὸ τοῦ ἐμοῦ σοφίσματος ἐσώθησαν.

381 68. Καὶ Τιβεριὰς δὲ παρ' ὀλίγον ἀνηρπάσθη ὑπὸ Γαλιλαίων τοιαύτης αἰτίας ὑποπεσούσης· τῶν ἐκ τῆς βουλῆς οἱ πρῶτοι γράφουσι πρὸς τὸν βασιλέα παρακαλοῦντες ἀφικέσθαι πρὸς αὐτοὺς
382 παραληψόμενον τὴν πόλιν. ἐπέσχετο δ' ὁ βασιλεὺς ἔρχεσθαι, καὶ τὰς ἐπιστολὰς ἀντιγράφει καὶ τῶν περὶ τὸν κοιτῶνα τινί. Κρίσπῳ μὲν τοῦνομα, τὸ δὲ γένος Ἰουδαίῳ, δίδωσι πρὸς τοὺς Τιβεριεῖς
383 φέρειν. τοῦτον κομίσαντα τὰ γράμματα γνωρίσαντες οἱ Γαλιλαῖοι καὶ συλλαβόντες ἄγουσιν ἐπ' ἐμέ. τὸ δὲ πᾶν πλῆθος, ὡς ἤκουσεν,
384 παροξυνθὲν ἐφ' ὅπλα τρέπεται. συναχθέντες δὲ πολλοὶ πολλαχόθεν κατὰ τὴν ἐπιοῦσαν ἦκον εἰς Ἄσωχιν πόλιν, ἔνθα δὴ τὴν κατάλυσιν ἐποιούμην. καταβοήσεις τε σφόδρα ἐποιοῦντο. προδότην ἀποκαλοῦντες τὴν Τιβεριάδα καὶ βασιλέως φίλην. ἐπιτρέπειν τε ἐξίουν αὐτοῖς καταβᾶσιν ἄρδην ἀφανίσαι· καὶ γὰρ πρὸς τοὺς Τιβεριεῖς εἶχον ἀπεχθῶς, ὡς πρὸς τοὺς Σεπφωρίτας.

385 69. Ἐγὼ δ' ἀκούσας ἠπόρουν, τίνα τρόπον ἐξαρτάσω τὴν Τιβεριάδα τῆς Γαλιλαίων ὀργῆς. ἀρνήσασθαι γὰρ οὐκ ἐδυνάμην

PRAMW

2 ἐκέλευσε P 4 εἰσβεβηκότων PR δ'] δὴ MW 5 μὲν] Hudson *με* codd. δὲ] τε R 6 σεπφωριτῶν, ω ex ορ corr. P προχώρησε W προυχώρησε — 7 ἀκούσαντες] προχωρήσαντες M 7 αὐτῶν RMW καταλειπόντες P 8 ἔφυγον AMW δ'] δὲ A, om. MW 9 ταὐτὰ A 10 ἐσκεπτόμην M ὁμοίως] ὡσ M διατίθεσθαι PRA 11 τὴν ἑαυτῶν παρ' ἐλπίδα tr. R ἔσωσαν R 12 δὲ om. MW παρ' ὀλίγον] παρὰ λόγον PA ἂν ηρπάσθη P διηρπάσθη ed. pr. ὑπὸ γαλιλαίων ἀνηρπάσθη tr. RMW 13 τῶν ἐκ τῆς om. MW 15 δ' ὁ om. PAMW 17 τοὺς om. W 18 τὰ om. RA 19 ἄγουσιν] ἦγον MW πᾶν om. R 20 συναχθέντες ‖ fin. fol. 369 excidit insequens usque ad p. 383, 30 πανταχόθεν RA 21 ἀσωχὶν R ἀσσοχὶν M ἀσσώχιν W 22 τε] δὲ MW προδότην A^1W 24 αὐτοῖς] σὺν αὐτοῖν R ἀφανίσαι] αὐτοὺσ ἀφανίσαι R γὰρ om. MW 25 πρὸς τοὺς] καὶ πρὸσ MW, recte si ὡς omittetur 26 δὲ MW 27 ὀργῆς] ὀργῆσ ἐπ' αὐτούσ A ὀργῆσ ὀργισθέντασ (ὀργησθέντασ W) ἐπ' αὐτούσ MW ἠδυνάμην MW

μὴ γεγραφέναι τοὺς Τιβεριεῖς καλοῦντας τὸν βασιλέα· ἤλεγχον γὰρ αἱ παρ' ἐκείνου πρὸς αὐτοὺς ἀντιγραφαὶ τὴν ἀλήθειαν. σύννους 386
οὖν πολλὴν γενόμενος ὥραν, „ὅτι μὲν ἠδικήκασιν, εἶπον, Τιβεριεῖς, οἶδα κἀγώ, τὴν πόλιν δ' αὐτῶν ὑμᾶς οὐ κωλύσω διαρπάσαι. δεῖ δ' ὅμως καὶ μετὰ κρίσεως τὰ τηλικαῦτα πράττειν· οὐ γὰρ μόνοι Τιβεριεῖς προδόται τῆς ἐλευθερίας ὑμῶν γεγόνασιν, ἀλλὰ πολλοὶ καὶ τῶν ἐν Γαλιλαίᾳ δοκιμωτάτων. προσμείνατε δὴ μέχρι τοὺς 387
αἰτίους ἀκριβῶς ἐκμάθω, καὶ τότε πάντας ὑποχειρίους ἕξετε καὶ ὅσους ἰδίᾳ ἐπάξαι δυνήσεσθε". ταῦτ' εἰπὼν ἔπεισα τὸ πλῆθος 388
καὶ πανσάμενοι τῆς ὀργῆς διελύθησαν. τὸν παρὰ βασιλέως δὲ πεμφθέντα δῆσαι κελεύσας, μετ' οὐ πολλὰς ἡμέρας ἐπί τινα τῶν ἐμαυτοῦ χρειῶν ἐπείγουσαν σκηψάμενος ἐκδημεῖν τῆς βασιλείας, καλέσας τὸν Κρῖσπον λάθρα προσέταξα μεθύσαι τὸν στρατιώτην φύλακα καὶ φυγεῖν πρὸς βασιλέα· μὴ γὰρ διωχθήσεσθαι. καὶ ὁ 389
μὲν ταῖς ὑποθήκαις πεισθεὶς διέφυγε· Τιβεριὰς δὲ μέλλουσα δεύτερον ἀφανίζεσθαι στρατηγίᾳ τῇ ἐμῇ καὶ προνοίᾳ τῇ περὶ αὐτῆς ὀξὺν οὕτως κίνδυνον διέφυγεν.

70. Κατὰ τοῦτον δὲ τὸν καιρὸν Ἰοῦστος ὁ Πιστοῦ παῖς λα- 390
θὼν ἐμὲ διαδιδράσκει πρὸς τὸν βασιλέα. τὴν αἰτίαν δὲ δι' ἣν
τοῦτ' ἔπραξεν ἀφηγήσομαι. καθόντος ἀρχὴν Ἰουδαίοις τοῦ πρὸς 391
Ῥωμαίους πολέμου Τιβεριεῖς διεγνώκεισαν ὑπακούειν βασιλεῖ καὶ Ῥωμαίων μὴ ἀφίστασθαι. πείθει δ' αὐτοὺς Ἰοῦστος ἐφ' ὅπλα χωρῆσαι νεωτέρων αὐτὸς ἐφιέμενος πραγμάτων καὶ δι' ἐλπίδος ἔχων ἄρξειν Γαλιλαίων τε καὶ τῆς ἑαυτοῦ πατρίδος. οὐ μὴν τῶν 392
προσδοκηθέντων ἐπέτυχεν· Γαλιλαῖοί τε γὰρ ἐχθρῶς ἔχοντες πρὸς τοὺς Τιβεριεῖς διὰ μῆνιν ὧν ὑπ' αὐτοῦ πρὸ τοῦ πολέμου πεπόνθεισαν, οὐκ ἠνείχοντο στρατηγοῦντος αὐτῶν Ἰούστου, κἀγὼ δὲ τὴν 393
προσιασίαν τῆς Γαλιλαίας πιστευθεὶς ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν, πολλάκις εἰς τοσαύτην ἦλθον ὀργήν, ὡς ὀλίγου δεῖν ἀνελεῖναι τὸν Ἰοῦστον, φέρειν αὐτοῦ τὴν μοχθηρίαν οὐ δυνάμενος.

RAMW

1 γεγραφηκέναι MW 3 ὥραν γενόμενος tr. A 4 δ'] om. A δὲ MW 5 δὲ MW ὅμως καὶ τὰ τηλικαῦτα μετὰ κρίσεως coni. 7 ἐν] ἐν τῇ MW δή] δὲ R μέχρι] μέχρι τοῦ R 8 ἐκμάθω A 9 ante ὅσους eras. π A ταῦτ'] καὶ ταῦτα MW ἔπανσα W 11 ληφθέντα et i. marg. γρ πεμφθέντα A μετ' οὐ] ed. pr. μετὰ codd. τινας M 13 λάθρα om. R προσέταξε W 16 περὶ om. M 17 οὕτω MW 19 δὲ αἰτίαν tr. MW 20 τοῦτο AMW 21 ῥωμαίοις M 22 δὲ MW αὐτοὺς] αὐτὸν R 24 ἔχων om. M τε γαλιλαίων tr. M ε·αυτοῦ, eras. π A 26 μῆνιν] μήνιν Gelenium voluisse putat Hudson 27 ἀνεῖχοντο MW 28 γαλιλαίων M 30 (μο)‖χθηρίαν incip. fol. 372 (loco motum) P

δείσας οὖν ἐκεῖνος, μὴ καὶ λάβῃ τέλος ἅπαξ ὁ θυμός, ἔπεμψε πρὸς βασιλέα Κρῖσπον ἀσφαλέστερον οἰκήσειν παρ' ἐκείνῳ νομίζων.

394 71. Σεπφωρῖται δὲ παραδόξως τὸν πρῶτον κίνδυνον διαφυγόντες πρὸς Κέστιον Γάλλον ἔπεμψαν ἥξειν παρακαλοῦντες ὡς αὐτοὺς θᾶττον παραλῃψόμενον τὴν πόλιν, ἢ πέμπειν δύναμιν τὴν ἀνακόψουσαν τὰς ἐπ' αὐτοὺς τῶν πολεμίων ἐπιδρομάς· καὶ τέλος ἔπεισαν τὸν Γάλλον πέμψαι δύναμιν αὐτοῖς ἱππικήν τε καὶ πεζικήν,
395 ἣν ἐλθοῦσαν νυκτὸς εἰσεδέξαντο. κακουμένης δὲ ἐπὸ τῆς Ῥωμαϊκῆς στρατιᾶς τῆς [περὶξ] χώρας ἀναλαβὼν ἐγὼ τοὺς περὶ ἐμὲ στρατιώτας ἦκον εἰς Γαρεις κώμην. ἔνθα βαλόμενος χάρακα πόρρω τῆς Σεπφωριτῶν πόλεως ἀπὸ σταδίων εἴκοσι νυκτὸς ἐπ' αὐτῇ προσ-
396 έμιξα καὶ τοῖς τείχεσι προσέβαλλον, καὶ διὰ κλιμάκων ἐμβιβάσας συχνοὺς τῶν στρατιωτῶν ἐγκρατὴς τοῦ πλείστου τῆς πόλεως μέρους ἐγενόμην, μετ' οὐ πολὺ δὲ διὰ τὴν τῶν τόκων ἄγνοιαν ἀναγκασθέντες ὑπεχωρήσαμεν, ἀνελόντες Ῥωμαίων μὲν ἱππεῖς δύο, πεζοὺς δὲ δέκα, ὀλίγους δὲ Σεπφωριτῶν, αὐτοὶ δ' ἕνα μόνον ἀπεβάλομεν.
397 γενομένης δ' ὕστερον ἡμῖν κατὰ τὸ πεδίον μάχης πρὸς τοὺς ἱππεῖς μέχρι πολλοῦ καρτερῶς διακινδυνεύσαντες ἡττήθημεν· περιελθόντων γὰρ τῶν Ῥωμαίων οἱ μετ' ἐμοῦ δείσαντες ἔφυγον εἰς τοὐπίσω. πίπτει δ' ἐπὶ τῆς παρατάξεως ἐκείνης εἰς τῶν πεπιστευμένων τὴν
398 τοῦ σώματός μου φυλακὴν Ἰοῦστος τοὔνομα καὶ παρὰ βασιλεῖ ποτε τὴν αὐτὴν τάξιν ἐσχηκώς. κατὰ τοῦτον δὲ τὸν καιρὸν ἡ παρὰ βασιλέως δύναμις ἦκεν ἱππική τε καὶ πεζικὴ καὶ Σύλλας ἐπ' αὐτῆς ἡγεμὼν ὁ ἐπὶ τῶν σωματοφυλάκων. οὗτος οὖν βαλόμενος στρα-

---

PRAMW

1 καὶ om. MW ἔπεμψε] ἐπέωσε M ἐπέωσε W 2 Κρῖσπον] κρίσπον ὡς R κρεῖσσον καὶ A κρεῖσσον MW ἐκείνων M νομίζων, ω ex ει corr. R 3 σεπφωρίταισ R 4 κέσστιον, κ i. ras., στ ex σ corr. A κέσσιον PMW ἔπεμψαν] πέμψαντεσ RMW ἔπεμψαν καὶ A παρακαλοῦντες] παρεκάλουν RAMW 5 παραλῃψόμενοσ P 6 αὐτοὺς] αὐτῶν PA 7 πεζικήν] πεζικὴν πάλιν (πάνυ R) συχνήν RAMW 8 post δὲ deletum τῆσ R 9 πέριξ om. P περὶ μὲ P 10 εἰς Γαρεις] εἰσ γαρὶσ (ὶ i. ras. A) RA γὰρ εἰσ MW βαλλόμενοσ AM 11 σεπφωρητῶν P ἐπ'] ἔτι coni. αὐτὴν AMW προσέμειξα P¹ 12 προσέβαλον coni. ἐμβιβάσασ] R et i. marg. A ἐμβηβάσασ P ἐμβήσασ A ἀμβήσασ MW 15 ἀνεχωρήσαμεν A Ῥωμαίων — 16 δέκα] ῥωμαίων μὲν ἱππεῖσ δύο δέκα δὲ πεζοὺσ MW μὲν δυοκαίδεκα πεζοὺσ P μὲν δυοκαίδεκα ῥωμαίων πεζοὺσ δύο δὲ ἱππεῖσ A μὲν Ῥωμαίων ἱππεῖσ δύο καὶ δέκα πεζούσ ad P magis accommodatum est 16 δὲ RAMW 17 δὲ RAMW παιδίον P 18 περιελθόντων P περιελθόντοσ A 19 γὰρ] γάρ μου A γάρ με ed. pr. τῶν] τὴν A 20 δ' ἐπὶ] δὲ PA δὲ ἐπὶ RMW πιστευομένων MW 23 Σύλλας] σίλασ M σίλλασ W αὐτοῖσ M 24 ὁ om. MW βαλλόμενοσ M βουλόμενοσ R

τόπεδον Ἰουλιάδος ἀπέχον σταδίους πέντε φρουρὰν ἐφίστησιν ταῖς ὁδοῖς, τῇ τε εἰς Σελεύκειαν ἀγούσῃ καὶ τῇ εἰς Γάμαλα τὸ φρούριον, ὑπὲρ τοῦ τὰς παρὰ τῶν Γαλιλαίων ὠφελείας τοῖς ἐνοίκοις ἀποκλείειν.

72. Ταῦτα δ' ὡς ἐπυθόμην ἐγὼ πέμπω δισχιλίους ὁπλίτας 399
καὶ στρατηγὸν αὐτῶν Ἱερεμίαν, οἳ δὴ καὶ χάραξ θέντες ἀπὸ σταδίου τῆς Ἰουλιάδος πλησίον τοῦ Ἰορδάνου ποταμοῦ πλέον ἀκροβολισμῶν οὐδὲν ἔπραξαν, μέχρι τρισχιλίους στρατιώτας αὐτὸς ἀναλαβὼν ἦκον πρὸς αὐτούς. κατὰ δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔν τινι 400
φάραγγι καθίσας λόχον οὐκ ἄπωθεν αὐτῶν τοῦ χάρακος προεκαλούμην τοὺς βασιλικοὺς εἰς μάχην, παραινέσας τοῖς μετ' ἐμοῦ στρατιώταις στρέψαι τὰ νῶτα, μέχρις ἂν ἐπισπάσωνται τοὺς πολεμίους προελθεῖν· ὅπερ καὶ ἐγένετο. Σύλλας γὰρ εἰκάσας ταῖς ἀληθείαις 401
τοὺς ἡμετέρους φεύγειν προελθὼν ἐπεδίωκεν οἷός τε ἦν. κατὰ νώτου δ' αὐτὸν λαμβάνουσιν οἱ ἐκ τῆς ἐνέδρας καὶ συμπόδια πάντας ἐθορύβησαν. ἐγὼ δ' εὐθὺς ὀξείᾳ χρησάμενος ἱππασιοφυΐᾳ μετὰ τῆς 402
δυνάμεως ἐπιέτησα τοῖς βασιλικοῖς καὶ εἰς φυγὴν ἔτρεψα. κἂν κατώρθωτό μοι κατὰ τὴν ἡμέραν ἐκείνην ἡ πρᾶξις μὴ ἐμποδὼν γενομένου δαίμονός τινος· ὁ γὰρ ἵππος, ἐφ' ᾧ τὴν μάχην ἐποιού- 403
μην, εἰς τελματώδη τόπον ἐμπεσὼν στηκαιγενέσε με ἐπὶ τοῦδαφος. θραύσεως δὲ τῶν ἄρθρων γενομένης ἐπὶ τὸν τορσὸν τῆς χειρὸς ἐκομίσθην εἰς κώμην Κεφαρνωκὸν λεγομένην. οἱ δὲ ταῦτ' ἀκού- 404
σαντες καὶ δεδοικότες, μή τι χεῖρον ἔπαθον, τῆς μὲν ἐπὶ πλέον διώξεως ἀπέσχοντο, ἐπέσειρον δὲ περὶ ἐμὲ λίαν ἀγωνιῶντες. μεταπεμψάμενος οὖν ἰατροὺς καὶ θεραπευθεὶς τὴν ἡμέραν ἐκείνην αὐτοῦ κατέμεινα πυρέξας, δόξαν τε τοῖς ἰατροῖς τῆς νυκτὸς εἰς Ταριχέας μετεκομίσθην.

73. Σύλλας δὲ καὶ οἱ μετ' αὐτοῦ πυθόμενοι τὰ κατ' ἐμὲ πάλιν 405

PRAMW

1 ἐφίστησι A ἐπιστῆσαι R ἐπέστησε MW ταῖς om. P 2 Σελεύκειαν] καινᾶ MW τῇ om. W 4 ἀποκλείσειν PR 5 δὲ MW ἐγὼ ἐπυθόμην tr. PAMW 7 ἀκρωβ·λισμῶν, ω ex o corr. M 8 στρατιώτας αὐτὸς] ἐγὼ στρατιώτασ RAMW 10 ἄποθεν PRM et ex corr. A αὐτῶ R χάρακος] φάραγγος M προσεκαλούμην MW 13 προσελθεῖν MW Σύλλας] σίλασ M 15 δὲ MW αὐτὸν, ὸ ex ω̄· corr. uid. R οἱ om. P 16 δὲ AMW ὀξείᾳ] ἀξία P τῆς om. R 17 ἀπήντησα P 18 κατόρθωτό P μοι, μ i. ras. A ἐνποδὼν P 19 ἐφ'] ἐν RA 20 συνκατήνεγκε P κατήνεγκε R τοῦ ἐδάφους AMW 21 ταρσὸν] καρπὸν RAMW 22 Κεφαρνωκὸν] κεφαρναϰὸν R κεφαρνωκὼν A καρφαναωμῶν M καφαρνώμων W δὲ] δ' (δὲ MW) ἐμοὶ RAMW ταῦτα MW 23 καὶ om. MW fort. recte πλεῖον AMW 24 περὶ ἐμοῦ AMW 26 τε] δὲ W 27 ταριχαίασ PRA 28 Σύλλας] σίλασ M

ἐθάρρησαν, καὶ γνόντες ἀμελεῖσθαι τὰ περὶ τὴν φυλακὴν τοῦ στρατοπέδου διὰ νυκτὸς ἑπτέων λόχον ἰδρύσαντες ἐν τῷ πέραν τοῦ
406 Ἰορδάνου, γενομένης ἡμέρας εἰς μάχην ἡμᾶς προεκαλέσαντο. τῶν δ' ἑπακουσάντων καὶ μέχρι τοῦ πεδίου προελθόντων ἐπιφανέντες οἱ ἐκ τῆς ἐνέδρας ἵππεῖς καὶ ταράξαντες αὐτοὺς εἰς φυγὴν ἔτρεψαν ἔξ τε τῶν ἡμετέρων ἀπέκτειναν, οὐ μὴν μέχρι τέλους τὴν νίκην ἤγαγον· καταπεπλῆχθαι γάρ τινας ὁπλίτας ἀκούσαντες ἀπὸ Ταριχεῶν εἰς Ἰουλιάδα φοβηθέντες ἀνεχώρησαν.

407 74. Μετ' οὐ πολὺν δὲ χρόνον Οὐεσπασιανὸς εἰς Τύρον ἀφικνεῖται καὶ σὺν αὐτῷ ὁ βασιλεὺς Ἀγρίππας. καὶ οἱ Τύριοι βλασφημεῖν ἤρξαντο τὸν βασιλέα Τυρίων αὐτὸν καλοῦντες καὶ Ῥωμαίων πολέμιον· τὸν γὰρ στρατοπεδάρχην αὐτοῦ Φίλιππον ἔλεγον προδεδωκέναι τὴν βασιλικὴν αὐλὴν καὶ τὰς Ῥωμαίων δυνάμεις τὰς
408 οὔσας ἐν Ἱεροσολύμοις κατὰ τὴν αὐτοῦ πρόσταξιν. Οὐεσπασιανὸς δὲ ἀκούσας Τυρίοις μὲν ἐπέπληξεν ὑβρίζουσιν ἄνδρα καὶ βασιλέα καὶ Ῥωμαίοις φίλον, τῷ δὲ βασιλεῖ παρῄνεσεν πέμψαι Φίλιππον
409 εἰς Ῥώμην ἐφέξοντα λόγον Νέρωνι περὶ τῶν πεπραγμένων. Φίλιππος δὲ πεμφθεὶς οὐχ ἧκεν εἰς ὄψιν Νέρωνι· καταλαβὼν γὰρ αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα διὰ τὰς ἐμπεσούσας ταραχὰς καὶ τὸν ἐμ-
410 φύλιον πόλεμον ὑπέστρεψε πρὸς τὸν βασιλέα. ἐπεὶ δὲ Οὐεσπασιανὸς εἰς Πτολεμαΐδα παρεγένετο, οἱ πρῶτοι τῶν τῆς Συρίας δέκα πόλεων κατεβόων Ἰούστου τοῦ Τιβεριέως, ὅτι τὰς κώμας αὐτῶν ἐμπρήσειεν. παρέδωκεν οὖν αὐτὸν Οὐεσπασιανὸς τῷ βασιλεῖ κολασθησόμενον ὑπὸ τῶν τῆς βασιλείας ἐποτελῶν· ὁ βασιλεὺς δ' αὐτὸν ἔδησεν ἐπικρυψάμενος τοῦτο Οὐεσπασιανόν, ὡς ἀνωτέρω δεδηλώ-
411 καμεν. Σεπφωρίται δ' ὑπαντήσαντες καὶ ἀσπασάμενοι Οὐεσπασιανὸν λαμβάνουσι δύναμιν καὶ στρατηγὸν Πλακίδον. ἀναβάντες δὲ μετὰ τούτων ἑπόμενόν μοι * ἄχρι τῆς εἰς Γαλιλαίαν Οὐεσπασιανοῦ
412 ἀφίξεως. περὶ ἧς τίνα τρόπον ἐγένετο, καὶ πῶς περὶ Γάρις κώμην

PRAMW

1 ἐθάρσησαν A ἐθάρσησαν MW *γνῶντες* P 2 *νυκτὸς*] *τῆσ νυκτὸσ* R 3 *προσεκαλέσαντο* MW 4 δὲ MW 6 ἧς] ἓξ P *ἀπέκτειναν*] *ἔκτειναν* A 7 *ταριχαίων* P *ταριχαιῶν* R et ex corr. A S *ἰουλιάδασ* P 11 *ἤρξατο* A *Τυρίων*] ed. pr. *τύριον* codd. 12 *ἔλεγε* M *ἔλεγεν* W *προδεδοκέναι* P

14 *πρόσταξιν*] *πρᾶξιν* MW *οὐεσπασιανὸσ* R 18 *οὐκ ἦκεν* P 20 *ὑπέστρεψε·* A 22 *πόλεωσ* PR *τοῦ* om. MW *τιβέρεωσ* P 23 *ἐνέπρησε·* A *παρέδωκεν* P 24 *τῆς*] *ἐπὶ τῆσ* P *ἐποτελῶν*, i. marg. *ἐποτελῶν* A *δὲ* MW 25 *οὐεσπασιανὸσ* P *δεδήλωται* A 26 δὲ MW 27 *πλάκιδαν* MW 28 post *ἑπομένου μου* aliquid excidisse uid., cf. bell. Iud. III 4, 1; 6, 1 29 *ἀφῆξεωσ* P *ἐγένετο, καὶ πῶσ*] *καὶ πῶσ ἐγένετο καὶ* MW *Γάρις*] ed. Richter *ταριω* P *τάριω* R *ταριὰ, ?* i. ras. A *ταριχέασ* MW; cf. bell. Iud. III 6, 3 *κώμησ* M

τὴν πρώτην πρὸς ἐμὲ μάχην ἐποιήσατο, καὶ ὡς ἐκεῖθεν εἰς τὰ Ἰωτάπατα ἀνεχώρησα, καὶ τὰ πεπραγμένα μοι κατὰ τὴν ταύτης πολιορκίαν, καὶ ὃν τρόπον ζῶν ληφθεὶς ἐδέθην καὶ πῶς ἐλύθην, πάντα τε τὰ πεπραγμένα μοι κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον καὶ τὴν Ἱεροσολύμων πολιορκίαν μετ' ἀκριβείας ἐν ταῖς περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις ἀπήγγελκα. ἀναγκαῖον δ' ἐστίν, ὡς οἶμαι, καὶ 413
ὅσα μὴ κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον ἀνέγραψα τῶν ἐν τῷ βίῳ μου πεπραγμένων νῦν προσαναγράψαι.

75. Τῆς γὰρ τῶν Ἰωταπάτων πολιορκίας λαβούσης τέλος 414
γενόμενος παρὰ Ῥωμαίοις μετὰ πάσης ἐπιμελείας ἠρλασσόμην τὰ πολλὰ διὰ τιμῆς ἄγοντός με Οὐεσπασιανοῦ, καὶ δὴ κελεύσαντος αὐτοῦ ἠγαγόμην τινὰ παρθένον ἐκ τῶν αἰχμαλωτίδων τῶν κατὰ Καισάρειαν ἀλοισῶν ἐγχωρίων. οὐ παρέμεινε δ' αὕτη μοι πολὺν 415
χρόνον, ἀλλὰ λυθέντος καὶ μετὰ Οὐεσπασιανοῦ πορευθέντος εἰς τὴν Ἀλεξάνδρειαν ἀπηλλάγη· γυναῖκα δ' ἑτέραν ἠγαγόμην κατὰ τὴν Ἀλεξάνδρειαν. κἀκεῖθεν ἐπὶ τὴν τῶν Ἱεροσολύμων πολιορκίαν συμ- 416
πεμφθεὶς Τίτῳ πολλάκις ἀποθανεῖν ἐκινδύνευσα, τῶν τε Ἰουδαίων διὰ σπουδῆς ἐχόντων ὑπουργίαν με λαβεῖν τιμωρίας ἕνεκα καὶ Ῥωμαίων ὅσάκι νικηθεῖεν πάσχειν τοῦτο καὶ' ἐμὴν προδοσίαν δοκούντων συνεχεῖς καταβοήσεις ἐπὶ τοῦ αὐτοκράτορος ἐγίγνοντο κολάζειν με ὡς καὶ αὐτῶν προδότην ἀξιούντων. Τίτος δὲ Καῖσαρ τὰς 417
πολέμου τύχας οὐκ ἀγνοῶν σιγῇ τὰς ἐπ' ἐμὲ τῶν στρατιωτῶν ἐξέλυεν ὁρμάς. ἤδη δὲ κατὰ κράτος τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως ἐχομένης Τίτος Καῖσαρ ἐπειθέι με πολλάκις ἐκ τῆς κατασκαφῆς τῆς πατρίδος πᾶν ὅ τι θέλοιμι λαβεῖν· συγχωρεῖν γὰρ αὐτὸς ἔφασκεν. ἐγὼ δὲ τῆς πατρίδος πεσούσης μηδὲν ἔχων τιμιώτερον, ὃ 418
τῶν ἐμαυτοῦ συμφορῶν εἰς παραμυθίαν λαβὼν φυλάξαιμι, σωμάτων ἐλευθέρων τὴν αἴτησιν ἐποιούμην Τίτον καὶ βιβλίων ἱερῶν * ἔλαβον χαρισαμένου Τίτου. μετ' οὐ πολὺ δὲ καὶ τὸν ἀδελφὸν μετὰ 419

PRAMW

1 ἐποιήσαντο PRA εἰσ s. M τὰ om. MW 4 κατὰ] κατά τε W 5 μετὰ AMW 6 βιβλίοισ R δέ MW 7 μου πεπραγμένων] μοι πεπραγμένων W πεπραγμένων μοι M 9 ιωταπατῶν P 11 με ὀυεσπασιανοῦ, litt. εὸ ex ου corr. A κελεύοντοσ W 12 παρθένον] πόρθον P πορθένον ἐκ τῶν, litt. ὄνον ἐκτ i. ras. angustiore m. 2 (ὸ ex ο corr.) A 13 παρέμεινε RAMW δὲ MW αὐτή R 15 τὴν om. R ἀπηλλάγη] ed. pr. ἀπηλλάγην codd. δὲ MW ἠγαγώμην P 16 τῶν om. RAMW 18 διὰ] μετὰ PA ἕνεκεν RAMW 19 ὁσάκισ MW ὁσάκι νικηθεῖεν] ὅσα κινηθεῖεν PR τοῦτο] τοῦ A 20 συνεχεῖς] συνεχεῖσ τὲ R ἐγίνοντο RAMW 21 τὰς τοῦ πολέμου ed. pr. 22 ἀγνωῶν P ἐπ'] εἰσ MW ἐξέλυσεν W 25 αὐτοὺσ R 28 βιβλίον ἱερὸν MW 29 ἔλαβον] καὶ ἔλαβον Bekker, sed plura excidisse uid.

πεντήκοντα φίλων αἰτησάμενος οὐκ ἀπέτυχον. καὶ εἰς τὸ ἱερὸν δὲ πορευθεὶς Τίτου τὴν ἐξουσίαν δόντος, ἔνθα πολὺ πλῆθος αἰχμαλώτων ἐγκέλειστο γυναικῶν τε καὶ τέκνων, ὅσους ἐπέγνων φίλων ἐμοὶ καὶ συνήθων ὑπάρχοντας ἐρυσάμην περὶ ἑκατὸν καὶ ἐνενήκοντα ὄντας τὸν ἀριθμὸν καὶ οὐδὲ λίτρα καταθεμένους ἀπέλυσα
420 συγχωρήσας αὐτοὺς τῇ προτέρᾳ τύχῃ. πεμφθεὶς δ' ὑπὸ Τίτου Καίσαρος σὺν Κερεαλίῳ καὶ χιλίοις ἱππεῦσιν εἰς κώμην τινὰ Θεκῶαν λεγομένην προκατανοήσων, εἰ τόπος ἐπιτήδειός ἐστιν χάρακα δέξασθαι, ὡς ἐκεῖθεν ὑποστρέφων εἶδον πολλοὺς αἰχμαλώτους ἀνεσταυρωμένους καὶ τρεῖς ἐγνώρισα συνήθεις μοι γενομένους, ἦλγησά
421 τε τὴν ψυχὴν καὶ μετὰ δακρύων προσελθὼν Τίτῳ εἶπον. ὁ δ' εὐθὺς ἐκέλευσεν καθαιρεθέντας αὐτοὺς θεραπείας ἐπιμελεστάτης τυχεῖν. καὶ οἱ μὲν δύο τελευτῶσιν θεραπευόμενοι, ὁ δὲ τρίτος ἔζησεν.

422 76. Ἐπεὶ δὲ κατέπαυσεν τὰς ἐν τῇ Ἰουδαίᾳ ταραχὰς Τίτος, εἰκάσας τοὺς ἀρχοὺς οὓς εἶχον ἐν τοῖς Ἱεροσολύμοις ἀνονήτους ἐσομένους μοι διὰ τὴν μέλλουσαν ἐκεῖ Ῥωμαίων φρουρὰν ἐγκαθέζεσθαι, ἔδωκεν ἑτέραν χώραν ἐν πεδίῳ, μέλλων τε ἀπαίρειν εἰς τὴν Ῥώμην
423 σύμπλουν ἐδέξατο πᾶσαν τιμὴν ἀπονέμων. ἐπεὶ δ' εἰς τὴν Ῥώμην ἥκομεν, πολλῆς ἔτυχον παρὰ Οὐεσπασιανοῦ προνοίας· καὶ γὰρ καὶ κατάλυσιν ἔδωκεν ἐν τῇ οἰκίᾳ τῇ πρὸ τῆς ἐγεμονίας αὐτῷ γενομένῃ, πολιτείᾳ τε Ῥωμαίων ἐτίμησεν καὶ σύνταξιν χρημάτων ἔδωκεν καὶ τιμῶν διετέλει μέχρι τῆς ἐκ τοῦ βίου μεταστάσεως οὐδὲν τῆς πρὸς ἐμὲ χρησιότητος ὑφελών, [ὅ μοι] διὰ τὸν φθόνον ἤνεγκε κίν-
424 δυνον· Ἰουδαῖος γάρ τις Ἰωνάθης τοὔνομα στάσιν ἐξεγείρας ἐν Κυρήνῃ καὶ δισχιλίους τῶν ἐγχωρίων συναναπείσας, ἐκείνους μὲν αἴτιος ἀπωλείας ἐγένετο, αὐτὸς δὲ ὑπὸ τοῦ τῆς χώρας ἡγεμονεύοντος δεθεὶς καὶ ἐπὶ τὸν αὐτοκράτορα πεμφθεὶς ἔφασκεν ἐμὲ αὐτῷ
425 ὅπλα πεπομφέναι καὶ χρήματα. οὐ μὴν Οὐεσπασιανὸν ψευδόμενος

§ 424 = bell. Iud. VII 11, 1—3.

PRAMW

2 πολὺν P 3 ἐκέκλειστο W ἐγκέκλειτο R fort. recte 4 ἐρυσάμην PR ἑκατὸν] ϙ A 5 τὸν ἀριθμὸν ὄντας tr. MW 6 αὐτοῖς P δὲ RAMW 7 καιρεαλίῳ P κερεαλίῳ, α i. ras. A θεκωὰν R θοκώαν MW 9 ὃν P αἰχμαλώτους om. A 11 τε om. PAMW τῷ τίτῳ M δὲ MW 12 ἐκέλευσεν εὐθὺς tr. MW 16 ἰκάσας P εἶχεν P 19 πᾶσαν] πᾶσι R μι πᾶσαν MW δὲ MW 20 ἠκόμην W ἰκόμην M fort. recte καὶ post γὰρ om. MW 21 ἡγεμονείας P αὐτῷ om. MW 23 διαστάσεως M οὐδὲν] οὐδὲν δὲ uel κοὐδὲν coni. 24 ὅ μοι om. P fort. recte ἤνεκε P 24 Ἰωνάθης — στάσιν om. MW 26 ἐγχωρίων P 27 ἀπωλίας P ἐγίνετο M δὲ] τε MW

ἔλαθεν, ἀλλὰ κατέγνω θάνατον αὐτοῦ, καὶ παραδοθεὶς ἀπέθανεν. πολλάκις δὲ καὶ μετὰ ταῦτα τῶν βασκαινόντων μοι τῆς εὐτυχίας κατηγορίας ἐπί με συνθέντων θεοῦ προνοίᾳ πάσας διέφυγον. ἔλαβον δὲ παρὰ Οὐεσπασιανοῦ δωρεὰν γῆν οὐκ ὀλίγην ἐν τῇ Ἰουδαίᾳ. καθ' ὃν δὴ καιρὸν καὶ τὴν γυναῖκα μὴ ἀρεσκόμενος αὐτῆς τοῖς 426
ἤθεσιν ἀπεπεμψάμην τριῶν παίδων γενομένην μητέρα, ὧν οἱ μὲν δύο ἐτελεύτησαν, εἷς δέ, ὃν Ὑρκανὸν προσηγόρευσα, περίεστιν. μετὰ ταῦτα ἠγαγόμην γυναῖκα κατοικηκυῖαν μὲν ἐν Κρήτῃ, τὸ δὲ 427
γένος Ἰουδαίαν, γονέων εὐγενεστάτων καὶ τῶν κατὰ τὴν χώραν ἐπιφανεστάτων, ἤθει πολλῶν γυναικῶν διαφέρουσαν, ὡς ὁ μετὰ ταῦτα βίος αὐτῆς ἀπέδειξεν. ἐκ ταύτης δή μοι γίνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἰοῦστος, Σιμωνίδης δὲ μετ' ἐκεῖνον ὃ καὶ Ἀγρίππας ἐπικληθείς. ταῦτα μέν μοι τὰ κατὰ τὸν οἶκον. διέμεινεν δὲ ὅμοια 428
καὶ τὰ παρὰ τῶν αὐτοκρατόρων· Οὐεσπασιανοῦ γὰρ τελευτήσαντος Τίτος τὴν ἀρχὴν διαδεξάμενος ὁμοίαν τῷ πατρὶ τὴν τιμὴν μοι διεφύλαξεν· πολλάκις τε κατηγορηθέντος οὐκ ἐπίστευσεν. διαδεξα- 429
μενος δὲ Τίτον Δομετιανὸς καὶ προσηύξησεν τὰς εἰς ἐμὲ τιμάς· τοὺς γὰρ κατηγορήσαντάς μου Ἰουδαίους ἐκόλασεν καὶ δούλων εἴ τινά μου παῖδα γνήσιον τοῦ παιδός μου κατηγορήσαντα κολασθῆναι προσέταξεν, ἐμοὶ δὲ τῆς ἐν Ἰουδαίᾳ χώρας ἀτέλειαν ἔδωκεν. ἥτις ἐστὶ μεγίστη τιμὴ τῷ λαβόντι. καὶ πολλὰ δ' ἡ τοῦ Καίσαρος γυνὴ Δομιτία διετέλεσεν εὐεργετοῦσά με. ταῦτα μὲν τὰ πεπραγμένα 430
μοι διὰ παντὸς τοῦ βίου ἐστίν, κρινέτωσαν δ' ἐξ αὐτῶν τὸ ἦθος ὅπως ἂν ἐθέλωσιν ἕτεροι. σοὶ δ' ἀποδέδωκως, κράτιστε ἀνδρῶν Ἐπαφρόδιτε, τὴν πᾶσαν τῆς ἀρχαιολογίας ἀναγραφὴν ἐπὶ τοῦ παρόντος ἐνταῦθα καταπαύω τὸν λόγον.

PRAMW

1 *διέγνω* R 2 *βασκανόντων* M 3 *ἐπ' ἐμὲ* RAMW *συντεθέντων* W 4 *δωρεὰν* om. MW 5 *μὴ*] *καὶ μὴ* PA 7 *προσαγόρευσα, σ* (ante *γ*) i. ras. M 8 *κατωκῆσαν* P, qui hic finit *δὲ* om. M 9 *καὶ — ἐπιφανεστάτων* om. MW 10 *ἤθει οὖσαν* MW 12 *σιμωνιάδης* MW 13 *μέν μοι*] *μέντοι* R *δὲ*] *δέ μοι* RA 17 *Τίτον*] *τοῦτον* A *καὶ* om. M 18 *κατηγορήσοντας* M 19 *κατηγορήσαντα, α* finale ex corr. M 20 *δὲ*] *τε* A *τε γὰρ* MW *ἥπερ ἐστι* RMW 21 *λαμβάνοντι* MW *δὲ* RMW 23 *δὲ* MW 24 *δὲ* MW 25 *ἀναγραφὴν*] *γραφὴν* R 26 *καταπαύσω* MW

Subscriptiones: *τέλος τῆς ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας* A *τέλος ἰωσήπου· φλαβίου ἰωσήπου ἰουδαϊκῆς ἀρχαιολογίας λόγοι εἴκοσι· πρὸς οἷς καὶ ὁ βίος ἰωσήπου* W *τέλος τησ ἰωσηπου αρχαιολογίασ· λογοι* $\overline{κ}$· *καὶ τοῦ λογου τον περι του βιου ἰωσηπ*$^{\pi}$ *καὶ τῆς πολιτείας αὐτοῦ* ad § 84 Exc Peiresc; nihil subscribit M, aliena R, de quo uide praefationem uoluminis III

Lipsiae, Typis I. B. Hirschfeldi.

University of Toronto
Library

DO NOT
REMOVE
THE
CARD
FROM
THIS
POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED